B I B L I O T H E C A
SCRIPTORVM GRAECORVM ET ROMANORVM
T E V B N E R I A N A

BT 2018

IVLIANVS AVGVSTVS

OPERA

EDIDIT

HEINZ-GÜNTHER NESSELRATH

DE GRUYTER

ISBN 978-3-11-022122-0
e-ISBN (PDF) 978-3-11-023904-1
e-ISBN (EPUB) 978-3-11-039078-0
ISSN 1864-399X

Library of Congress Cataloging-in-Publication Data
A CIP catalogue record for this book has been applied for at the Library of Congress.

Bibliographic information published by the Deutsche Nationalbibliothek
The Deutsche Nationalbibliothek lists this publication in the Deutsche Nationalbibliografie; detailed bibliographic data are available on the Internet at http://dnb.dnb.de.

Printing: Hubert & Co. GmbH & Co. KG, Göttingen
∞ Printed on acid-free paper

Printed in Germany

www.degruyter.com

HOC VOLVMINE CONTINENTVR

PRAEFATIO

1. DE IVLIANI OPERVM POST EIVS MORTEM FORTVNA

Iuliani Imperatoris opera post eius mortem collecta esse et legi potuisse ab eis, quibus imperatoris res gestae curae erant, testes sunt Ammianus Marcellinus, qui „orationum epistularumque eius cum gravitate comitatem incorruptam“ laudat (XVI 5,7), et Zosimus, secundum quem πάρεστι ... τῷ βουλομένῳ συλλαβεῖν ἅπαντα [scil. τὰ Ἰουλιανῷ πραχθέντα] τοῖς λόγοις ἐντυγχάνοντι τοῖς αὐτοῦ καὶ ταῖς ἐπιστολαῖς (III 2,4). Sub medium saeculum V *Historiae Ecclesiasticae* scriptor Socrates Constantinopolitanus ex Iuliani scriptis memorat *Caesares*, *Misopogonem*, tractatum contra Christianos (*Contra Galilaeos*), *Sermonem contra Heraclium Cynicum*.[1] Circa finem saeculi VI Hesychius Milesius in *Onomatologo* suo tabulam Iuliani operum conscripsit, quae postea in *Sudam*, s.v. Ἰουλιανός (σ 437), recepta est etiamque titulos operum continet, quae non iam extant.

Post Hesychium nulla Iuliani operum mentio extat usque ad *Sudam*, lexicon compilatum circa finem saeculi X. Excerpta citationesque ex Iuliani operum, quae in *Suda* inveniuntur, testes sunt saeculo IX vel X editionem Iuliani operum litteris minusculis compositam esse, quam archetypum nostrorum codicum esse verisimile est (vide infra).

2. DE IVLIANI OPVSCVLIS QVAE HAC EDITIONE CONTINENTVR

Haec editio ea tantum Iuliani imperatoris opuscula praebet, quae illo tempore orta sunt, quo Iulianus mortuo Constantio secundo solus in imperio Romano Augustus erat, i.e. inter tertium mensis Novembris diem anni 361 et diem vicesimum sextum mensis Iunii

1 Socr. HE III 1,57s. (*Caesares*, *Contra Galilaeos*); 17,9 (*Misopogon*); 22,11 (*Contra Galilaeos*); 23,14 (*Caesares*), 33 (*Contra Galilaeos*), 34 (*Sermo contra Heraclium Cynicum*).

anni 363.[2] Intra istum viginti fere mensium spatium sex Iulianeis opusculis satis certum originis tempus ascribi potest:

1. Intra eos sex menses, quos Iulianus Constantinopoli moratus est (intravit urbem undecima mensis Decembri die anni 361 et Antiochiam profectus est altera mensis Iunii parte anni 362), scripsit *Sermonem contra Heraclium Cynicum*, fortasse mense Martio.[3]

2. Quod attinet ad Iuliani *In Matrem Deorum Hymnum*, verisimillimum est eum eodem tempore conscriptum esse, quo celebrabantur sollemnes matris deorum dies,[4] i.e. inter mensis Martii anni 362 diem vicesimum alterum et vicesimum septimum.

3. Aliquo tempore post, prima mensis Iunii anni 362 parte, si iterum Iuliani ipsius verbis confidere possumus,[5] *Sermonem contra Cynicos Ineruditos* scripsit.

2 Non includuntur in hac editione quae restant de Iuliani libris contra „Galilaeos“ scriptis duobus de causis: Iam extat recentior eorum fragmentorum editio (E. Masaracchia, Giuliano Imperatore, Contra Galilaeos: Introduzione, testo critico e traduzione, Roma 1990), et novam editionem non ulteriorem fructum producturam esse puto nisi tamquam meliore fundamento niti potest nova librorum Cyrilli Alexandrini contra Iulianum scriptorum editione, quae adhuc desideratur ex manibus Christophori Riedweg aliorumque (cf. eundem, Zur handschriftlichen Überlieferung der Apologie Kyrills von Alexandrien Contra Iulianum, Museum Helveticum 57 (2000) 151–165; item eundem et Chr. Oesterheld, Scritto e controscritto: per una nuova edizione di Cirillo Alessandrino Contra Iulianum, in: Atti del Convegno Internazionale di Studi „Giuliano Imperatore. Le sue idee, i suoi amici, i suoi avversari“ = Rudiae 10 (1998 [in lucem venit 2000]) 420s.; necnon eundem, Exegese als Kampfmittel in der Auseinandersetzung zwischen Heiden und Christen. Zum “Sündenbock” von Leviticus 16 bei Julian und Kyrill von Alexandrien, Zeitschrift für antikes Christentum 16 (2012) 443s.).

3 Vide Rochefort 1963, 42.

4 Cf. cap. 3 p. 161c (Ὑπὲρ δὲ ὧν εἰπεῖν ἐπῆλθέ μοι παρ' αὐτὸν ἄρτι τὸν τῆς ἁγιστείας καιρόν). Si credere possumus Iuliani verbis cap. 19 p. 178d, opusculum unius noctis parte confectum est (v. infra).

5 V. Contra Cyn. Inerud. cap. 1 p. 181a: Iulianus cynicum aliquem accusat, quod ψυχρολουτεῖν οὐ βούλεται ..., καὶ ταῦτα τοῦ θεοῦ [Solis] ταῖς θεριναῖς τροπαῖς ἤδη προσιόντος.

4. Sermonem, cui in codicibus titulus est Συμπόσιον ἢ Κρόνια, sed qui etiam sub nomine Καίσαρες notus est,[6] Iulianus ipso Saturnalium (i.e. Κρονίων) tempore anni 362 confecit.[7]

5. Iuliani *In Solem Regem Hymnus* inter diem vicesimum quintum et vicesimum septimum mensis Decembri anni 62 tribus noctibus confectus est, si denuo ipsis imperatoris verbis credere licet.[8]

6. Sermonem, qui in codicibus Ἀντιοχικὸς ἢ Μισοπώγων inscriptus est, Iulianus inter medium mensem Ianuarium et medium mensem Februarium anni 363 scripsit.[9]

7. Restat Iuliani *Ad Themistium Epistula*, de cuius tempore adhuc sub iudice lis est. Nam vel recentissimis temporibus assertum est hanc epistulam ab Iuliano non eo tempore scriptum esse, quo suam solam dominationem iniret, sed iam aliquot annis ante, cum a Constantio Caesar factus esset.[10] Quocumque modo res se habet, codex unicus qui istud opusculum servavit (V, v. infra) pro titulo praebet verba Ἰουλιανοῦ αὐτοκράτορος Θεμιστίῳ φιλοσόφῳ, id quod demonstrat eos qui Iuliani scripta tradiderunt hanc epistulam pro Iuliani Augusti opere accepisse.

6 Cf., e.g., Socr. HE III 1,57 et III 23,14. Nonnumquam quaeritur, unumne opusculum istis duobus titulis significetur an duo; unum tantum fuisse verisimilius est.

7 Cf. cap. 1 p. 306A (ἔστι γὰρ Κρόνια).

8 Cf. cap. 3 p.131 D (ὑμνήσωμεν αὐτοῦ τὴν ἑορτήν, i.e. Natalicia Solis Invicti, quae die mensis Decembris vicesima quinta celebrabantur) et cap. 44 p. 157BC (Ταῦτα … ἐν τρισὶ μάλιστα νυξὶν … γράψαι … ἐτόλμησα).

9 Cf. cap. 10 p. 344A, ubi Iulianus Antiochenses facit dicentes se eius βαρύτητα iam septimum mensem pati; advenerat autem Iulianus Antiochiam die undevicesimo mensis Iulii anni 362.

10 Vide J. Stenger, Hellenische Identität in der Spätantike. Pagane Autoren und ihr Unbehagen an der eigenen Zeit, Berolini – Novi Eboraci 2009, p. 136 n. 119. Sed vide etiam Bidez 1929, 133–141, ubi bonae causae afferantur, cur credamus Iulianum *Epistulam ad Themistium* haud multo tempore ante scripsisse, quam Constantinopolim (mense Decembri ineunte anni 361) advenisset.

3. DE SINGVLORVM OPVSCVLORVM TRADITIONE MANVSCRIPTA

Iam anno 1929 Josephus Bidez, eminentissimus philologus Belgicus, opus quod inscribitur „La tradition manuscrite et les éditions des discours de l'empereur Julien“ publici iuris fecit, quod etiam nostro tempore omnibus Iuliani operum editoribus firmum fundamentum praebet relationes inter Iuliani codices cognoscendi recteque iudicandi. Bidez omnes codices suo tempore notos indagavit (erant autem quinquaginta octo) et demonstravit ex eis codicibus solos quindecim alicuius momenti esse ad edenda ea septem opuscula, quae supra memoravi. Quod Bidetii iudicium nulla in re nisi quod attinet ad *Hymni in Solem* traditionem manuscriptam leviter mutandum esse videtur: ad melius iudicandam stirpem „h“ non trium tantum sed quinque codicum ratio est habenda (v. infra).[11]

Post Bidetii tempora in lucem venerunt nonnulli alii codices,[12] quorum tamen nullus novum in Iuliani textu constituendo fructum apportare videtur.[13]

Codices igitur, quorum rationem habere debet editor septem opusculorum Iuliani Augusti, sunt hi:

11 Illos duos, qui ad *Hymni in Solem* textum constituendum accesserunt, codices (quorum sigla sunt L et Z, v. infra) iam Bidez recensuit (1929, 70s.), sed non necessarium iudicavit eorum quoque lectiones in apparatu critico citare. Ex collatione autem, quam fecit Adele Filippo (Giuliano, Inno a Helios Re. Rilettura dei codici, in: Prometheus 12, 1986, 85–92) elucet etiam lectiones codicum L et Z non omnino neglegendas esse ad textum stirpis h constituendum; sed si recte video, nulla eorum lectio nos inducere posset, ut textum *Hymni* constitutum mutaremus.

12 Vide L. Canfora, Manoscritti degli opuscoli e delle lettere di Giuliano, in: Annali della Facoltà di Lettere e Filosofia dell' Università di Bari 12, 1967, 65–70; L. Canfora, Altri manoscritti giulianei, in: Antiquité Classique 37, 1968, 634–636; R. Romano, Un codice inesplorato di opuscoli di Giuliano imperatore, in: Koinonia 1, 1977, 187–190; A. Filippo, Un nuovo codice del Misopogon di Giuliano imperatore, Bollettino dei Classici 14, 1993, 67–79.

13 Vide Prato[2], CIII.

1. **Codex Leidensis Vossianus gr. F. III 77 (= V)**, codex chartaceus bombycinus saeculo XII exeunte vel ineunte saeculo XIII factus, quem iam Cobet acuratissima examinatione dignatus est (et iure quidem).[14] Olim continebat omnia septem opuscula, quae huic editioni insunt; iniquitas autem temporum (necnon neglegentior lectorum usus) effecit, ut nunc haud pauca folia sint amissa; inque iis quae restant „antiqua scriptura situ et madore expalluit, charta subinde detrita est et nonnumquam perrosa“.[15]

Ordo opusculorum hoc in codice hic est:[16]

Folia 1–7 continent maiorem *Hymni in Solem Regem* partem (1 p. 130B usque ad 26 p. 147A καὶ γνώριμα λέγειν); octo autem folia (id est totus quaternio) amissa sunt, in quibus olim fuit tertia eius opusculi pars (26 p. 147A usque ad 44 p. 158B) necnon initialia *Hymni in Matrem Deorum* capitula (1 p. 158D usque ad 9 p. 168D ἑορταί. Ὅτι μὲν οὖν).

Folia 8–12v (usque ad finem quintae textus lineae) exhibent posteriorem *Hymni in Matrem Deorum* partem (quae incipit in 9 p. 168D a verbis στάσις ἐστὶ τῆς ἀπειρίας) usque ad finem (20 p. 180C).

Foliis 12v (a sexta textus linea) – 71v (usque ad duodevicesimam textus lineam) continentur Iuliani tria encomia in Constantium Augustum et Eusebiam Augustam scripta necnon Iuliani *Ad Athenienses Epistula* (quae omnia hac in editione ut opera Iuliani Caesaris praetermittuntur).

Quod restat de folio 71v (sunt autem solae septem lineae), continet primam Iuliani *In Cynicos Ineruditos Sermonis* particulam (1 p. 180D – 181A usque ad πόρρω που σοφίας ἐλαύνει); post iterum totus quaternio periit, et folium 72r–72v (usque ad quintam textus lineam) nihil praebet nisi ultimam istius sermonis partem (19 p. 202B a verbis ἔργα κρυπτόντων ἐν σκότῳ usque ad 20 p. 203C); omnes aliae eius opusculi partes (i. e. totum paene opusculum, 1 p. 181A – 20 p. 203C) perierunt.

14 C. G. Cobet, Annotationes criticae et palaeographicae ad Iulianum, in: Mnemosyne 8, 1859, 341–349.

15 Haec Cobeti verba sunt (1859, 349) quibus addere possis quod Bidez (1929, 7) septuaginta annis post non modo de magnis damnis per madorem effectis, sed etiam de iniuriis codici per „chemicorum venena“ (ut iterum Cobet ea loco brevi ante laudato appellavit) illatis dixit, quarum auctorum fuisse Ezechielem Spanheim (v. infra) suspicatus est.

16 Codicem inspexi imaginibus quas vocant digitalizatis eius foliorum usus.

Folia 72v (a sexta textus linea) – 83v (usque ad paenultimam textus lineam) exhibent Iuliani *Ad Themistium Epistulam*, sed medio in hoc opusculo (a media linea undevicesima folii 73v usque ad mediam lineam paenultimam folii 79v) insertum est *Fragmentum Epistulae* (i.e. Ep. 89b Bidez) sine ullis transitionis signis.

Ultimam lineam folii 83v occupat titulus *Misopogonis*; sequentia folia exhibent totum opusculum usque ad secundam lineam folii 98r.

Post Iuliani *Ad se ipsum propter Salustii exodum Consolationem*, quae continetur foliis 98r (titulum praebet linea tertia) – 103r (linea quinta) et hac in editione ut opusculum Iuliani Caesaris praetermissa est, sequitur *Contra Heraclium Cynicum Sermo* (titulum praebet linea sexta folii 103r) usque ad lineam decimam quintam folii 117r.

A linea decima sexta folii 117r usque ad finem folii 127v Iuliani *Caesares* (usque ad 36 p. 335B ταῖς τε ἐπιθυμίαις ταῖς ἑαυτοῦ) inveniuntur. Folium sequens (128r), recentioris aetatis (saec. XIV), transcriptionem (= V²) earum partium ultimorum opusculi capitulorum praestat, quae adhuc legi poterant, nempe cap. 36 p. 335B καὶ ταῖς τῶν φίλων ὑπουργοῦντα – 37 p. 335D προστάτην τε καὶ ἡγεμόνα. Μετὰ necnon 38 p. 336B Ἐπέτριβον δὲ αὐτόν – p. 336C θεὸν εὐμενῆ καθιστὰς σεαυτῷ. In infima eiusdem folii parte incipiunt Ἰουλιανοῦ ἐπιστολαί.

Ita Codex Vossianus, cum esset integer, unus omnium Iuliani codicum adhuc extantium omnia septem opuscula huius editionis continebat; hodie autem desunt (ut ex descriptione supra facta elucet) maiores partes *Hymnorum in Solem Regem* et *in Matrem Deorum* atque paene totus *In Cynicos Ineruditos Sermo* necnon aliquae particulae ex fine *Caesarum*. Forte fortuna exstat adhuc Vossiani apographon, quod confectum est, antequam Vossianus illos duos quaterniones amisit, et ideo plerasque eas partes absentes (necnon locos, ubi Vossiani scriptura evanida est) supplere potest:

2. **Codex Parisinus 2964 (= U)**, codex membranaceus saeculi XV.[17] Integra exhibet ea tria opuscula, quorum magnae vel maximae partes in Vossiano non iam inveniuntur: *Hymnus in Solem Regem* (folia 1–10), *Hymnus in Matrem Deorum* (folia 11–18),

17 Vide Bidetii descriptionem (1929, 10). Codicem inspexi imaginibus quas vocant digitalizatis eius foliorum usus.

In Cynicos Ineruditos Sermo (folia 74–81). Ordo opusculorum idem est ac in Vossiano.[18]

Itaque Vossianus V et Parisinus U inter se praebent solum fundamentum quattuor (ex septem) opusculis, quae hac editione continentur: *Epistulae ad Themistium* scriptae, *Sermonibus ad Heraclium Cynicum* et *Ineruditos Cynicos* factis, *Hymno in Matrem Deorum* scripto.

Ad ceterorum trium opusculorum textum constituendum complures alii codices accedunt, ac primum dicendum est de duobus codicibus, qui ex Iuliani opusculis, quae huic editioni insunt, solos *Caesares* praestant:

3. **Codex Monacensis gr. 564 (= A)**, olim Augustanus,[19] codex chartaceus bombycinus saeculi XIII,[20] inter alia continet Iuliani *Caesares* (foliis 346–355; prima opusculi pars usque ad 4 p. 309B τὰς βολὰς τῶν ὀμμάτων et ultima pars, quae incipit a 35 p. 335A ἐμαυτὸν ἐγὼ μακρότερα, manu recentiore A^2 scripta est). Solus est A, qui 38 p. 336AB (ἵνα καὶ τὸν Ἰησοῦν εὑρὼν – τὴν κεφαλὴν πατάξαντι καθαρῷ γενέσθαι), opusculi particulam vehementissime anti-Christianam, servavit.

4. **Codex Marcianus gr. 366 (= M)**, codex chartaceus saeculi XV prioris, inter multa alia[21] *Caesares* continet foliis 215–223, omissa

18 De quattuor codicibus a V vel a U derivatis vide Bidez 1929, 13–22. Inter quos est codex J (= O.2.39, Collegii Trinitatis Cantabrigiensis), qui per folia 1–146 (quae continent Iuliani *In Constantium Eusebiamque Encomia*, partes *Hymnorum in Solem et Deorum Matrem*, *Epistulam ad Athenienses*) est apographon codicis Vossiani, per folia 147–202 (quibus *Misopogon* continetur) apographon Ambrosiani B; vide Bidez 1929, 14–20 et 90. Iste codex maioris momenti fuit Petavio, cum Iuliani Operum Omnium editionem praepararet (vide infra).

19 Isto nomine primus usus est Heusinger in sua *Caesarum* editione (1736); vide infra.

20 Codicem accurate et copiose describit Bidez (1929, 97–100). Codicem inspexi imaginibus quas vocant digitalizatis eius foliorum usus.

21 Vide Bidetii descriptionem (1929, 29s.); cf. etiam brevem Cobeti descriptionem (1859, 350). Codicem inspexi imaginibus quas vocant digitalizatis eius foliorum usus.

autem particula capituli 38 (p. 336A ἵνα καὶ τὸν Ἰησοῦν – p. 336B καθαρῷ γενέσθαι).[22]

Quod ergo attinet ad Iuliani *Caesares*, fundamentum textus constituendi praebent codices V (U) A M.

Sequentes codices Iuliani *Hymnum in Solem Regem* et *Misopogonem* aut ambos aut singulos continent:

5. *Hymnum in Solem Regem* et *Misopogonem* praestat **Codex Bodleianus Miscellaneus 57 (= O)**, codex chartaceus bombycinus saeculi XIII–XIV.[23] *Hymni* textus, omissa prima parte, incipit in folio 20r a verbis καὶ βασιλεύειν αὐτῶν (cap. 6 p. 133C) et ad *Hymni* finem pervenitur in folio 27r; tum sequitur *Misopogon*, complectens folia 27r–36v.

6. E codice Bodleiano descriptus est **Codex Vaticanus gr. 1883 (= K)**, codex membranaceus saeculi XIV–XV, cuius folia 1–7 praebent *Hymnum in Solem Regem*, 7–15 *Misopogonem*;[24] ita supplet *Hymni* partem initialem, quam Bodleianus perdidit, necnon lectiones in omnibus eis locis, ubi Bodleiani scriptura variis damnis evanida est.

7. Ad codicem K redit **Codex Vaticanus gr. 1448 (= Vat)**, codex membranaceus saeculi XV,[25] cuius prima pars exhibet *Hymnum in Solem Regem* (folia 1–19v) et *Misopogonem* (folia 19v–42). Uno alterove loco supplere potest lectiones, quae in codice K evanidae sunt.[26]

22 De duodecim codicibus a codice M originem ducentibus vide Bidez (1929, 32–46).

23 Codicem inspexi imaginibus quas vocant digitalizatis eius foliorum usus.

24 Codicem inspexi imaginibus ex micropelliculis factis eius foliorum usus.

25 Codices O et K et Vat describit Bidez (1929, 53–56; de codice O vide etiam Bidez 1929, 88).

26 De ceteris duodeviginta codicibus, qui e codice O fluxerunt, vide Bidez (1929, 56–66).

8. **Codex Vindobonensis philos. philol. 165 (= W)**, codex chartaceus saeculi XIII–XIV,[27] e cuius parte Iulianea nonnulla tantum folia restant, e quibus nostrae editioni alicuius momenti sunt haec: Folia 90–98 praebent *Misopogonis* partes ab initio usque ad 28 p. 357D (τοὺς ἄλλους ἀποστερῶ τούτων) et a 40 p. 367B (ἐμὰ ὀνείδη τοσούτῳ) usque ad 42 p. 369D (ὑπὸ τῶν πλουσίων); folium 101 (manu recentiore quam ea, quae scripsit folia 90ss., scriptum) particulam (a cap. 8 p. 134C ὅλως εἴη ἂν usque ad cap. 12 p. 137C δωρούμενος αὐτῷ; ἆρ' οὐχ) Iuliani *In Solem Regem Hymni* praestat.

Verisimile est[28] a Vindobonensi originem ducere complures codices, qui partes eius amissas supplent ideoque sunt alicuius momenti in textu *Hymni in Solem Regem* constituendo. Bidez[29] eos appellavit familiam h; sunt:

9. **Codex Monacensis gr. 490 (= G)**, codex chartaceus saeculi XV posterioris, *Hymni* textum continet foliis 381–395.

10. **Codex Riccardianus gr. 76 (= R)**, saeculi XV, *Hymni* textum continet foliis 116–129.

11. **Codex Ottobonianus gr. 181 (= T)**, saeculi XV medii, *Hymni* textum continet foliis 87–103.

12. **Codex Laurentianus 57.33 (= L)**, saeculi XV exeuntis, *Hymni* textum continet foliis 60–75v. Bidez eum codicem gemellum Ottoboniani esse censet.

27 Codicem describit Bidez (1929, 47s.; vide etiam p. 87). Codicem inspexi imaginibus ex micropelliculis factis eius foliorum usus.

28 Vide Bidez 1929, 75.

29 Bidez 1929, 71.

13. **Codex Vaticanus gr. 2236 (= Z)**, saeculi XV posterioris, *Hymni* textum continet foliis 142–158v.[30]

14. Etiam **Codex Marcianus gr. 436 (= C)**, codex membranaceus saeculi XV,[31] foliis 149–156 continet Iuliani *Hymnum in Solem Regem*. Quod attinet ad *Hymni* textum, C pro gemello codicis O haberi potest, sed plura menda exhibet quam iste.[32]

Itaque ad textum *Hymni in Solem* constituendum adhibendi sunt codices V (U) O (K, Vat) C W atque, ubi W deest (vide supra), codices G R T L Z (= h).[33]

Quod tandem attinet ad Iuliani *Misopogonem*, praeter codices V O W habemus duos codices, qui hoc opusculum exhibent:

15. **Codex Vaticanus gr. 914 (= S)**, codex chartaceus saeculi XIV/XV, foliis 21v–28 continet *Misopogonem*, omissa tamen parte, quae a 20 p. 350A ἐν τέλει τῆς πόλεως extenditur usque ad 36 p. 363D εἰς ὑμᾶς εὐνοίας.[34] Compluribus locis meliores lectiones conservavit quam codex Vossianus.[35] Praeterea notandum est codicem S lectiones communes habere cum Lexico Vindobonensi[36] (v. infra).

30 Codices G R T L Z describit Bidez 1929, 68–70. In *Hymni* apparatu hi codices solum citantur, cum eorum duo vel plures eandem variam lectionem exhibent (tum enim fieri potest, ut ea lectio originem ex codice W ducat); si singulas lectiones singulorum codicum requiras, vide quaeso collationes ab Adele Filippo factas (quae supra n. 11 citantur), quibus ad apparatum criticum constituendum usus sum.

31 Vide Bidetii descriptionem (1929, 68). Codicem inspexi imaginibus quas vocant digitalizatis eius foliorum usus.

32 Bidez 1929, 72s.

33 Consensum codicum O (K, Vat) C et W (h = G R T L Z) Bidez appellavit f, quod siglum invenies etiam in huius editionis apparatu critico.

34 Codicem inspexi imaginibus ex micropelliculis factis eius foliorum usus.

35 Bidez 1929, 82s.

36 Bidez 1929, 84.

16. **Codex Ambrosianus G 69 suppl. (= B)**, saeculi XV posterioris,[37] foliis 302–312v *Misopogonem* continet. Cognatus est B codicis W, et consensus amborum a Bidetio littera „b" designata est.[38]

Itaque ad *Misopogonis* textum constituendum adhibendi sunt codices V (U) O (K, Vat) W S B.

4. DE ALIIS TEXTVS IVLIANEI FONTIBVS

Verisimile est omnes codices supra perlustratos ex uno communi fonte, qui saeculo IX vel X scriptus est, originem duxisse;[39] id ex eo elucere videtur, quod et multae lectiones codicis Vossiani et adnotationes marginales, quae in eo codice inveniuntur, iterum (atque priore quidem tempore) reperiuntur in *Suda* (vide supra).[40] *Suda* excerpta haud pauca e compluribus Iuliani opusculis[41] praebet, quae etiam Vossiano continentur, et haud paucis locis lectiones Vossiani supplere potest, ubi eae in codice evanidae sunt; interdum etiam meliores praebet quam codex.[42]

Excerpta, quae in Eustathii commentariis in Iliadem, in Odysseam inque Dionysium Periegetem inveniuntur, tracta sunt e

37 Vide Bidetii descriptionem (1929, 81; vide etiam p. 86).
38 Bidez 1929, 84 et 86. De sex codicibus, qui e B fluxerunt, vide Bidez (1929, 88–92).
39 Bidez 1929, 102.
40 Bidez 1929, 25s.
41 Nempe ex omnibus, qui huic editioni insunt: unum ex *Epistula ad Themistium*, quattuordecim e *Sermone contra Heraclium Cynicum*, duo ex *Hymno in Matrem Deorum*, tria e *Sermone contra Cynicos Ineruditos*, unum e *Caesaribus*, sex e *Misopogone*; vide Bidez 1929, 25 et 51.
42 Vide Bidez 1929, 25s.

Sermone contra Heraclium Cynicum, ex *Hymno in Solem Regem*, e *Caesaribus*, ex epistulis.[43]

In Georgii Lacapeni *Epimerismis* circa 1300 conscriptis aliqua excerpta *Caesarum* et *Misopogonis* inveniuntur.[44]

Lexicon Vindobonense (Bidez 1929, 84), compilatum saeculo XIV priore, exhibet multa excerpta ex *Misopogone* tracta, ubi semper inveniuntur lectiones codicis S (v. supra).

Excerpta Neapolitana inveniuntur in Codice Neapolitano II C 32, qui est codex chartaceus saeculi XIV–XV.[45] Praebet (inter alia, e.g. excerpta orationum Himerii) duas series brevium ex scriptis Iulianeis excerptorum, unam in folio 319 (ubi invenimus, inter alia, quattuor excerpta ex *Caesaribus* et quinque e *Misopogone*), alteram in foliis 327v–328v (327v,10–23 ex *Caesaribus*, 327v,23 – 328r,6 e *Misopogone*). *Excerpta Neapolitana* saepe bonas lectiones praestant, quas partim cum codice V, partim cum codice M communes habent; interdum vel sola rectum textum conservant.

5. DE EDITIONIBVS PRIORIBVS

E septem opusculis huius editionis primus *Misopogon* editionem typis impressam nactus est, quippe qui editus sit cum versione Latina anno 1566 a Petro Martinio.[46] Fundamentum textus Marti-

43 Sex exempla affert Bidez 1929, 25s., sed plura inveniri possunt. Vide: In Il. p. 38,15s. (de *In Solem Hymno* generaliter); p. 83,40–45 (In Solem 31 p. 149AB); p. 160,1–3 (Contra Heracl. 21 p. 227C); p. 410,19s. (In Solem 26 p. 147BC); p. 600,40s. (Caes. 8 p. 311C); p. 626,57–59 (In Solem 32 p. 150A); p. 728,13–15 (In Solem 31 p. 149BC); p. 800,7–9 (Ep. 34 Bidez); p. 877,45–47 (Contra Heracl. 21 p. 227C); p. 1190,4s. (In Solem 11 p. 136D); In Od. p. 1597,57–59 (In Solem 33 p. 150B); p. 1686,34–37 (In Solem 26 p. 147B); In Dion. Per. p. 304,29 (Caes. 28 p. 327D).

44 Bidez 1929, 49s.

45 Vide Bidetii descriptionem (1929, 48–50).

46 De Martinii editione vide Bidez 1929, 105–107.

nii fuit unus codex, qui e codice B originem duxit atque tunc erat in possessione Petri Rami, Martinii magistri.[47]

Undecim annis post (1577) alterum opusculum ex nostris septem, nempe Iuliani *Caesares*, primum typis impressum est, editionem curante Carolo Cantoclaro.[48] Haec editio fundamentum iecit famae istius opusculi: iam tribus annis post (1580) prima *Caesarum* versio Francogallica exstitit,[49] quam brevi aliae versiones secutae sunt.

Iterum tribus annis post (1583) typis impressa est series librorum, quam primam „operum omnium“ Iuliani editionem appellare possis.[50] Tomus primus exhibuit *Misopogonis* et *Epistolarum* editionem Martinii, alter *Caesarum* Cantoclari, tertius autem et quartus opera adhuc inedita addiderunt: In tertio Cantoclarus edidit secundum Iuliani *In Constantium Encomium* (in fine quidem mancum, nam textus desinit post 25 p. 82C Δῆλον δὲ ἐνθένδε), in quarto Theodorus Marcilius *Hymnum in Solem Regem*, ad cuius textus constituendum usus est codice, qui redit ad codicem Monacensem 461 (= E), qui ipse a Vaticano K descendit.[51]

Obiter tantum memorandae sunt duo *Caesarum* editiones annorum 1590 et 1612;[52] quarum priorem Fredericus Sylburgius in tertio eius *Romanae historiae scriptorum minorum graecorum et latinorum* volumine inclusit, variis bonis observationibus additis

47 Auxit Martinius editionem suam Iuliani epistulis, quae iam 1499 in editione Aldina („Epistolae diversorum philosophorum oratorum rhetorum sex et viginti“, editae a Marco Musuro) apparuerant quibus ipse Martinius addidit aliam epistulam, quam in Socratis Historia Ecclesiastica invenerat (= ep. 60 Bidez).

48 De ea editione vide Bidez 1929, 107s.: editio ipsa haud magni est pretii (quamquam unus ex tribus codicibus, quibus Cantoclarus usus est, aut Augustanus A fuisse videtur aut codex ab eo derivatus; Cantoclarus ipse codicem „Pithoeanum“ appellat), sed continet aliquot coniecturas ingeniosas.

49 B. Grangier, Discours de l'Empereur Julian sur les faicts et déportemens des Caesars [sic], Parisiis 1580.

50 De ea editione vide Bidez 1929, 110–112.

51 Vide Bidez 1929, 111 et 57s.

52 Vide Bidez 1929, 112s. Primam Cunaei editionem Bidez per errorem anno 1592 attribuit, sed Cunaeus modo natus est anno 1586.

et quibusdam variis lectionibus notatis, posteriorem Petrus Cunaeus, in qua paucissimos tantum errores Cantoclari correxit.

Prima tandem omnium Iuliani operum editio, quae hoc nomine vere digna est, effecta est a Dionysio Petavio S.J., qui prioribus saeculi decimi septimi decenniis optime meritus est de Iuliano edendo. Primus eius circa Iulianum curarum fructus in lucem venit anno 1614, cum tria Iuliani Caesaris *In Constantium Eusebiamque Encomia* ederet, quorum et prius in Constantium et laudes Eusebiae usque ad id tempus ineditae erant. Annis sequentibus etiam alia imperatoris opera adhuc ignota detexit, primum per codicem, qui est unus ex apographis codicis Vossiani, nempe J (= O.2.39; v. supra n. 17). E quo codice textus et notitias Petavio miserat Patricius Junius (Patrick Young) anno 1618.[53] Quattuor annis post (1622) intravit in Bibliothecam Regiam Parisinam illud optimum (et quidem multo melius quam J) Vossiani apographon, quod post Bidetium in editionibus littera U designatur. Ita Petavii omnium Iuliani operum editio, quae typis impressa est anno 1630, in novis quidem Iuliani scriptis edendis fundamento usa est istis duobus codicibus;[54] in Iuliani autem scriptis iam notis iterum edendis iterum impressit textum iam vulgatum, insertis quidem aliquot melioribus lectionibus, quas in J et U invenerat, additisque in margine haud paucis emendationibus, quas postea et Wyttenbach et Cobet iure admirati sunt.

53 Vide Bidez 1929, 15s. 115 necnon Pagliara 2010, 47s. et 90s., ubi citatur quod Petavius de subsidiis Iulianeis a Junio acceptis dicit in altera sua Themistii editione anno 1618 publici iuris facta, p. 727s.: „Habeo penes me Iuliani Imp. Orationem nondum editam, quam S.P.Q. Atheniensium scripsit … Eam nos Orationem cum aliquot aliis accepimus ab humanissimo eruditissimoque Viro Patritio Iunio Londinensi Regiae Bibliothecae Praeposito, quas propediem … cum reliquis Iuliani Operibus publicare decrevimus."

54 Non autem intellexisse videtur melius fuisse in universum codice U tantum uti, quia J multo deterius apographon eiusdem codicis est, a quo etiam U descendit; vide Bidez 1929, 116s.

Sequens omnium Iuliani operum editio, ab Ezechiele Spanhemio anno 1696 publici iuris facta,[55] duobus tantum in rebus editionem Petavianam superavit: Primum includit Cyrilli Alexandrini decem libros *Contra Iulianum* scriptos atque ita etiam multa ex Iuliani libris *Contra Galilaeos* scriptis excerpta praebet, quae in Cyrilli libris citantur; deinde ea prima est editio, quae codicem Vossianum ad textum edendum adhibuit,[56] non autem tantum, quantum pro codicis praestantia decebat. Sunt etiam alia istius editionis vitia, quorum iusta aestimatio iam a Wyttenbachio facta etiam hodie digna est quae legatur:[57] „Spanhemii equidem laudibus nil detractum velim, qui ex Vossiano codice cum plerasque supplevit lacunas, tum genuinam lectionem pluribus locis restituit, tum denique primam orationem et Caesares luculento illustravit commentario. At in constituendo textu, qualem Tu [i.e. Ruhnkenius] eum in Callimacho fuisse observasti, talem se in Juliano quoque praestitit; mitto quod priores editiones non diligenter satis consuluit, nec Vossianum codicem debita attentione excussit, ac Petavii denique marginales conjecturas saepissime omisit, acutas illas ac dignas viri magni felici ingenio."[58]

Quadraginta annis post Spanhemium (1736) Johann Michael Heusinger denuo edidit Iuliani *Caesares*,[59] additis versionibus Cunaei et Spanhemii necnon adnotationibus variorum doctorum (a Cantoclaro usque ad Spanhemium seque ipsum). Textum edidit

55 Iam ante hanc editionem Spanheim uni Iuliani operi curam dedit; bis enim (1660 et 1683) *Caesarum* versionem Francogallicam amplis annotationibus instructam in lucem protulit.

56 Codex Spanhemio primum innotuit, cum anno 1680 in domo possessoris eius, Isaaci Vossii, Windsoriae versaretur; at postea Vossius etiam permisit, ut codex Spanhemio Lutetiam Parisiorum mitteretur. Vide Bidez 1929, 120 et Pagliara 2010, 37–39.

57 Wyttenbach 1802, 229s.

58 Spanhemii editio severissime castigata est etiam a Cobeto (1859, 341); vide etiam Bidez 1929, 119s.; C. Prato, Ezechiele Spanheim e la fallita edizione di Giuliano Imperatore, in: Filologia e forme letterarie. Studi offerti a F. della Corte V, Urbino 1987, 579–587; Prato^2, XCII–XCV.

59 Vide Bidez 1929, 123s.

fere non differentem a priore vulgato, sed annotavit varias lectiones et Vossiani et Augustani.[60]

Post editionem Spanhemianam anni paene centum octoginta praeterierunt, antequam nova omnium Iuliani operum editio (exclusis librorum *Contra Galilaeos* scriptorum fragmentis) lucem videret annis 1875 et 1876. Editor istorum duorum voluminum fuit Fridericus Carolus Hertlein, qui iam ab anno 1847 compluribus commentationibus haud paucos textus Iulianei locos per ingeniosas coniecturas emendavit; editoris tamen virtutes non omnibus in rebus exhibuit, et vitia editionis Hertleinianae severe castigata sunt a Bidetio:[61] Certe Hertlein optimorum codicum (ut Vossiani V et Marciani M) collationes fecit, sed istae collationes multas exhibent mendas;[62] perraro consuluit Vossiani apographon U, ubi folia Vossiani sunt amissa (v. supra);[63] ad Augustanum A conferendum confisus est vitiosae collationi olim ab Harlesio factae; atque etiam alios Iulianei textus testes neglexit.[64] Itaque editio Hertleiniana, quamquam editoris ingenium multas ingeniosas emendationes praestitit, multis etiam laborat vitiis; quae tamen id

60 Non autem intellexit lectiones Augustani fere easdem esse ac codicis „Pithoeani“, quas iam Cantoclarus notaverat 1577 (vide supra n. 48).

61 Bidez 1929, 126s.; vide etiam Prato^2, XCVs.

62 Vide exempla, quae dedit Bidez 1929, 6s. 11s. 30s.

63 Idque fecit, quamquam agnovit Parisinum U (quem litteris „Pc“ designavit) esse „apographon […] Vossiani eo tempore factum, quo […] folia, quae nunc desunt, nondum perierant. Habet igitur quae in Vossiano exciderunt“ (vol. I p. VII). Si autem Hertleinii apparatum in *Sermone contra Cynicos Ineruditos* – id est in opusculo, cui U foliis Vossiani amissis nunc paene unicum textus constituendi fundamentum extat – perlustras, vix duobus aut tribus locis mentionem Parisini invenies.

64 Vide Bidez 1929, 127: „loin de se mettre à même de classer les témoignages dont il disposait, il a ignoré nombre d'apographes anciens – comme les *Excerpta Neapolitana*, le *Bodleianus* O, le *Vindobonensis* W, le *Marcianus* C, les *Vaticani* K et S, le *Riccardianus* R, *l'Ottobonianus* T, le *Chalcenus*, et maint autres dont on a pu constater l'importance.“

saltem habebant boni, ut Bidetium inducerent ad iaciendum fundamentum textus Iulianei edendi funditus novum.[65]

Ipse Bidez, post opus eius de Iuliani operum traditione manuscripta et editionibus prioribus conscriptum, quod vere fundamentum Iulianei textus constituendi iecit, laborem textus imperatoris edendi iniit quidem, sed non perfecit; cum anno 1945 mortem obiret, omnia opuscula, quae huic editioni insunt, adhuc ab eo inedita remanebant. Materias autem collationesque ab eo relictas acceperunt susceperuntque ista opuscula edenda (in editionum serie, quae „collectio universitatum Franciae“ appellatur, in qua iam apparuerant annis 1924 et 1932 a Bidetio editae Iuliani *Epistulae* necnon eius opuscula tempore quo adhuc Caesar erat scripta) Gabriel Rochefort, qui anno 1963 edidit priora quattuor ex septem opusculis (nempe *Epistulam ad Themistium*, *Sermones Contra Heraclium Cynicum Contraque Cynicos Ineruditos* necnon *Hymnum in Matrem Deorum*), et Christian Lacombrade, qui anno 1964 edidit posteriora tria (nempe *Caesares*, *Hymnum in Solem Regem* necnon *Misopogonem*).

Istae autem editiones Bidetii successorum optimam qualitatem editionis Bidetianae servare non potuerunt;[66] insunt his editionibus haud pauca menda orthographica, et apparatus criticus persaepe aliquanto brevior est, quam ut lectores certiores facere possit de eis rebus, quas scire debent ad textum constitutum recte iudicandum: de variis lectionibus deque priorum philologorum coniecturis et emendationibus.

Quindecim annis post editiones Rochefortianam et Lacombradianam, philologi Italiani ducente Carolo Prato inchoaverunt seriem editionum versione Italica et adnotationibus instructarum, in qua unicuique ex nostris septem Iuliani opusculis singularis

65 Quod attinet ad Iuliani operum editionem versione Anglica instructam, quae publici iuris fecit Wilmer Cave Wright, constat eam paene omnibus in locis vestigia textus Hertleiniani premere.

66 Vide C. Prato, Per la storia del testo e delle edizioni di Giuliano Imperatore, [7–37] 24–34, in: B. Gentili (ed.), Giuliano Imperatore, Urbino 1986; eundem, Per l’edizione degli scritti di Giuliano, in: Prato^2, [LXXXVII–CIII] XCVIIs.

liber est dedicatus.[67] Ad textum constituendum omnes paene[68] editores (vel editrices) novas codicum collationes instituerunt (Bidetii vestigia sequentes), et ita praebent apparatum criticum ampliorem et accuratiorem quam editores Francogallici; in textu autem constituendo saepius traditionem manuscriptam sequuntur, ubi textus re vera corruptus esse videtur, et coniecturas reiciunt, ubi eis textum rectum restitui (vel certe meliorem reddi quam est in traditione manuscripta) verisimile est.

6. DE RATIONIBVS HVIVS EDITIONIS ET DE IVLIANI SERMONIS PROPRIETATIBVS

Editio, quae hoc in libro profertur, nihil vere novi ad Iulianei textus traditionem manuscriptam apportare potest; conatur autem eam traditionem rectius iudicare, et initium id faciendi capi debet ex observationibus quibusdam, quae attinent ad Iuliani Graecitatem atque eius genus scribendi.

a. De Iuliani Graecitate

Inter philologos saeculi XIX, qui Iuliani textum ingeniosis coniecturis multis locis meliorem reddiderunt, primum locum tenent Cobet et Hertlein; sed in eo peccaverunt, quod Iulianum magis „Atticum“ reddere volebant, quam textus in codicibus traditus permittit, atque etiam recentiores editores eum errorem non omnino effugerunt. Quamquam enim Iulianus in scriptis per omnia sua opuscula demonstrat stilum suum adsidua auctorum

67 *Misopogonem* ediderunt Prato et Micalella 1979, *Epistulam ad Themistium* Prato et Fornaro 1984, *Sermonem contra Cynicos Ineruditos* Prato et Micalella 1988, *Hymnum in Matrem Deorum* Ugenti 1992, *Sermonem contra Heraclium Cynicum* Guido 2000, *Caesares* Sardiello 2000, *Hymnus in Solem Regem* Mastrocinque 2011. Iam anno 1987 Fontaine et Prato et Marcone ediderunt *Epistulam ad Themistium*, *Hymnos in Solem Regem* et *in Matrem Deorum* necnon *Misopogonem*.

68 Exceptionem facere videtur Mastrocinque 2011, cuius *Hymni in Solem Regem* textus non est apparatu critico instructus.

classicorum lectione formatum et expolitum esse, tamen eius stilo insunt haud pauca vestigia serioris Graecitatis.[69] In opusculis hoc in libro editis observare potui haec:

Tertiam pronominis reflexivi personam (ἑαυτοῦ etc.) Iulianus adhibet pro prima (ἐμαυτοῦ etc.) vel secunda persona (σεαυτοῦ etc.); vide e.g. Ad Them. 1 p. 253A, C. Heracl. 21 p. 234A, Caes. 30 p. 329C, Misop. 7 p. 341C, 20 p. 350C (varia lectio). Hertlein primam vel secundam personam restituebat.

(Secundum Prato, Iulianus etiam formis obliquis pronominis αὐτός utitur pro pronomine reflexivo; sed cf. or. 1,36 p. 44C ἐφ' οἷς συνίσασιν αὑτοῖς; or. 3,38 p. 100C ὧν αὑτῷ σύνοιδεν; C. Cyn. 13 p. 194D σύνισμεν αὑτοῖς; Misop. 32 p. 360D σύνοιδα ... ἐμαυτῷ; ep. 89b p. 290D σύνοιδα ... ἐμαυτῷ. Vide et KG I 563s. Cf. etiam variam lectionem Caes. 23 p. 322B, p. 322C, 28 p. 327B, 30 p. 329C, 31 p. 330A, 34 p. 333B, 35 p. 334C; In Solem 22 p. 144A, 24 p. 145B, p. 145C; Misop. 1 p. 337A, 9 p. 343B, 17 p. 347B, 29 p. 358B, 33 p. 361A, 35 p. 362D.)

Voce ἔνθεν Iulianus pro ἐνθένδε uti solet (Ad Them. 13 p. 264D; In Solem 4 p. 132B, 11 p. 136B, 38 p. 152B, 42 p. 156A; Misop. 7 p. 340D).

νή pro μά invenitur C. Heracl. 8 p. 212B, 14 p. 219D; C. Cyn. 11 p. 191A; In Solem 1 p. 131A, 20 p. 142C. μά pro νή invenitur Misop. 21 p. 351C, 37 p. 365B.

Forma singulari φησίν pro φασίν Iulianus utitur C. Heracl. 15 p. 220C, 19 p. 225C, 25 p. 238A; In Matr. 7 p. 167C, fortasse 9 p. 168C, 14 p. 174B (bis); C. Cyn. 7 p. 186C, 10 p. 189D; In Solem 25 p. 145D; Misop. 28 p. 357A; epist. 81 p. 388C; v. etiam Blass-Debrunner § 130,3, Boulenger[1] p. 35). Varia lectio (φησίν / φασίν) invenitur In Solem 28 p. 148B.

Aliquas nominum personalium formas invenimus, quae priorum poetarum dictioni propriae sunt: Ἡρακλέος pro -έους (C. Heracl. 1 p. 204B, 7 p. 211D, 11 p. 217A, 14 p. 219B; In Matr. 6 p. 166D); Ἄρεος pro -εως (In Solem 40 p. 154A, 154C.

Hiatum non semper vitat Iulianus, e.g. ante οὕτω(ς) (or. 3,22 p. 77D καταλάβοι οὕτω, Contra Gal. p. 229,6 Neum. διδάξῃ οὕτως; saepius etiam inter cola: e.g. C. Heracl. 6 p. 211A μίμου, οὕτω; 7 p. 211D θήσεται, οὕτως; In Matr. Deor. 9 p. 169B χαρίσασθαι· οὕτως; 13 p. 173C ἀποτέμνεται, οὕτω; C. Cyn. 8 p. 187C κατέστη, οὕτω; In Sol. 32 p. 149C Ἡλίῳ, οὕτω; Misop. 18 p. 348B φύεσθαι, οὕτω; 26 p. 355C ἀφέληται· οὕτως).

Imprimis in negationibus ab usu classico differt scriptor noster: οὔτε solitarium pro οὐδέ adhibet (Ad Them. 7 p. 261C; C. Heracl. 6 p. 210D, 7 p. 211C;

69 Vide etiam Prato[2], XCVIII–CI.

In Matr. Deor. 3 p. 161C; C. Cyn. 8 p. 187D; In Solem 1 p. 130D et 131A, 17 p. 141C; Misop. 30 p. 359D); cf. Boulenger[1] p. 137s. 191 (similiter μήτε solitarium pro μηδέ: Caes. 32 p. 331D).

Aliquoties invenimus ἓν ... οὐδέν pro οὐδέν vel sim. (In Matr. 4 p. 163A; In Solem 16 p. 140B, 27 p. 148A, 39 p. 153C).

Saepe οὐδέ — οὐδέ pro οὔτε — οὔτε adhibere videtur; vide Ad Them. 2 p. 254D ἐκεῖ γενόμενος οὐδὲ σκοπιὰν οὐδὲ πέτραν ὄψει, 7 p. 261A τοῦτον οὐδὲ βασιλέα καλῶν οὐδὲ τὸν τοιοῦτον εἶδος (βασιλείας) οἰόμενος, 10 p. 264B Σωκράτης ... οὐδὲ τῆς γαμετῆς ἦν τῆς αὑτοῦ κύριος οὐδὲ τοῦ παιδός; C. Heracl. 23 p. 235A οὐδὲ γὰρ ἐπαιδοτριβήθης καλῶς οὐδὲ ἔτυχες καθηγεμόνος; C. Cyn. 11 p. 191B οὐκοῦν οὐδὲ εἴ τι Πυθάγορας ἔφη, οὐδὲ εἴ τις ἄλλος τῷ Πυθαγόρᾳ παραπλήσιος, ἀξιόπιστος ἐδόκει τῷ Διογένει, 13 p. 194A οὐδὲ ἀετὸς οὐδὲ πλάτανος οὐδὲ ἄλλο τι τῶν ὀντων ζῴων ἢ φυτῶν χρυσᾶ περιεργάζεται πτέρα καὶ φύλλα.

οὐδέ — οὐδέ — οὐδέ invenimus In Matrem 2 p. 160D–161A.

Aliis locis inveniuntur iuncturae οὐδέ — οὔτε sive οὔτε — οὐδέ (pro οὔτε — οὔτε): vide Ad Them. 12 p. 266C οὐδὲ (οὔτε Hertlein) παιδείαν ἐμαυτῷ συνειδὼς τοσαύτην οὔτε φύσεως ὑπεροχήν, In Solem 1 p. 130D οὐκέτι ξυνιεὶς οὐδὲ εἴ τις λέγοι τι πρός με οὔτε αὐτὸς ὅ τι πράττοιμι προσέχων, Misop. 23 p. 352C Οὔτε γὰρ ἠπίστατο πρὸς ὑμᾶς ἀφιξόμενον οὐδέ, εἰ τὰ μάλιστα φοιτᾶν μέλλοιμι.

οὐδέ — οὐδέ — οὔτε et μηδέ — μηδέ invenitur In Solem 20 p. 142D.

μηδέ — μηδέ — μήτε invenitur In Matr. 17 p. 177A.

Quod attinet ad coniunctiones et modos, haec notabilia observari possunt:

ὅπως cum coniunctivo iungitur C. Heracl. 22 p. 229B. 230D, 25 p. 238A.

ὡς ἄν cum optativo finali iungitur C. Heracl. 14 p. 219A, 22 p. 231D; C. Cyn. 10 p. 189C, 16 p. 198C; epist. 11 p. 425C. πρὶν ἄν „eventuale" sive „futurum" cum optativo (non coniunctivo) iungitur In Solem 8 p. 134C.

μή cum optativo iungitur In Matr. 10 p. 169D (Καὶ μή τις ὑπολάβοι με λέγειν), In Solem 10 p. 136A (Μὴ γὰρ δή τις ὑπολάβοι τοῦτον), Caes. 4 p. 308 D (Ὅρα ..., μή σε ὁ ἀνὴρ οὗτος ... ἀφελέσθαι καὶ τὴν βασιλείαν διανοηθείη), cum coniunctivo et optativo C. Heracl. 22 p. 233AB (μή σε ... ὁ κόλαξ ἐξαπατήσας λάθῃ, ... εἶτα αὐτῷ δοίης ...).

Modum potentialem sine ἄν invenimus In Matr. 18 p. 178C (οὐδεὶς ὅστις ... οὐ φήσειεν), 19 p. 179D (ὅσον οὐδεμία μιμήσαιτο … τέχνη), C. Cyn. 4 p. 183C (τὰς ἀρχὰς τοῦ σώματος σκέψαιτο), 5 p. 184CD (Ἐπεὶ καὶ ἄν τις θέλῃ ... ἐπανελθεῖν εἰς Ἀθήνας, δύναιτο μὲν καὶ πλεῖν καὶ βαδίζειν), 9 p. 188D (τὸ 'Γνῶθι σαυτὸν' … εὖ οἶδα ὅτι „τοῦ παντὸς" [scil. ἄξιον] φήσειε).

Permixtio modorum in sententiis principalibus invenitur C. Cyn. 4 p. 183BC (Οὐκοῦν ὁ γιγνώσκων αὐτὸν εἴσεται μὲν ..., εἴσεται δὲ ..., καὶ τοῦτο οὐκ ἀρκέσει μόνον ..., ἀλλὰ καὶ ... ἐπελεύσεται ..., ἔπειτα ἀνιχνεύσει ...· καὶ οὐδὲ τοῦτο μόνον ἀρκέσει αὐτῷ, ἀλλὰ καὶ ... Ἐπιὼν δὲ αὖθις τὰς ἀρχὰς τοῦ σώματος σκέψαιτο, ... Ἐπιβλέψει δὲ μετὰ τοῦτο ...).

Redundantiam in formis comparativis et superlativis videmus C. Cyn. 18 p. 200D (μᾶλλον ἀξιώτερον), Misop. 8 p. 342C (γνωριμώτεροι μᾶλλον), 24 p. 353B (ὄντα μάλιστα αἰτιώτατον).

Interdum invenimus formas verborum „metaplasticas“: Ad Them. 3 p. 256B (εἵλαντο), In Matr. 19 p. 179C (εἵλατο), C. Cyn. 11 p. 190C (εἶπας), Caes. 7 p. 310D (ἐξεύρατε).

Quod ad syntaxim attinet, observationes licet facere has: nominativus pro casu obliquo adhibetur C. Cyn. 17 p. 200B (Ἐντυχὼν δὲ ... Πλουτάρχῳ ... οὐθὲν ἐκ παρέργου {τοῦ} μανθάνειν δεήσει τὸν ἄνδρα), Caes. 30 p. 329AB (πρὸς ἐκείνην βλέπων οὐθὲν ἔμελεν αὐτῷ περὶ τῆς δίκης). Aliquoties Iulianus inconcinne utitur articulo definito; vide C. Cyn. 9 p. 189A (ὁ τῆς ἀληθείας ... ἔρως ἥ τε δόξης ὑπεροψία), 10 p. 189D (εἰ μή τι τοιοῦτον ⟨ἦν⟩ ..., ὃ τῶν ἐκτὸς ποιεῖται τὴν ἀντίληψιν, οὐδὲν δυνατὸν οἶμαι γενέσθαι τῶν αἰσθητῶν ἀντίληψιν), 11 p. 190B (ἀπέδοσάν ... ἡγεμονίαν μὲν τῇ ψυχῇ, τὴν ὑπηρεσίαν δὲ τῷ σώματι). Etiam usus verbi ἐκκλίνω cum genitivo (C. Cyn. 11 p. 190A) signum tardioris Graecitatis videtur esse.

b. De Iuliani genere scribendi

Quod ad Iuliani scribendi stilum attinet, considerandum est primum, qualem originem septem opuscula ab Iuliano Augusto scripta habuerint. Certe non est obliviscendum Iulianum per totum suae solius dominationis tempus ita aliis officiis negotiisque occupatum fuisse – administratione vastissimi imperii, studio antiquis deis antiquum statum reverentiamque reddendi, praeparatione maximi in regnum Sasanidarum incursus –, ut nullum nisi brevissimum tempus illi maneret ad ista opuscula conficienda. Id quod Iulianus ipse confitetur; dicit enim, e.g., se sola aliqua noctis parte uti potuisse ad *Hymnum in Matrem Deorum* conficiendum nec sibi tempus fuisse ad consideratius praeparandum, quomodo

quas res in eo hymno dicere vellet.[70] Similiter loquitur in fine *Sermonis contra Cynicos Ineruditos*: se id opusculum ut πάρεργον intra duos dies „anhelanti spiritu“ scripsisse.[71] Nec multum plus temporis impertivit *Hymno in Solem Regem* conscribendo, quem intra tres noctes se perfecisse dicit.[72] Cumque in *Sermone contra Heraclium Cynicum* de aliqua subtiliore philosophiae divisione loquatur, se excusat, quod eam rem fortasse non satis exacte explicaverit; id autem non debere mirum videri in homine tot negotiis districto.[73]

Itaque omnia fere opuscula, quae huic editioni insunt, ab Iuliano celerrime sunt conscripta, et ista scribendi ratio (quae certe omni correctionis tempore caruit) certa vestigia reliquit in Iuliani scribendi stilo. Primum quidem haud est mirandum adhuc incurias atque etiam contradictiones in eius scriptis remanere; bonum eius rei exemplum praebet mythus, quem Iulianus in *Sermone contra Heraclium Cynicum* narrat: primum dicit se ad servandum orbem Romanum missum instructum gladio scuto pugione (22 p. 230C: ἔχων ... ξίφος τε καὶ ἀσπίδα καὶ μάχαιραν); tum autem (circa triginta textus lineis infra) se in conspectum venisse Soli atque Minervae instructum scuto gladio hasta (22 p. 231C: Ἐπεὶ δὲ ἑώρα τήν τε ἀσπίδα καὶ τὸ ξίφος μετὰ τοῦ δόρατος ...). Ut istam discrepantiam tolleret, Hertlein de substituendo

70 Jul. In Matrem 19 p. 178D–179A: Τίς οὖν ἡμῖν ὑπολείπεται λόγος, ἄλλως τε καὶ ἐν βραχεῖ νυκτὸς μέρει ταῦτα ἀπνευστὶ ξυνεῖραι συγχωρηθεῖσιν, οὐθὲν οὔτε προανεγνωκόσιν οὔτε σκεψαμένοις περὶ αὐτῶν, ἀλλ' οὐδὲ προελομένοις ὑπὲρ τούτων εἰπεῖν πρὶν ἢ τὰς δέλτους ταύτας αἰτῆσαι;

71 Jul. In Cyn. 20 p. 203C : ... ἐκ τοῦ παραχρῆμα περὶ τῶν τοιούτων ἂν ἀπνευστί, τὸ δὴ λεγόμενον, συνείραντες, ἔστι γὰρ πάρεργον ἡμέραιν δυοῖν...

72 Jul. In Solem 44 p. 157C: Ταῦτά σοι, ὦ φίλε Σαλούστιε, κατὰ τὴν τριπλῆν τοῦ θεοῦ δημιουργίαν ἐν τρισὶ μάλιστα νυξὶν ὡς οἷόν τε ἦν ἐπελθόντα μοι τῇ μνήμῃ καὶ γράψαι πρὸς σὲ ἐτόλμησα ...

73 Jul. In Heracl. 10 p. 216A–B: οὐδὲν θαυμαστὸν ἄνδρα στρατιώτην μὴ λίαν ἐξακριβοῦν μηδ' ἐξονυχίζειν τὰ τοιαῦτα, ἅτε οὐκ ἐκ βιβλίων ἀσκήσεως, ἀπὸ δὲ τῆς προστυχούσης αὐτὰ ἕξεως ἀποφθεγγόμενον· ἔσεσθε γοῦν μοι καὶ ὑμεῖς μάρτυρες, εἰ τὰς ἡμέρας λογίσεσθε πόσαι καὶ τίνες εἰσὶν αἱ μεταξὺ ταύτης | [B] τε καὶ τῆς ἔναγχος ἡμῖν γενομένης ἀκροάσεως ὅσων τε ἡμῖν ἀσχολιῶν πλήρεις ...

in priore loco verbo „lancea“ (i.e. δόρυ vel αἰχμήν) pro verbo „pugione“ (μάχαιραν) cogitavit, atque Rochefort δόρυ etiam in textu posuit; sed verisimile est iam Iulianum ipsum celerius et incuriosius scribendo istius discrepantiae auctorem esse.

Ista nimia scribendi celeritas, quae saepe parentheses introducit (quia Iulianus plures res dicere vult, quam sententia brevis et simplex accipere potest), nonnullis locis etiam anacolutha in periodis Iulianeis effecit, quae in textu servari debent.[74] Denique Iuliani modus sine ulla retractatione aut correctione scribendi haud raro periodorum compositiones valde longas produxit, quae priores editores non semper servaverunt, sed in breviores particulas fregerunt atque ita Iuliani ordinem sententiarum obscuraverunt.[75] Quibus omnibus textus, qui hac in editione profertur, vult mederi, ut Iulianum „magis genuinum“ accipiamus.

***

Restat ut gratias agam maximas ei viro, qui mihi per omnes annos, in quibus huic editioni operam dedi, semper adfuit adiutor perpetuus consilariusque excellentissimus: Rudolfo Kassel, magistro meo optimo, sine quo fructus huius libri – si qui sunt – aliquanto minores evenissent.

Gottingae, mense Decembri 2014

74 Exempla sunt Ad Them. 2 p. 254B; Misop. 7 p. 340D–341A; 11 p. 344D–345A; 17 p. 347A; 31 p. 359D–360A.

75 Exempla sunt C. Heracl. 5 p. 209B–D; C. Cyn. 6 p. 185C–186A; 7 p. 186B–D; 13 p. 194B–D; Caes. 17–18 p. 317C–D; Misop. 7 p. 341C–D.

LIBRORVM CONSPECTVS

A. EDITIONES:[76]

Cantoclarus 1577: Juliani Imperatoris de Caesaribus sermo. C. Cantoclari studio atque opera in lucem nunc primum editus, et ab eodem Latine factus, Parisiis 1577

Cantoclarus 1583: Iuliani Imperatoris Caesares. C. Cantoclari Consiliarii Regii ... studio atque opera in lucem editi, et ab eodem Latini facti. Parisiis 1583

Cunaeus: Sardi venales, Satyra Menippea ... Petrus Cunaeus scripsit. In fine seorsim addita est ex eius interpretatione Divi Iuliani Imperatoris satyra in principes Romanos. Ex officina Plantiniana Raphelengii Lugduni Batavorum 1612

Guido: Rosanna Guido, Giuliano Imperatore, Al cinico Heraclio. Edizione critica, traduzione e commento, Galatina (Lecce) 2000

Hertlein: Iuliani Imperatoris quae supersunt praeter reliquias apud Cyrillum omnia. Recensuit Fridericus Carolus Hertlein. Vol. I, Lipsiae 1875; Vol. II, Lipsiae 1876

Heusinger: Iuliani Imperatoris Caesares, cum integris adnotationibus aliquot doctorum virorum et selectis Ezech. Spanhemii ... Recensuit, cum codice ms. Augustano editisque omnibus contulit variantes lectiones, observationes et indices adiecit I. M. Heusinger, Gothae 1736

Lacombrade: Chr. Lacombrade, L'empereur Julien, Oeuvres complètes II 2, Paris 1964

Marcilius: Juliani Imperatoris opera quae extant omnia. A Petro Martinio Morentino Navarro, & Carolo Cantoclaro ... latina facta, emendata, & aucta. Ejusdem Martinii praefatio de vita Juliani. His accesserunt epistolae aliquot nondum prius editae. Additus praeterea est a Carolo Cantoclaro liber ejusdem Juliani **περὶ βασιλείας**, & a Theodoro Marcilio **ὕμνος εἰς βασιλέα Ηλιον**, ab iisdem recogniti & illustrati ... Parisiis / in vico Bellovaco 1583

Martinius 1566: Juliani Imperatoris Misopogon et epistolae, graece latineque nunc primum edita et illustrata à Petro Martinio Morentino Navarro, Parisiis 1566

Petavius: D. Petavius, Iuliani imperatoris Opera, quae quidem reperiri potuerunt, omnia. Ea verò partim antehac edita, partim nunc primùm è manuscriptis eruta, & ad horum fidem accuratissimè castigata, Graecè, Latinéque prodeunt, cum notis, Parisiis 1630

76 Editiones hic non chronologico, sed alphabetico ordine (nempe nominum editorum) enumerantur, ut facilius in apparatu critico reperiantur.

Prato: Giuliano Imperatore, Misopogon. Edizione critica, traduzione e commento a cura di C. Prato e D. Micalella, Roma 1979;[77] Giuliano Imperatore, Epistola a Temistio. Edizione critica, traduzione e commento a cura di C. Prato e A. Fornaro, Lecce 198;4[78] Giuliano Imperatore, Contro i cinici ignoranti. Edizione critica, traduzione e commento a cura di C. Prato e D. Micalella, Lecce 1988[79]

Prato² Giuliano Imperatore, Alla Madre degli dei e altri discorsi [*Ep. d Them.*, *In Solem*, *Misop.*]. Introduzione di Jacques Fontaine. Testo critico a cura di Carlo Prato. Traduzione e commento di Arnaldo Marcone, Milano 1987

Rochefort: G. Rochefort, L'empereur Julien, Oeuvres complètes II 1, Paris 1963

Sardiello: Rosanna Sardiello, Giuliano Imperatore, Simposio / I Cesari, Ed. critica, trad. e commento, Galatina 2000

Spanheim: Iuliani Imperatoris opera quae supersunt omnia et S. Cyrilli Alexandriae Archiepiscopi contra impium Iulianum libri decem ... Ezechiel Spanhemius Graecum Iuliani contextum recensuit, cum Manuscriptis codicibus contulit, plures inde lacunas supplevit, et Observationes tam ad Iulianum, quam ad Cyrillum, addidit. Cum indicibus necessariis, Lipsiae 1696

Spanheim 1683: Ezechiel Spanheim, Les Césars de l'Empereur Julien, Traduits du Grec, Avec des Remarques et des Preuves Illustrées par les Médailles, Paris 1683

Sylburg: Iuliani Caesares ... C. Cantoclaro interprete, cum notis F. Sylburgii, in: Romanae historiae scriptores graeci minores, t. III. Francofurdi 1590, 832–852. 961–966

Ugenti: V. Ugenti, Giuliano Imperatore, Alla Madre degli dei, Galatina 1992

Wright: Wilmer Cave Wright, The works of the emperor Julian, Vol. 1–2, London 1913

B. COMMENTATIONES AD IVLIANI TEXTVM (ET EIVS FORTVNAM) PERTINENTES:

Anastasi: R. Anastasi, Su due passi del Misopogon, in: Koinonia 11, 1987, 131s.

Arnoldt: R. Arnoldt, Zu Julianos (Rede VI 203A. VII 220B. 224B), in: Jahrbücher für classische Philologie 26, 1880, 119f.

77 „Appartengono a C. Prato [...] il testo critico e la traduzione“ (p. 8*).
78 „Appartengono a C. Prato il testo critico (...) e la traduzione“ (p. III).
79 „Appartengono a C. Prato il testo e la traduzione“ (p. VII).

Asmus[1]: R. Asmus, Julians Galiläerschrift im Zusammenhang mit seinen übrigen Werken. Ein Beitrag zur Erklärung und Kritik der Julianischen Schriften, Freiburg i. Br. 1904
Asmus[2]: R. Asmus, Kaiser Julians philosophische Werke, Leipzig 1908
Asmus[3]: R. Asmus, Zur Textkritik von Julian Or. IV, Rheinisches Museum 63, 1908, 627–630
Asmus[4]: R. Asmus, Zur Textkritik von Julian Or. V, in: Rheinisches Museum 64, 1909, 318–320
Asmus[5]: R. Asmus, Der Alkibiades-Kommentar des Jamblichos als Hauptquelle für Kaiser Julian, Heidelberg 1917 (SB Heidelberger AW 1917, 3)
Bidez 1901: J. Bidez, Un passage de Julien, in: Revue de l'Instruction publique en Belgique 44, 1901, 177–181
Bidez 1929: J. Bidez, La tradition manuscrite et les éditions des discours de l'empereur Julien, Gand / Paris 1929
Bidez 1930: J. Bidez, Notes sur quelques passages des écrits de l'Empereur Julien, in: Mélanges P. Thomas, Bruges 1930, 54–65
Bouffartigue : J. Bouffartigue, L'empereur Julien et la culture de son temps, Paris 1992
Boulenger[1]: F. Boulenger, Essay critique sur la syntaxe de l'empereur Julien, Lille / Paris 1922
Boulenger[2]: F. Boulenger, Remarques critiques sur le texte de l'empereur Julien, Paris 1922
Brambs 1897: J. G. Brambs, Studien zu den Werken Julians des Apostaten, 1. Teil, Programm Eichstätt 1897
Brinkmann: A. Brinkmann, Zu Julians IV. Rede, Rheinisches Museum 63, 1908, 631
Cobet: C. G. Cobet, Annotationes criticae et palaeographicae ad Iulianum, in: Mnemosyne 8, 1859, 341–419; C. G. Cobet, Annotationes criticae ad Iuliani συμπόσιον ἢ Κρόνια, vulgo Caesares, Mnemosyne 9, 1860, 249–277 et Mnemosyne 10, 1861, 164–192; C. G. Cobet, Annotationes criticae et palaeographicae ad Iulianum. Ad Orationem quae inscribitur Ἀντιοχικὸς ἢ Μισοπώγων, Mnemosyne 10, 1861, 164–192; C. G. Cobet, Ad Julianum, in: Mnemosyne 11, 1883, 351–373
Criscuolo[1]: U. Criscuolo, Note filologiche III: Per il testo di Giuliano, or. 6 [= Ep. d Them.], in: Filologia e forme letterarie. Studi offerti a F. della Corte V, Urbino 1987, 192–196
Criscuolo[2]: U. Criscuolo, Note filologiche IV, in: Atti della Accademia Pontaniana 39, 1990, [403–411] 404s.
Criscuolo[3]: U. Criscuolo, Problemi del testo di Giuliano imperatore [ad C. Cyn.], in: R. Romano (ed.), Problemi di ecdotica e esegesi di testi bizantini e grecomedievali, Napoli 1993, [11–28] 23–28
Cumont: Fr. Cumont, Deux corrections au texte du „Misopogon“ de Julien, in: Revue de l'instruction publique en Belgique 32, 1889, 82–84
Festugière: A. J. Festugière, Antioche païenne et chrétienne, Paris 1959, 65. 84

Filippo: A. Filippo, Giuliano, Inno a Helios Re. Rilettura dei codici, in: Prometheus 12, 1986, 85–92
Friederich: B. Friederich, Coniecturae ad Iuliani aliorumque eiusdem aetatis scriptorum opera, Gymn.-Progr. Clausthal 1873
Gascou: J. Gascou, Κλῆροι ἄποροι (Julien, Misopogon 370D–371B), in: Bulletin de l'Institut Français d'Archéologie Orientale (BIFAO) 77, 1977, 235–255
van Groningen: B. A. van Groningen, censura libri „Chr. Lacombrade, L'empereur Julien, Oeuvres complètes II 2“ (v. supra), Mnemosyne 20, 1967, 334–337
Guenther: O. Guenther, Juliani orat. VI p. 182C. Conv. p. 183, in: Genethliacon Gottingense. Miscellanea philologica in honorem Seminarii Regii Philologici Gottingenesis scripserunt philologi Gottingenses XXIV, Halis Saxonum 1888, 177f.
Guida 1991: A. Guida, Giuliano, A Temistio e contro Heraclio cinico: note di lettura, in: Prometheus 17, 1991, 132–136
Helferich: G. Helferich, Krates Gebet. Uebersetzt, erläutert und mit Einleitung versehen. Beilage zu dem Herbst-Programme des Grossh. Lyceums zu Carlsruhe, Lieferung I, Carlsruhe 1852
Hemsterhusius: F. Hemsterhuis, Ad Iuliani Caesares notae breves et emendationes, in: Anecdota Hemsterhusiana, ex schedis mss. ed. I. Geel, Lugduni Batavorum 1825, III p. 269–286
Hercher: R. Hercher, Zu griechischen Prosaikern, Hermes 12, 1877, 145f.
Hertlein 1847: Fr. C. Hertlein, Emendationes Iulianeae, Gymn.-Progr. Wertheim 1847
Hertlein 1850: Fr. K. Hertlein, Kritische Bemerkungen zu Julians Schriften, Gymn.-Progr. Wertheim 1850
Hertlein 1856: Fr. C. Hertlein, Coniectanea critica in Iuliani orationes atque epistolas, Gymn.-Progr. Wertheim 1856
Hertlein 1857: Fr. C. Hertlein, Specimen novae Iuliani Caesarum editionis, Heidelberg 1857
Hertlein 1861: Fr. K. Hertlein, Conjecturen zu griech. Prosaikern, Gymn.-Progr. Wertheim 1861, 15–22
Hertlein 1863: Fr. C. Hertlein, Variae lectiones ad Iuliani Caesares e codicibus Parisinis enotatae, Gymn.-Progr. Wertheim 1863
Hertlein 1873: Fr. C. Hertlein, Conjecturen zu griech. Prosaikern, Gymn.-Progr. Wertheim 1873, 22–35
Horkel: J. Horkel, Emendationes Iulianeae, Berlin 1841 (iterum impr. in: id., Reden und Abhandlungen, Berlin 1862)
Jacob: A. Jacob, apud Boulenger[2]
King: C. W. King, Julian the Emperor, containing Gregory Nazianzen's two Invectives and Libanius Monody, with Julian's extant theosophical works, London 1888
Klimek: P. Klimek, Coniectanea in Julianum et Cyrilli Alexandrini contra illum libros, diss. Vratislaviae 1883

Klimek[1]: P. Klimek, Zur Textkritik Julians, in: Hermes 21, 1886, 482–487
Klimek[2]: P. Klimek, Zur Würdigung der Handschriften und zur Textkritik Julians, Progr. des Gymn. Leobschütz 1888
Klimek[3]: P. Klimek, Der Hiatus in den Schriften Kaiser Julians, Breslau 1919
Kroll: W. Kroll, De oraculis Chaldaicis, Breslauer Philologische Abhandlungen 7,1, Breslau 1894
van Lennep: J. D. van Lennep, Phalaridis Epistolae, Leipzig 1823 p. 176 (prima editio 1777 p. 158a)
Lucarini: C. Lucarini, Per il testo di Giuliano l'Apostata, Rendiconti dell' Accademia dei Lincei n. s. 25 (2014) 89–103
Mau: G. Mau, Die Religionsphilosophie Kaiser Julians in seinen Reden auf König Helios und die Göttermutter, mit einer Übersetzung der beiden Reden, Leipzig 1907
Montanari: Ornella Montanari, Tre note al Misopogon di Giuliano, in: Giornale filologico ferrarese 11, 1988, 9–14
Naber: S. A. Naber, Epistula Critica ad Allardum Piersonum de Iuliano, Mnemosyne 11, 1883, 387–410
Nautin: P. Nautin, Sur une phrase de l'empereur Julien, Or. IV 143 B, in: Revue de Philologie 29, 1955, 228
Nesselrath 1992: H.-G. Nesselrath, Caesar in den Caesares: ein Beitrag zur Text- und Quellenkritik in den Schriften Kaiser Julians, in: RhM 135, 1992, 352–365
Norman: A. M. Norman, censura libri „Giuliano Imperatore, Misopogon. Edizione critica […] a cura di C. Prato e D. Micalella“ (v. supra), Classical Review 31, 1981, 190–191
Pagliara: A. Pagliara, Per la storia della fortuna dell' imperatore Giuliano tra Umanesimo ed età barocca, Roma 2010
Platt 1904: A. Platt, Emendations of Julian Misopogon in: Classical Review 18, 1904, 21–22
Platt 1905: A. Platt, Notes on Julian, Classical Review 19, 1905, 156–159
Praechter: K. Praechter, Zu Or. 4 p. 135 C, in: Rheinisches Museum 68, 1913, 153f.; Julian Or. 6 p. 238,3ff. Hertl., in: Hermes 56, 1921, 441–443
Prato 1954: C. Prato, Note su alcuni luoghi del Misopogon, in Bollettino del Comitato per la preparazione della edizione nazionale dei classici greci e latini N. S. 3, 1954, 93–95
Prato 1979: C. Prato, Julian. Misop. 369B = Hes. fr. 359 Merk.-West, in: Quaderni Urbinati di Cultura Classica 30 (n.s. 1), 1979, 149–151
Prato 1981: C. Prato, Per l'edizione critica dell'opuscolo di Giuliano Imperatore Misopogon, in: Studi in onore di Mario Marti, Galatina 1981, 46–53
Prato 1983: C. Prato, Giuliano, Epist. Them. 261 D 9 – 262 A 1 ss., in: Studi in onore di D. Adamesteanu, Galatina 1983, 153–154
Prato 1986: C. Prato, Note al testo dell'Epistola a Temistio di Giuliano imperatore in: Studi in onore di Adelmo Barigazzi, vol. II, Roma 1986, 169–176

Prato 1986²: C. Prato, Note critiche al testo dell'opusculo di Giuliano Imperatore Contro i cinici ignoranti, in: Munus amicitiae. Scritti in memoria di Alessandro Ronconi, I. Quad. di filol. lat. Florenz 1986, 201–209
Prato 1988: C. Prato, Liddell-Scott-Jones s.v. νοσοτυφέω, in: Quaderni Urbinati di Cultura Classica 58 (n.s. 29), 1988, 125
Prato 1989: C. Prato, Note testuali giulianee, in : Polyanthema. Studi di Letteratura Cristiana antica offerti a S. Costanza, Studi tardoantichi 7, 1999, 27–35
Prato 1993: C. Prato, Note al testo di Giuliano imperatore, in: Rudiae. Ricerche sul mondo classico 5, Galatina 1993, 115–121
Reiske: J. J. Reiske, Animadversiones in Julianum „codex Lugdunensis Wyttenbachii nr. 34", Leiden (sine anno)
Russell: D. A. Russell, censura libri „G. Rochefort, L'empereur Julien, Oeuvres complètes II 1" (v. supra), Classical Review 15, 1965, 42f.
Russo: C. F. Russo, Saggio testuale sul Misopogon giulianeo, in: Studi Italiani di Filologia Classica 27–28, 1956, 460–488; Giuliano imperatore, Cesari 323 A, in: Maia 15, 1963, 526s.
Sardiello 1990: Rosanna Sardiello, Sul testo dei Cesari di Giuliano Imperatore, in: Rudiae: Ricerche sul mondo classico 2, Galatina 1990, 135–138
Shorey: P. Shorey, Emendation of Oratio V 179 C, in: Classical Philology 8, 1913, 229–230
De Sinner 1835: L. De Sinner, Excerpta ex schedis criticis Jacobi Leopardii, Rheinisches Museum 3, 1835, 11
Thillet: P. Thillet, censura libri „G. Rochefort, L'empereur Julien, Oeuvres complètes II 1" (v. supra), Revue des Etudes Grecques 77, 1964, 360–369
Thillet: P. Thillet, censura libri „Chr. Lacombrade, L'empereur Julien, Oeuvres complètes II 2" (v. supra), Revue des Etudes Grecques 78, 1965, 444–453
Thomas: P. Thomas, Notes et conjectures sur les oeuvres de l'empereur Julien, Revue Belge de Philologie 1, 1922, 15–25
Ugenti 1983: V. Ugenti, Note critiche al discorso Alla madre degli dei di Giuliano Imperatore, in: Studi in onore di Dinu Adamesteanu, Galatina 1983, 137–143
Ugenti 1988: V. Ugenti, Noterelle critiche a Tertulliano e Giuliano, in: Rudiae. Ricerche sul mondo classico 1, Galatina 1988, 187–191
Vater: Fr. Vater, Miscellaneorum criticorum Fasciculus secundus, III–VIII, Neue Jahrbücher für Philologie und Pädagogik, Suppl. 16, 1850, [165–201] 180
Wyttenbach: D. Wyttenbach, Epistola critica super nonnullis locis Juliani Imperatoris. Accedunt animadversiones in Eunapium et Aristaenetum. Ad virum celeberrimum Davidem Ruhnkenium, Göttingen 1769; iterum typis impressa in: Juliani Imperatoris in Constantii laudem oration Graece et Latine. cum animadversionibus Dan. Wyttenbachii. accedit ejusdem Epistola critica ad Dav. Ruhnkenium. Graeca recensuit, notationem criticam indicesque adjecit G. H. Schaefer, Lipsiae 1802, 225–280

SIGLA

a. ad *Epistulam ad Themistium*, *Sermonem contra Heraclium Cynicum*, *Hymnum in Matrem Deorum*, *Sermonem contra Cynicos Ineruditos* pertinentia:

V: Codex Leidensis Vossianus gr. F. III 77 (saec. XII/XIII)
U: Codex Parisinus 2964 (saec. XV; apographon codicis V, iis tantum locis adhibendum, ubi scriptura codicis V evanida)
vet. vulg.: vetus vulgata (editiones Petavii et Spanhemii)

b. ad *Caesares* pertinentia:

V: Codex Leidensis Vossianus gr. 77 III (saec. XII/XIII) [usque ad 36, p. 335B ταῖς τε ἐπιθυμίαις ταῖς ἑαυτοῦ; inde a καὶ ταῖς τῶν φίλων incipit V², qui autem non continet 37 p. 335D τὸ κήρυγμα – 38 p. 336B τοὺς παῖδας)
A: Augustanus (Monacensis gr. 564; saec. XIII) (prima pars, usque ad 4 p. 309B ὀμμάτων, et ultima pars, inde ab 35 p. 335A ἐμαυτὸν ἐγὼ, A²)
Exc.: Excerpta Neapolitana (Neapolitanus II C 32, saec. XIV–XV)
M: Marcianus 366 (saec. XV ineuntis; non continet 38 p. 336A ἵνα καὶ τὸν Ἰησοῦν – 38, p. 336B καθαρῷ γενέσθαι)
U: Codex Parisinus 2964 (saec. XV; apographon codicis V, iis tantum locis adhibendum, ubi scriptura codicis V evanida; non continet 37 p. 335D τὸ κήρυγμα – 38 p. 336B τοὺς παῖδας)
vet. vulg.: vetus vulgata (editiones Cantoclari, Sylburgi, Cunaei, Petavii, Spanhemii)

c. ad *Hymnum in Solem Regem* pertinentia:

V: Codex Leidensis Vossianus gr. 77 III (saec. XII/XIII)
U: Codex Parisinus 2964 (saec. XV; apographon codicis V, iis tantum locis adhibendum, ubi V non exstat aut eius scriptura evanida)
O: Codex Bodleianus Miscellaneus 57 (saec. XIII/XIV) [deest usque ad 133B δίδωσιν ἄρχειν et desinit post 157D τελειότερον]: folia 20–26
K: Codex Vaticanus Graecus 1883 (apographon codicis O, ibi tantum adhibendum, ubi O non exstat): folia 1–7
Vat: Vaticanus gr. 1448 (saec. XV) (apographon codicis K, ibi tantum adhibendum, ubi O et K non exstant): folia 1–19v
C: Codex Marcianus Graecus 436 (saec. XIV): folia 149–156

W: Codex Vindobonensis philos. philol. 165 (saec. XII/XIV), qui solum extat a 134C (ὅλως εἴη ἂν) usque ad 137C (ἆρ' οὐχ): folium 101
G: Codex Monacensis Graecus 490 (saec. XV post.; originem ducens a codice W): folia 381–395
R: Codex Riccardianus Graecus 76 (saec. XV; originem ducens a codice W): folia 116–129
T: Codex Ottobonianus Graecus 181 (saec. XV post.; originem ducens a codice W): folia 87–103
L: Laurentianus 57.33 (saec. XV post.; originem ducens a codice W): folia 60–75v
Z: Vaticanus gr. 2236 (saec. XV post.; originem ducens a codice W): folia 142–158v
h: consensus codicum G R T L Z sive, in parte 134C – 137C, = W
f: consensus codicum O (K) C et h
vet. vulg.: vetus vulgata (editiones Marcilii, Petavii, Spanhemii)

d. ad *Misopogonem* pertinentia:

S: Vaticanus gr. 914 (saec. XIV–XV), qui deest a p. 350a5 ἐν τέλει usque ad p. 363d4 εὐνοίας
V: Leidensis Vossianus gr. 77 III (saec. XII–XIII)
U: Parisinus 2964 (saec. XV; apographon codicis V, iis tantum locis adhibendum, ubi scriptura codicis V evanida est)
O: Bodleianus Misc. 57 (saec. XIII–XIV)
K: Vaticanus Graecus 1883 (apographon codicis O, ibi tantum adhibendum, ubi O non exstat)
Rarius citantur in *Misopogonis* apparatu tres codices ex K derivati:
Monac. 113 (v. Bidez 1929, 57)
Monac. 461 (v. Bidez 1929, 57s.)
Marc. 251 (v. Bidez 1929, 64)
Vat: Vaticanus gr. 1448 (saec. XV) (apographon codicis K, ibi tantum adhibendum, ubi O et K non exstant)
B: Ambrosianus G 69 suppl. (a. 1463?)
Rarius citantur in *Misopogonis* apparatu duo codices ex B derivati:
Paris. 3029 et 3038 (v. Bidez 1929, 88-90)
W: Codex Vindobonensis philos. philol. 165 (saec. XIII–XIV), qui deest a p. 357d post τούτων usque ad p. 367b5 ἐμὰ et a p. 369d7 ἀποκεκλεισμένον usque a finem
b: consensus codicum B et W
a: consensus codicum O et b (aut O et B, ubi deest W)
Exc.: Excerpta Neapolitana (Neapolitanus II C 32, saec. XIV–XV) (ad quae cf. Prato / Micalella 32*)
vet. vulg.: vetus vulgata (editiones Martinii, Petavii, Spanhemii)

Ἰουλιανοῦ Αὐτοκράτορος Θεμιστίῳ φιλοσόφῳ

[1] Ἐγώ σοι βεβαιῶσαι μέν, ὥσπερ οὖν γράφεις, τὰς ἐλπίδας 253A
καὶ σφόδρα εὔχομαι, δέδοικα δὲ μὴ διαμάρτω, μείζονος οὔσης τῆς
ὑποσχέσεως, ἣν ὑπὲρ ἐμοῦ πρός τε τοὺς ἄλλους ἅπαντας καὶ ἔτι
μᾶλλον πρὸς ἑαυτὸν ποιῇ· καί μοι πάλαι μὲν οἰομένῳ πρός τε τὸν
5 Ἀλέξανδρον καὶ τὸν Μάρκον, καὶ εἴ τις ἄλλος γέγονεν ἀρετῇ
διαφέρων, εἶναι τὴν ἅμιλ|λαν φρίκη τις προσῄει καὶ δέος θαυμα- B
στόν, μὴ τοῦ μὲν ἀπολείπεσθαι παντελῶς τῆς ἀνδρείας δόξω, τοῦ
δὲ τῆς τελείας ἀρετῆς οὐδὲ ἐπ' ὀλίγον ἐφίκωμαι.

Εἰς ταῦτα ἀφορῶν ἀνεπειθόμην τὴν σχολὴν ἐπαινεῖν, καὶ τῶν
10 Ἀττικῶν διηγημάτων αὐτός τε ἡδέως ἐμεμνήμην καὶ τοῖς φίλοις
ὑμῖν προσᾴδειν ἠξίουν, ὥσπερ οἱ τὰ βαρέα φορτία φέροντες ἐν ταῖς
ὁδοῖς ἐπικουφίζουσιν αὑτοῖς τὴν ταλαιπωρίαν. Σὺ δέ μοι νῦν
μεῖζον ἐποίησας διὰ τῆς ἔ|ναγχος ἐπιστολῆς τὸ δέος καὶ τὸν C
ἀγῶνα τῷ παντὶ χαλεπώτερον ἔδειξας, ἐν ταύτῃ παρὰ τοῦ θεοῦ
15 τετάχθαι με τῇ μερίδι λέγων ἐν ᾗ πρότερον Ἡρακλῆς καὶ Διόνυ-
σος ἐγενέσθην, φιλοσοφοῦντες ὁμοῦ καὶ βασιλεύοντες καὶ πᾶσαν
σχεδὸν τῆς ἐ|πιπολαζούσης κακίας ἀνακαθαιρόμενοι γῆν τε καὶ 254A
θάλατταν. Κελεύεις δὲ πᾶσαν ἀποσεισάμενον σχολῆς ἔννοιαν καὶ
ῥᾳστώνης σκοπεῖν ὅπως τῆς ὑποθέσεως ἀξίως ἀγωνιούμεθα· εἶτα
20 ἐπ' αὐτοῖς τῶν νομοθετῶν {ἁπάντων} μέμνησαι, Σόλωνος,
Πιττακοῦ, Λυκούργου, καὶ τούτων ἁπάντων μείζονα χρῆναι παρ'
ἡμῶν λέγεις τοὺς ἀνθρώπους ἐν δίκῃ νῦν περιμένειν.

[2] Τούτοις ἐγὼ τοῖς λόγοις ἐντυχὼν | ἐξεπλάγην μικροῦ· σοὶ B
μὲν γὰρ ὑπελάμβανον οὐδαμῶς θεμιτὸν κολακεύειν ἢ ψεύδεσθαι,

11 cf. Dio Chrys, or. 1,9 (ὥσπερ οἱ … μεταφέροντες οὐκ εὔφορον βάρος … ᾄδουσιν ἡσυχῇ τὸ ἔργον παραμυθούμενοι)

4 ἑαυτὸν V (cf. Ep. ad Ath. 6 p. 276C; vid. etiam R. Kassel ad Men. Sic. 132, necnon Men. fr. 64,6, Philem. fr. 116,3, Posidipp. fr. 30,3 K.-A.): σεαυτόν Hertlein ‖ **6** προσῄει Petavius: προσει V (ή scripto super σ): προσείη U **8** ἀφίκωμαι V, sed ἐ super ἀ scripto ‖ **10** διηγημάτων V: διαιτημάτων Naber 1883, sed oblocutus est Guida 1991 p. 132s., coll. or. 4 [8] p. 244B **12** ὁδοῖς V: ᾠδαῖς Reiske: ὁδοῖς ⟨ᾠδαῖς⟩ Klimek; lectionem traditam tuetur Guida 1991 p. 133 coll. Ioh. Chrys. Expos. in Ps., PG 55 p. 156,51–54 **19** ῥᾳστώνης Reiske: -ην V ‖ **20** ἁπάντων del. Cobet

ἐμαυτῷ δὲ συνειδὼς φύσεως μὲν ἕνεκα διαφέρον οὐδὲν οὔτε ἐξ ἀρχῆς οὔτε νῦν ὑπάρξαν, φιλοσοφίας δὲ ἐρασθέντι μόνον – *τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας*, αἵ μοι τὸν ἔρωτα τοῦτον ἀτελῆ τέως ἐφύλαξαν – οὐκ εἶχον οὖν ὅτι χρὴ περὶ τῶν τοιούτων λόγων συμβαλεῖν, ἕως
C ἐπὶ νοῦν ἤγαγεν ὁ θεός, μή πο|τε ἄρα προτρέπειν ἐθέλεις διὰ τῶν 5
ἐπαίνων καὶ τῶν ἀγώνων δεῖξαι τὸ μέγεθος, οἷς ἀνάγκη πᾶσα τὸν ἐν πολιτείᾳ ζῶντα παραβεβλῆσθαι τὸν ἅπαντα χρόνον.

Τοῦτο δὲ ἀποτρέποντός ἐστι πλέον ἢ πρὸς τὸν ⟨τοιοῦτον⟩ βίον παρορμῶντος· ὥσπερ γὰρ εἴ τις τὸν πορθμὸν τὸν παρ' ὑμῖν πλέων καὶ οὐδὲ τοῦτον ῥᾳδίως οὐδὲ εὐκόλως ὑφιστάμενος ἀκούοι παρά 10
D του μαντικὴν ἐπαγγελλομένου τέχνην, ὡς | χρεὼν αὐτὸν τὸν Αἰγαῖον ἀναμετρῆσαι καὶ τὸν Ἰόνιον καὶ τῆς ἔξω θαλάσσης ἅψασθαι, καί „Νῦν μὲν ὁρᾷς“, ὁ προφήτης λέγοι, „τείχη καὶ λιμένας, ἐκεῖ δὲ γενόμενος οὐδὲ σκοπιὰν οὐδὲ πέτραν ὄψει, ἀλλ' ἀγαπήσεις καὶ ναῦν πόρρωθεν κατιδὼν προσειπεῖν τοὺς ἐμπλέον- 15
τας, καὶ τῆς γῆς ὀψέ ποτε ἀψάμενος τῷ θεῷ πολλάκις ⟨προσεύ-ξει⟩, πρὸς αὐτῷ γοῦν τῷ τέλει τοῦ βίου τυχεῖν ὅρμου καὶ τήν τε
255A ναῦν | σώαν παραδοῦναι καὶ τοὺς ἐμπλέοντας ἀπαθεῖς τοῖς οἰκείοις κακῶν παραστῆσαι καὶ τὸ σῶμα τῇ μητρὶ γῇ δοῦναι, τοῦτο δὲ ἐσόμενον ἴσως ἄδηλον ἔσται σοι μέχρι τῆς τελευταίας ἐκείνης 20
ἡμέρας“, ἆρ' οἴει τούτων ἀκούσαντα τῶν λόγων ἐκεῖνον πόλιν γοῦν οἰκεῖν ἑλέσθαι πλησίον θαλάσσης, οὐχὶ δὲ χαίρειν εἰπόντα πλούτῳ καὶ τοῖς ἐξ ἐμπορίας ἀγαθοῖς περιγιγνομένοις, γνωρίμων
B πολλῶν, ξενικῆς φιλί|ας, ἱστορίας ἐθνῶν καὶ πόλεων ὑπεριδόντα

2–3 Eur. Or. 16

4 οὖν „fortasse delendum“ Hertlein, qui tamen Schoemannum ad Plut. Cleom. 5 p.189 confert ‖ **5** ἄρα Hertlein: ἆ- V | προτρέπειν V: ἀπο- Reiske ἐθέλεις: de ἐθέλῃς cog. Prato, sed perperam, nam hoc loco μή non prohibitive, sed interrogative adhibetur (cf. Greg. Nyss. Contra Eun. III 10,40: ἐπῆλθέ μοι λογίσασθαι, μή ποτε ἄρα τὰς τῶν Αἰγυπτίων ... δόξας τοῖς περὶ τοῦ μονογενοῦς ἐγκαταμίγνυσι λόγοις) ‖ **8** τὸν ⟨τοιοῦτον⟩ Rochefort (de τὸν ⟨τηλικοῦτον⟩ cog. Prato): ⟨τοῦτον⟩ τὸν Klimek[3]: τὸν ⟨ἐν πολιτείᾳ⟩ Asmus[1] **10** ἀκούοι Petavius: -ει V ‖ **10–11** παρά του Reiske: παρὰ τοῦ V (def. Criscuolo[1]) ‖ **15–16** ἐμπλέοντας V: ἐπι- vet. vulg. ‖ **16–17** ⟨προσεύξει⟩ Rochefort (⟨προσεύξῃ⟩ iam Petavius): ⟨εὔξει⟩ (vel -ξῃ) Prato ‖ **18** σώαν vet. vulg.: σῶαν V, quod e σῶν ortum esse susp. Hertlein | ἐμπλέοντας V: ἐπι- vet. vulg.: συμ- Cobet (fortasse recte) ‖ **21** οἴει V (a.c., αἰεὶ p.c.) ‖ **22** γοῦν V: „γ' ἂν legendum videtur“ Hertlein

σοφὸν ἀποφαίνειν τὸν τοῦ Νεοκλέους, ὃς κελεύει „λαθεῖν βιώσαντα“;

Καὶ σὺ δὲ ἔοικας τοῦτο καταμαθὼν προκαταλαμβάνειν ἡμᾶς ταῖς εἰς τὸν Ἐπίκουρον λοιδορίαις καὶ προεξαιρεῖν τὴν τοιαύτην 5 γνώμην· φὴς γάρ που σχολὴν ἐπαινεῖν ἀπράγμονα καὶ διαλέξεις ἐν περιπάτοις προσήκειν {ἐν} ἐκείνῳ. Ἐγὼ δὲ ὅτι μὲν οὐ καλῶς Ἐπικούρῳ ταῦτα ἐδόκει, πάλαι |καὶ σφόδρα πείθομαι· εἰ δὲ πάνθ᾽ C ὅντινα οὖν ἐπὶ πολιτείαν προτρέπειν ἄξιον, καὶ τὸν ἧττον πεφυκότα καὶ τὸν οὔπω τελέως δυνάμενον, ἐπὶ πλεῖστον ἴσως 10 διαπορῆσαι χρή. Λέγουσι γάρ τοι καὶ τὸν Σωκράτη πολλοὺς μὲν οὐ σφόδρα ⟨εὐφυῶς⟩ ἔχοντας ἀπαγαγεῖν τοῦ βήματος ⟨καὶ⟩ Γλαύκωνα δὲ ἐκεῖνον, ὡς Ξενοφῶν λέγει· τὸν δὲ τοῦ Κλεινίου παῖδα πειραθῆναι μὲν ἐπισχεῖν, οὐ δυ|νηθῆναι δὲ περιγενέσθαι τοῦ D νεανίσκου τῆς ὁρμῆς. [3] Ἡμεῖς δὲ καὶ ἄκοντας καὶ ξυνιέντας 15 αὐτῶν προσαναγκάσομεν, θαρρεῖν ὑπὲρ τηλικούτων ἔργων κελεύοντες, ὧν {οὖν} οὐκ ἀρετὴ μόνον ἐστὶν οὐδὲ προαίρεσις κυρία {καὶ} ὀρθή, πολὺ δὲ πλέον ἡ Τύχη κρατοῦσα πανταχοῦ καὶ βιαζομένη ῥέπειν ᾗπερ ἂν ἐθέλῃ τὰ πράγματα;

Χρύσιππος δὲ ἐῴκει τὰ μὲν ἄλλα σοφὸς εἶναι καὶ νομισθῆναι 20 δικαίως, ἀγνοήσας δὲ τὴν τύχην καὶ τὸ αὐτόματον καί τινας ἄλλας αἰτίας | τοιαύτας ἔξωθεν τοῖς πρακτικοῖς παρεμπιπτούσας 256A

1 ἀποφαίνειν V: -φανεῖν Petavius | τὸν τοῦ Cobet: τὸ τοῦ V, def. Prato[2] et Criscuolo[1] (Prato Petavii translationem „illud ab Epicuro Neoclis filio sapienter dictum“ affert, sed τοῦ Νεοκλέους „ab Epicuro Neoclis filio“ significare non potest) ‖ **3** ἡμᾶς Petavius: ἡμῶν V: an προκαταλαμβάνειν ἡμῶν τὰς … λοιδορίας legendum? ‖ **4** προεξαιρεῖν Reiske et Wakefield: -αίρειν V ‖ **6** del. Petavius (def. Criscuolo[1]) ‖ **8** ὅντινα οὖν V (ὁντιναοῦν Prato): ὁντινοῦν Hertlein; cf. Misop. 29 infra p. 199,1 ‖ **11** ⟨εὐφυῶς⟩ ἔχοντας Reiske: ⟨εὖ⟩ ἔχ. Petavius: ⟨προ⟩έχ. Prato, qui etiam de ⟨ὑπερ⟩έχ. cog. **11–12** Γλαύκωνα δὲ V: καὶ Γλαύκωνα Wyttenbach: ⟨καὶ⟩ Γλαύκωνα δὲ scripsi, quia Xenophon Mem. III 6,1 Socratem non solum conatum esse, sed Glauconem re vera ἀπὸ τοῦ βήματος abstraxisse narrat ‖ **12** ὡς delendum cens. Reiske | τὸν δὲ Wyttenbach: καὶ τὸν V ‖ **15** αὐτῶν Hertlein: αὐ- V ἔργων V („vix legitur“ Prato): om. vet. vulg. ‖ **16** ὧν Petavius: ὡς V | οὖν del. Petavius, def. Prato (perperam) ‖ **16–17** κυρία {καὶ} ὀρθή Cobet: ὀ. {καὶ} κ. Hertlein ‖ **19** ἐῴκει V: δοκεῖ Cobet: de ἔοικε cog. Prato ‖ **20** δικαίως Hertlein 1847 et ed. (quod in versione Latina antecepit Petavius: „Chrysippus … sapiens et esse et ita iudicatus fuisse merito videtur“): δίκαιος V

οὐ σφόδρα ὁμολογούμενα λέγειν οἷς ὁ χρόνος ἡμᾶς διὰ μυρίων ἐναργῶς διδάσκει παραδειγμάτων. Ποῦ γὰρ εὐτυχῆ καὶ μακάριον Κάτωνα φήσομεν; Ποῦ δὲ Δίωνα τὸν Σικελιώτην εὐδαίμονα; Οἷς τοῦ μὲν ἀποθανεῖν ἔμελεν ἴσως οὐδέν, τοῦ δὲ μὴ λείπειν ἀτελεῖς
B τὰς πράξεις, ἐφ' ἃς ἐξ ἀρχῆς ὥρμησαν, καὶ σφό|δρα ἔμελε, καὶ 5
πάντα ἂν εἵλαντο παθεῖν ὑπὲρ τούτου. Σφαλέντες δὲ ἐπ' ἐκείνοις εἰ μὲν εὐσχημόνως ἔφερον, ὥσπερ οὖν λέγεται, τὴν τύχην οὐκ ὀδυνώμενοι, παραμυθίαν ἔσχον ἐκ τῆς ἀρετῆς οὐ μικράν, εὐδαίμονες δὲ οὐκ ἂν λέγοιντο τῶν καλλίστων πράξεων διημαρτηκότες, πλὴν ἴσως διὰ τὴν Στωϊκὴν ἔνστασιν· πρὸς ἣν ῥητέον, ὡς οὐ 10
C ταὐτόν ἐστιν ἐπαινεῖσθαι καὶ μακα|ρίζεσθαι, καὶ εἰ φύσει τὸ ζῷον εὐδαιμονίας ὀρέγεται, κρεῖττον εἶναι τὸ κατ' ἐκείνην μακαριστὸν τέλος τοῦ κατ' ἀρετὴν ἐπαινετοῦ {μαντευόμενον}.

[4] Ἥκιστα δὲ φιλεῖ τῆς εὐδαιμονίας ἡ βεβαιότης τῇ Τύχῃ πιστεύειν, καὶ τοὺς ἐν πολιτείᾳ ζῶντας οὐκ ἔνεστιν ἄνευ ταύτης 15
ἀναπνεῖν τὸ δὴ λεγόμενον, πλὴν εἴ τις τὸν βασιλέα καὶ στρατηγὸν λέγοι – καθάπερ οἱ τὰς ἰδέας εἴτε ἀληθῶς θεωροῦντες εἴτε καὶ ψευδῶς ξυντιθέντες ἐν τοῖς ἀσωμάτοις καὶ νοητοῖς – ἱδρῦσθαί που τῶν τυχαίων ὑπεράνω πάντων, ἢ ⟨ζῆν κατὰ⟩ τὸν Διογένους
D ἐκεῖνον | „ἄπολιν, ἄοικον, πατρίδος ἐστερημένον“, οὐκ ἔχοντα μὲν 20

20 TrGF I 88 (Diog. Sinop.) (cf. Eur. Hipp. 1029 ἄπολις ἄοικος, φυγὰς ἀλητεύων χθόνα); citatur ab Iuliano etiam C. Cyn. 14 infra p. 97,5; cf. Diog. Laert. VI 38 (εἰώθει δὲ λέγειν [scil. ὁ Διογένης] τὰς τραγικὰς ἀρὰς αὐτῷ συνηντηκέναι· εἶναι γοῦν „ἄπολις, ἄοικος, πατρίδος ἐστερημένος …“); Ael. VH III 29 (Διογένης ὁ Σινωπεὺς συνεχῶς ἐπέλεγεν ὑπὲρ ἑαυτοῦ ὅτι τὰς ἐκ τῆς τραγῳδίας ἀρὰς αὐτὸς … ὑπομένει· εἶναι γὰρ „πλάνης ἄοικος πατρίδος ἐστερημένος …“); Epict. Diss. III 22,47, IV 11,23

1 λέγειν V: -ει Rochefort (gravem hiatum efficiens, ut mon. Prato[2] et Prato 1986) ‖ **4** ἔμελεν Petavius: -λλ- V ‖ **5** ἔμελε Petavius: -λλ- V ‖ **6** εἵλαντο V: -οντο Hertlein (v. praef. p. XXVII) | ἐπ' ἐκείνοις V: ἐν ἐκείνοις Hertlein (cf. infra 4 p. 5,1) ‖ **7–8** οὐκ ὀδυνώμενοι del. Cobet, prob. Hertlein (qui etiam de οὐκ ὀδυρόμενοι cogitavit) ‖ **13** μαντευόμενον del. Hertlein („videtur expungendum esse, corruptum certe est“): -μένου Rochefort ‖ **16** post βασιλέα in V „fragmentum epistulae“ (89b Bidez) insertum, quod exemit primus Petavius (sed a πλὴν εἴ τις τὸν βασιλέα usque ad ἀθεότητα, duo insequentia verba καὶ πεποιήκασι textui Epistulae ad Themistium datae addenda esse ratus, ut etiam Spanh. et Hertlein; quod corr. Bidez 1901) **17** λέγοι V (a.c.: λό- p.c.) ‖ **19** ζῆν κατὰ suppl. Kassel ap. Guida 1991 p. 133–134, κατὰ Guida

εἰς ὅτι παρ’ αὐτῆς εὖ πάθῃ καὶ τοὐναντίον ἐπὶ τίνι σφαλῇ· τοῦτον δέ, ὃν ἡ συνήθεια καλεῖν εἴωθε καὶ Ὅμηρος πρῶτος, „ᾧ λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν“, πῶς ἄν τις ἔξω τύχης ἀπαγαγὼν τὴν θέσιν φυλάσσοι; Πάλιν δὲ αὐ|τὸν ὑποτιθεὶς ταύτῃ 257A
5 πόσης αὐτῷ δεῖν οἰήσεται τῆς παρασκευῆς καὶ φρονήσεως πηλίκης ⟨ὥστε⟩ τὰς ἐφ’ ἑκάτερα ῥοπάς, καθάπερ πνεύματος κυβερνήτην, εὐσχημόνως φέρειν;

Οὐκ ἔστι θαυμαστὸν ἀντιτάξασθαι προσπολεμούσῃ μόνον αὐτῇ, πολὺ δὲ θαυμασιώτερον τῶν ὑπαρξάντων παρ’ αὐτῆς
10 ἀγαθῶν ἄξιον φανῆναι. Τούτοις ὁ μέγιστος ἑάλω βασιλεὺς ὁ τὴν Ἀσίαν καταστρεψάμενος, Δαρείου καὶ Ξέρξου | χαλεπώτερος καὶ B μᾶλλον ἀλαζὼν φανείς, ἐπειδὴ τῆς ἐκείνων ἀρχῆς κατέστη κύριος· τούτοις ἁλόντες τοῖς βέλεσιν ἄρδην ἀπώλοντο Πέρσαι, Μακεδόνες, ὁ τῶν Ἀθηναίων δῆμος, Συρακούσιοι, τὰ Λακεδαιμονίων
15 τέλη, Ῥωμαίων στρατηγοὶ καὶ ἐπ’ αὐτοῖς αὐτοκράτορες μυρίοι. Πολὺ μῆκος ἂν γένοιτο πάντας ἀπαριθμουμένῳ τοὺς διὰ πλοῦτον καὶ νίκας καὶ τρυφὴν ἀπολομένους· ὅσοι δὲ ὑπὸ τῶν δυσπρα|γιῶν C ἐπικλυσθέντες δοῦλοι μὲν ἀντ’ ἐλευθέρων, ταπεινοὶ δὲ ἀντὶ γενναίων καὶ σφόδρα εὐτελεῖς ἀντὶ τῶν πρόσθεν σεμνῶν ἅπασιν
20 ὤφθησαν, τί με χρὴ νῦν ὥσπερ ἐκ δέλτου μεταγράφοντα καταλέγειν; Εἰ γὰρ ὤφελεν ὁ τῶν ἀνθρώπων βίος ἀπορεῖν παραδειγμάτων τοιούτων· ἀλλ’ οὔτε ἐστὶν οὔτ’ ἂν γένοιτό ποτε τῶν τοιούτων ἐνδεὴς πραγ|μάτων, ἕως ἂν τὸ τῶν ἀνθρώπων διαμένῃ γένος. D

[5] Ὅτι δὲ οὐκ ἐγὼ μόνος τὴν τύχην ἐπὶ πλεῖστον ἐν τοῖς
25 πρακτέοις κρατεῖν νενόμικα, λέγοιμ’ ἂν ἤδη σοι τὰ τοῦ Πλάτωνος ἐκ τῶν θαυμασίων Νόμων, εἰδότι μὲν καὶ διδάξαντί με, ἀπόδειξιν δὲ ὥσπερ τοῦ μὴ ῥᾳθυμεῖν ποιούμενος παραγέγραφά σοι τὴν ῥῆσιν ὧδέ πως ἔχουσαν· „Θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύχη καὶ

2–3 Hom. B 25 ‖ **28–6,2** Plat. Leg. IV 709B

1 ἐπὶ V (def. Criscuolo[1]): ἐν Cobet (sed cf. supra 3 p. 4,6) ‖ **4** τὴν Reiske: μὴ V: del. Petavius | αὐτὸν Reiske (qui ὁ αὐτόν scripsit): αὐ- V | ὑποτιθείς Petavius: -τίθης V ‖ **5** αὐτῷ Cobet: αὐ- V | τῆς „deleam“ Hertlein **6** ⟨ὥστε⟩ Petavius: ⟨ὡς⟩ Prato ‖ **9** θαυμασιώτερον V: -στότερον Cobet (quod Hertlein primum probavit, sed vol. II p. VIs. reiecit) ‖ **14** Συρρακ- V **17** ἀπολλομ- V ‖ **23** πραγμάτων V, def. Prato (coll. or. 3[2], 26 p. 84A) et Criscuolo[1]: παραδειγμάτων Hertlein (coll. supra 3 p. 4,2): fortasse delendum ‖ **26** Νόμων Petavius: μόνων V

258A καιρὸς τὰ ἀνθρώπινα διακυβερνῶσι ξύμ|παντα. Ἡμερώτερον μὴν τούτοις συγχωρῆσαι τρίτον δεῖν ἕπεσθαι τέχνην.“ Εἶτα ὁποῖον εἶναι χρὴ τὸν τεχνίτην καὶ δημιουργὸν τῶν καλῶν πράξεων καὶ βασιλέα θεῖον ὑπογράφων· „Γινώσκων ὁ Κρόνος ἄρα, καθάπερ ἡμεῖς, φησί, διεληλύθαμεν, ὡς ἀνθρωπεία φύσις οὐδαμῇ οὐδεμία 5 ἱκανὴ τὰ ἀνθρώπινα διοικοῦσα αὐτοκράτωρ πάντα μὴ οὐχ ὕβρεώς τε καὶ ἀδικίας μεστοῦσθαι, ταῦτ᾽ οὖν διανοούμενος ἐφίστη τότε B βασιλέας καὶ ἄρχοντας ταῖς | πόλεσιν ἡμῶν οὐκ ἀνθρώπους, ἀλλὰ γένους θειοτέρου καὶ ἀμείνονος, δαίμονας, οἷον νῦν ἡμεῖς δρῶμεν τοῖς ποιμνίοις καὶ ὅσων ἥμεροι εἰσιν ἀγέλαι· οὐ βοῦς βοῶν οὐδὲ 10 αἶγας αἰγῶν ἄρχοντας ποιοῦμεν αὐτοῖς τινας, ἀλλ᾽ ἡμεῖς αὐτῶν δεσπόζομεν, ἄμεινον ἐκείνων γένος. Ταὐτὸν δὴ καὶ ὁ θεὸς φιλάνθρωπος ὢν τὸ γένος ἄμεινον ἡμῶν ἐφίστη τὸ τῶν δαιμόνων, ὃ διὰ C πολλῆς μὲν | αὐτοῖς ῥᾳστώνης, διὰ πολλῆς δ᾽ ἡμῖν, ἐπιμελόμενον ἡμῶν, εἰρήνην τε καὶ αἰδῶ καὶ δὴ ἀφθονίαν δίκης παρεχόμενον, 15 ἀστασίαστα καὶ εὐδαίμονα τὰ τῶν ἀνθρώπων ἀπειργάζετο γένη. Λέγει δὴ καὶ νῦν οὗτος ὁ λόγος, ἀληθείᾳ χρώμενος, ⟨ὡς⟩ ὅσων πόλεων μὴ θεός, ἀλλά τις ἄρχει θνητός, οὐκ ἔστι κακῶν αὐτοῖς οὐδὲ πόνων ἀνάψυξις· ἀλλὰ μιμεῖσθαι δεῖν ἡμᾶς οἴεται πάσῃ D μηχανῇ τὸν ἐπὶ τοῦ Κρόνου λεγόμενον βίον, καὶ | ὅσον ἐν ἡμῖν 20 ἀθανασίας ἔνεστι, τούτῳ πειθομένους δημοσίᾳ καὶ ἰδίᾳ τάς τε οἰκήσεις καὶ τὰς πόλεις διοικεῖν, τὴν τοῦ νοῦ διανομὴν ὀνομάζοντας νόμον. Εἰ δὲ ἄνθρωπος εἷς ἢ ὀλιγαρχία τις ἢ δημοκρατία ψυχὴν ἔχουσα ἡδονῶν καὶ ἐπιθυμιῶν ὀρεγομένην καὶ πληροῦσθαι

4–7,2 Plat. Leg. IV 713c-714a

1 τἀνθρώπινα Plato ‖ **2** τούτοις συγχωρῆσαι τρίτον V: τρ. ξυγχ. τούτ. Plato | δεῖν vet. vulg. (ex Platone), δ᾽ἦν V (etiam U) ‖ **4** θεῖον Hertlein: θεὸν V (def. Prato et Criscuolo[1]): del. Klimek | γινώσκων V: γιγν- Plato ‖ **5** οὐδαμῇ deest apud Platonem ‖ **6** αὐτοκράτωρ Plato: -ορ V ‖ **7** τότε deest apud Platonem ‖ **8** βασιλέας τε vel γε codd. Plat. ‖ **9** θειοτέρου τε Plato **12–13** φιλάνθρωπος V: ἄρα καὶ φιλ. Plato ‖ **13** τὸ[1] del. Stallbaum apud Platonem et Hertlein apud Iulianum, fortasse recte ‖ **14** διὰ abest apud Platonem | ἐπιμελόμενον V: -ούμενον Plato ‖ **15** καὶ δὴ ἀφθονίαν V: καὶ εὐνομίαν καὶ ἀφθ. Plato ‖ **16** ἀπειργάζετο V: ἀπηργ- Plato ‖ **17** ὡς ex Platone suppl. Klimek | ὅσων V: ὅσων ἂν Plato ‖ **18** ἄρχει V: -ῃ Plato **22–23** ὀνομάζοντας V: ἐπονομ- Plato ‖ **23** δημοκρατία: καὶ δημ. Plato **24** ἔχουσα ex Platone Petavius: ἔχουσιν V | ὀρεγομένην ex Platone Petavius: εἰργομένην V

τούτων δεομένην ἄρξει δὴ πόλεώς τινος ἢ ἰδιώτου καταπατήσας τοὺς νόμους, οὐκ ἔστι σωτηρίας μηχανή.“

Ταύτην ἐγώ σοι τὴν ῥῆσιν ἐξεπίτηδες | ὅλην παρεγραψάμην, 259A μή με κλέπτειν ὑπολάβῃς καὶ κακουργεῖν μύθους ἀρχαίους προφέ-
5 ροντα, τυχὸν μὲν ἐμφερῶς, οὐ μὴν ἀληθῶς πάντη ξυγκειμένους. Ἀλλ’ ὅ γε ἀληθὴς ὑπὲρ αὐτῶν λόγος τί φησιν; Ἀκούεις ὅτι, κἂν ἄνθρωπός τις ᾖ τῇ φύσει, θεῖον εἶναι χρὴ τῇ προαιρέσει καὶ δαίμονα, πᾶν ἁπλῶς ἐκβαλόντα τὸ θνητὸν καὶ θηριῶδες τῆς ψυχῆς, πλὴν | ὅσα ἀνάγκη διὰ τὴν τοῦ σώματος παραμένειν B
10 σωτηρίαν. Ταῦτα εἴ τις ἐννοῶν δέδοικεν ἐπὶ τηλικοῦτον ἑλκόμενος βίον, ἆρά σοι φαίνεται τὴν Ἐπικούρειον θαυμάζειν ἀπραγμοσύνην καὶ τοὺς κήπους καὶ τὸ προάστειον τῶν Ἀθηνῶν καὶ τὰς μυρρίνας καὶ τὸ Σωκράτους δωμάτιον; Ἀλλ’ οὐκ ἔστιν ὅπου γε ἐγὼ ταῦτα προτιμήσας τῶν πόνων ὤφθην.

15 **[6]** Ἥδιστα ἄν σοι τοὺς ἐμαυτοῦ πόνους διεξῆλθον καὶ τὰ ἐπικρεμασθέντα παρὰ τῶν φίλων καὶ ξυγγενῶν, ὅτε τῆς παρ’ ὑμῖν ἠρχόμην | παιδείας, δείματα, εἰ μὴ σφόδρα αὐτὸς ἠπίστασο. Τὰ C δὲ ἐν Ἰωνίᾳ πρὸς τὸν καὶ γένει προσήκοντα καὶ φιλίᾳ μᾶλλον οἰκεῖον ὄντα μοι πραχθέντα πρότερον ὑπὲρ ἀνδρὸς ξένου μικρὰ
20 παντελῶς γνωρίμου μοι γενομένου, τοῦ σοφιστοῦ φημί, λέληθεν οὐδέν σε. Ἀποδημίας δὲ οὐχ ὑπέστην τῶν φίλων ἕνεκα; Καίτοι Καρτερίῳ μὲν οἶσθ’ ὅπως συνηράμην πρὸς τὸν ἑταῖρον ἡμῖν ἀφικόμενος Ἀράξιον ἄκλητος, ὑπὲρ | αὐτοῦ δεησόμενος· ὑπὲρ δὲ D τῶν τῆς θαυμασίας Ἀρετῆς κτημάτων καὶ ὧν ἐπεπόνθει παρὰ τῶν
25 γειτόνων οὐκ εἰς τὴν Φρυγίαν τὸ δεύτερον ἀφικόμην ἐν οὐδὲ ὅλοις μησὶ δύο, ἀσθενοῦς ἤδη μοι παντελῶς ὄντος τοῦ σώματος διὰ τὴν ἐπιγενομένην ὑπὸ τῆς πρότερον κακοπαθείας ἀρρωστίαν; Ἀλλὰ δὴ τὸ τελευταῖον πρὸ τῆς εἰς τὴν Ἑλλάδα διαγενομένης ἡμῖν

1 Platonis inter *δεομένην* et *ἄρξει* verba (στέγουσαν δὲ οὐδὲν ἀλλ’ ἀνηνύτῳ καὶ ἀπλήστῳ κακῷ νοσήματι συνεχομένην) om. Iulianus | *τινος ἢ* V: *ἤ τινος* Plato, quod Prato etiam in Iulianum introducit | *καταπατήσας* V: *καταπ. ὁ τοιοῦτος* Plato ‖ **2** *νόμους* V: *νόμους ὃ νυνδὴ ἐλέγομεν* Plato **3** *παρεγραψάμην* V (quod def. Prato coll. ep. 82 p. 141,5 Bidez): *παρέγραψα* Cobet ‖ **8** *δαίμονα* V: fortasse *δαιμόνιον* legendum (cf. infra p. 8,20) **11** *θαυμάζειν* ex *-ων* V, ut videtur ‖ **12** *Ἀθηνῶν* V: *-ναίων* Petavius (quod reiecit Cobet) | *μυρίνας* V ‖ **17** *δείματα* Petavius: *δείγμ-* V ‖ **18** *Ἰωνίᾳ* Hertlein: *Ἰο-* V ‖ **24** *Ἀρετῆς* V: fortasse *Ἀρέτης* scribendum (cf. Schwyzer, GrGr I p. 420) ‖ **28** *διαγενομένης* V: *γενομένης* Hertlein 1850 et ed.

260A ἀφίξεως, ὅτε περὶ τῶν ἐσχάτων, ὡς ἂν εἴποιεν οἱ πολλοί, | κινδυνεύων ἐγὼ τῷ στρατοπέδῳ παρέμενον, ὁποίας ἔγραφον ἐπιστολὰς πρὸς σέ, νῦν ὑπομνήσθητι, μήποτε ὀδυρμῶν πλήρεις, μήτι μικρὸν ἢ ταπεινὸν ἢ λίαν ἀγεννὲς ἐχούσας· ἀπιὼν δὲ ἐπὶ τὴν Ἑλλάδα πάλιν, ὅτε με φεύγειν ἐνόμιζον πάντες, οὐχ ὡς ἐν ἑορτῇ τῇ 5 μεγίστῃ τὴν τύχην ἐπαινῶν ἡδίστην ἔφην εἶναι τὴν ἀμοιβὴν ἐμοὶ καί, τὸ δὴ λεγόμενον, „χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων“ B ἔφην ἀντηλλάχθαι; Οὕτως ἀντὶ τῆς ἐμαυτοῦ ἑ|στίας τὴν Ἑλλάδα λαχὼν ἐγαννύμην, οὐκ ἀγρόν, οὐ κῆπον, οὐ δωμάτιον ἐκεῖ κεκτημένος. 10

Ἀλλὰ ἴσως ἔοικα ἐγὼ τὰς μὲν δυσπραγίας οὐκ ἀγεννῶς φέρειν, πρὸς δὲ τὰς παρὰ τῆς Τύχης δωρεὰς ἀγεννής τις εἶναι καὶ μικρός, ὅ γε ἀγαπῶν τὰς Ἀθήνας μᾶλλον τοῦ νῦν περὶ ἡμᾶς ὄγκου, τὴν σχολὴν δήπουθεν ἐκείνην ἐπαινῶν, διὰ δὲ τὸ πλῆθος C τῶν πράξεων τοῦτον αἰτιώμενος | τὸν βίον; 15

[7] Ἀλλὰ μή ποτε χρὴ περὶ ἡμῶν ἄμεινον κρίνειν, οὐκ εἰς ἀπραξίαν καὶ πρᾶξιν βλέποντας, μᾶλλον δὲ εἰς τὸ „Γνῶθι σαυτὸν“ καὶ τὸ „Ἔρδοι δ' ἕκαστος ἥντιν' εἰδείη τέχνην“.

Μεῖζον ἔμοιγε φαίνεται τὸ βασιλεύειν ἢ κατ' ἄνθρωπον καὶ φύσεως δεῖσθαι δαιμονιωτέρας βασιλεύς, ὥσπερ οὖν καὶ Πλάτων 20 D ἔλεγε· καὶ | νῦν Ἀριστοτέλους εἰς ταὐτὸ συντείνοντα παραγράψω λόγον, οὐ γλαῦκα Ἀθηναίοις ἄγων, ἀλλ' ὅτι μὴ παντάπασιν ἀμελῶ τῶν ἐκείνου λόγων ἐπιδεικνύμενος· φησὶ δὲ ὁ ἀνὴρ ἐν τοῖς πολιτικοῖς συγγράμμασιν· „Εἰ δὲ δή τις ἄριστον θείη τὸ βασιλεύ-261A εσθαι ταῖς πόλεσι, πῶς ἕξει τὰ περὶ τῶν τέκνων; Πότερον καὶ | τὸ 25 γένος δεῖ βασιλεύειν; Ἀλλὰ γιγνομένων ὁποῖοί τινες ἔτυχον, βλαβερόν. 'Ἀλλὰ οὐ παραδώσει κύριος ὢν ⟨τοῖς⟩ τέκνοις.' Ἀλλ' οὐκ ἔτι ῥᾴδιον τοῦτο πιστεῦσαι· χαλεπὸν γὰρ καὶ μείζονος ἀρετῆς ἢ κατ' ἀνθρωπίνην φύσιν.“ Ἑξῆς δὲ περὶ τοῦ κατὰ νόμον λεγομέ-

7 Hom. Z 236 ‖ **18** cf. Ar. Vesp. 1431 (ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην) **24–29** Arist. Pol. 1286b22–27

14 Suda δ 486 (Δήπουθεν: ... καὶ τὴν σχολὴν δήπουθεν ἐκείνην ἐπαινῶν)

3 πλήρεις Reiske: -ρη V ‖ **9** ἐγαννύμην V: ἐγανύ- Hertlein ‖ **13** ὅ γε Hertlein: ὅς γε V ‖ **14** τὴν V: καί U: καὶ τὴν Suda ‖ **22** Ἀθηναίοις: Ἀθήναζε Cobet ‖ **23** ἀμελῶ Reiske: -ῶν V ‖ **27** τοῖς suppl. Hertlein ex Aristotele (Pol. 1286b25) ‖ **28** ῥᾴδιον τοῦτο V: τοῦτο ῥᾴδιον Aristoteles

νου βασιλέως διεξελθών, ὅς ἐστιν ὑπηρέτης καὶ φύλαξ τῶν νόμων, καὶ τοῦτον οὐδὲ βασιλέα καλῶν οὐδὲ τὸν τοιοῦτον εἶδος ⟨βασιλείας⟩ οἰόμενος, προστίθησι· „Περὶ δὲ τῆς παμ|βασιλείας καλουμένης – αὕτη δὲ ἐστὶ καθ' ἣν ἄρχει πάντων κατὰ τὴν αὑτοῦ βούλησιν ὁ βασιλεύς – δοκεῖ τισιν οὐδὲ {τὸ} κατὰ φύσιν εἶναι τὸ κύριον ἕνα πάντων εἶναι τῶν πολιτῶν· τοῖς γὰρ ὁμοίοις φύσει τὸ αὐτὸ δίκαιον ἀναγκαῖον εἶναι.“ Εἶτα μετ' ὀλίγον φησίν· „Ὁ μὲν οὖν τὸν νόμον κελεύων ἄρχειν ⟨δοκεῖ κελεύειν ἄρχειν⟩ τὸν θεὸν καὶ τὸν νοῦν μόνους· ὁ δὲ ἄνθρωπον κελεύων προστίθησι καὶ θηρία· ἥ τε γὰρ ἐπι|θυμία τοιοῦτον, καὶ ὁ θυμὸς διαστρέφει καὶ τοὺς ἀρίστους ἄνδρας· διόπερ ἄνευ ὀρέξεως νοῦς ὁ νόμος ἐστίν.“

Ὁρᾷς, ὁ φιλόσοφος ἔοικεν ἐνταῦθα σαφῶς ἀπιστοῦντι καὶ κατεγνωκότι τῆς ἀνθρωπίνης φύσεως. Φησὶ γὰρ οὕτω ῥήματι τοῦτο λέγων, οὐδεμίαν ἀξιόχρεων εἶναι φύσιν ἀνθρωπίνην πρὸς τοσαύτην τύχης ὑπεροχήν· οὔτε γὰρ τῶν παίδων τὸ κοινῇ τοῖς πολίταις συμφέρον προτιμᾶν ἄνθρωπόν γε ὄν|τα ῥᾴδιον ὑπολαμβάνει, καὶ πολλῶν ὁμοίων ἄρχειν οὐ δίκαιον εἶναί φησι, καὶ τέλος

3–7 Arist. Pol. 1287a8–14 ‖ **7–11** Arist. Pol. 1287a28–32

1 ὅς V: ὥς Klimek[1] ‖ **2–3** οὐδὲ[2]…οἰόμενος ex Arist. Pol. 1287a3–4 (ubi codd. Graeci et versio Guilelmi de Moerbeka βασιλείας tradunt, πολιτείας coni. Victorius) restitui, post Hertlein (qui οὐδὲ τὸν τοιοῦτον … ⟨πολιτείας⟩ legere vult) et Prato (qui οὐδὲ τὸ τοιοῦτον … ⟨βασιλείας⟩ legit): οὐδὲ τὸ τοιοῦτον εἶδος οἰόμενος V: οὐδὲ τὸ τοιοῦτον εἶδος ⟨βασιλείαν⟩ οἰόμενος Rochefort **4** πάντων Petavius: πᾶν V: πάντα Aristoteles | αὑτοῦ Hertlein ex Aristotele (ἑαυτοῦ): αὐ- V ‖ **5** τὸ[1] del. Petavius et deest apud Aristotelem **6** Aristotelis verba ὅπου συνέστηκεν ἐξ ὁμοίων ἡ πόλις post πολιτῶν om. Iulianus ‖ **7** Aristotelis verba καὶ τὴν αὐτὴν ἀξίαν κατὰ φύσιν post ἀναγκαῖον om. Iulianus ‖ **8** νόμον V et codd. Graeci Aristotelis (Pol. 1287a28f.): νοῦν vet. vulg., Aristotelis versio Guilelmi de Moerbeka | δοκεῖ κελεύειν ἄρχειν ex Aristotele suppl. Petavius: om. V ‖ **9** τὸν νοῦν μόνους V: τοὺς νόμους vet. vulg., Aristotelis codd. Graeci et versio Guilelmi de Moerbeka | θηρία: -ίον Aristoteles ‖ **10** τοιοῦτον Hertlein (ex Aristotele): τοῦτον V | Aristotelis verbum ἄρχοντας post θυμός om. Iulianus: θυμὸς ⟨ὃς⟩ Hertlein vol. II p. VII | διαστρέφει V: *interimet* Aristotelis versio Guilelmi de Moerbeka: φθείρει Aristotelis cod. Paris. 2023: διαστρέφει post ἄνδρας pos. nonnulli codd. Aristotelis ‖ **11** νοῦς ὁ νόμος Rochefort (ex Aristotele): ὁ νοῦς μόνος V: ὁ νοῦς νόμος vet. vulg. ‖ **13** οὕτω ῥήματι: ⟨ὅσον⟩ οὐ τῷ ῥήματι Reiske ‖ **15** τοσαύτην Hertlein 1847 et ed.: -ης V (def. Criscuolo[1])

ἐπιθεὶς τὸν κολοφῶνα τοῖς ἔμπροσθεν λόγοις νόμον μὲν εἶναί φησι τὸν νοῦν χωρὶς ὀρέξεως, ᾧ μόνῳ τὰς πολιτείας ἐπιτρέπειν χρῆναι, ἀνδρῶν δὲ οὐδενί. Ὁ γὰρ ἐν αὐτοῖς νοῦς, κἂν ὦσιν ἀγαθοί, συμπέπλεκται θυμῷ καὶ ἐπιθυμίᾳ, θηρίοις χαλεπωτάτοις.

[8] Ταῦτα ἐμοὶ δοκεῖ τοῖς τοῦ Πλάτωνος ἄκρως ὁμολογεῖν, 5
262A πρῶτον μὲν ὅτι | κρείττονα χρὴ τῶν ἀρχομένων εἶναι τὸν ἄρχοντα, οὐκ ἐπιτηδεύσει μόνον, ἀλλὰ καὶ φύσει διαφέροντα – ὅπερ εὑρεῖν ἐν ἀνθρώποις οὐ ῥᾴδιον –, ⟨δεύτερον δὲ ὅτι …⟩, καὶ τρίτον ὅτι πάσῃ μηχανῇ κατὰ δύναμιν νόμοις προσεκτέον οὐκ ἐκ τοῦ παραχρῆμα κειμένοις οὐδὲ ὡς ἔοικε νῦν τεθεῖσιν ὑπ' ἀνδρῶν 10 οὐ πάντη κατὰ νοῦν βεβιωκότων, ἀλλ' ὅστις μᾶλλον τὸν νοῦν καθαρθεὶς καὶ τὴν ψυχὴν οὐκ εἰς τὰ παρόντα ἀφορῶν ἀδικήματα
B οὐδὲ εἰς τὰς | παρεστώσας τύχας τίθησι τοὺς νόμους, ἀλλὰ τὴν τῆς πολιτείας φύσιν καταμαθὼν καὶ τὸ δίκαιον ὅ⟨τι⟩ ἐστι τῇ φύσει καὶ ποταπόν ἐστι τἀδίκημα τεθεαμένος τῇ φύσει, εἶθ' ὅσα δυνατόν 15 ἐστιν ἐκεῖθεν ἐνταῦθα μεταφέρων καὶ τιθεὶς νόμους τοῖς πολίταις κοινούς, οὔτε εἰς φιλίαν οὔτε εἰς ἔχθραν ἀφορῶν οὔτε εἰς γείτονα καὶ ξυγγενῆ· κρεῖσσον δέ, εἰ μηδὲ τοῖς καθ' ἑαυτὸν ἀνθρώποις,
C ἀλλὰ τοῖς ὕστερον ἢ ξένοις γράψας | ἀποπέμποι νόμους, ἔχων γε οὐδὲν οὐδὲ ἐλπίζων πρὸς αὐτοὺς ἕξειν ἰδιωτικὸν συνάλλαγμα. 20 Ἐπεὶ καὶ τὸν Σόλωνα τὸν σοφὸν ἀκούω μετὰ τῶν φίλων συμβουλευσάμενον ὑπὲρ τῆς τῶν χρεῶν ἀναιρέσεως τοῖς μὲν εὐπορίας ἀφορμήν, αὑτῷ δὲ αἰσχύνης αἰτίαν παρασχεῖν, καὶ ταῦτα τῷ πολιτεύματι τὸν δῆμον ἐλευθερώσαντα. Οὕτως οὐ ῥᾴδιόν ἐστι τὰς
D τοιαύτας ἐκφυγεῖν κῆρας, κἂν τὸν αὑτοῦ νοῦν παράσχῃ τις ἀ|παθῆ 25 πρὸς τὴν πολιτείαν.

[9] Ἃ δεδιὼς ἐγὼ πολλάκις εἰκότως ἐπαινῶ τὸν ἔμπροσθεν βίον, καὶ σοὶ πειθόμενος μάλιστα ταῦτα ἐγὼ διανοοῦμαι, οὐχ ὅτι μοι τὸν ζῆλον πρὸς ἐκείνους μόνον ἔφης προκεῖσθαι τοὺς ἄνδρας, Σόλωνα καὶ Λυκοῦργον καὶ Πιττακόν, ἀλλὰ καὶ ὅτι μεταβῆναί με 30

1 de μὲν delendo cog. Klimek[3] ‖ **7** post ἄρχοντα suppl. εἶτ' Boulenger[2], ἔπειτ' Rochefort ‖ **8** δεύτερον δὲ ὅτι … suppl. Prato; ante καὶ τρίτον nonnulla excidisse iam susp. Hertlein ‖ **14** ὅ ⟨τι⟩ dubitanter Boulenger[2]: ὅ V, def. Prato (coll. Misop. 31 infra p. 201,10 γνωρίζετε δήπουθεν ὃ λέγω, sed ibi ὃν coni. Martinius): οἷον Hertlein in app. ‖ **15** τῇ φύσει del. Klimek **25** κῆρας vet. vulg.: κήρ- V | αὑτοῦ Hertlein: αὐ- V ‖ **28** σοὶ Hertlein: σοι V ‖ **29** ἔφης V: de φῄς cog. Hertlein

φῇς ἐκ τῆς ὑποστέγου φιλοσοφίας πρὸς τὴν ὑπαίθριον. Ὥσπερ οὖν, εἰ τῷ χαλεπῶς καὶ μόλις ὑγιείας ἕνεκα | τῆς αὑτοῦ γυμναζομένῳ μετρίως οἴκαδε προὔλεγες ὅτι „Νῦν ἥκεις εἰς Ὀλυμπίαν καὶ μεταβέβηκας ἐκ τῆς ἐν τῷ δωματίῳ παλαίστρας ἐπὶ τὸ στάδιον 263A
5 τοῦ Διός, οὗ θεατὰς ἕξεις τούς τε ἁπανταχόθεν Ἕλληνας καὶ πρώτους γε τοὺς σαυτοῦ πολίτας, ὑπὲρ ὧν ἀγωνίζεσθαι χρή, τινὰς δὲ καὶ τῶν βαρβάρων, οὓς ἐκπλῆξαι χρεών, φοβερωτέραν αὐτοῖς τὴν πατρίδα, τό γε εἴς σε νῦν ἧκον, ἐπιδείξαντα“, κατέβα|λες ἂν B εὐθέως καὶ τρέμειν ἐποίησας πρὸ τῆς ἀγωνίας, οὕτω κἀμὲ νῦν
10 νόμιζε διατεθῆναι τοῖς τοιούτοις λόγοις.

Καὶ περὶ μὲν τούτων εἴτε ὀρθῶς ἔγνωκα νῦν εἴτε ἐν μέρει σφάλλομαι τοῦ προσήκοντος εἴτε καὶ ⟨τοῦ⟩ παντὸς διαμαρτάνω, διδάξεις αὐτίκα μάλα. **[10]** Ὑπὲρ δὲ ὧν ἀπορῆσαί μοι πρὸς τὴν ἐπιστολὴν τὴν σὴν παρέστη, ὦ φίλη κεφαλὴ καὶ πάσης ἔμοιγε
15 τιμῆς ἀξία, βούλομαι δηλῶσαι· σαφέστερον γάρ | πως ὑπὲρ αὐτῶν C ἐπιθυμῶ μαθεῖν.

Ἔφησθα ὅτι τὸν ἐν τῇ πράξει παρὰ τὸν φιλόσοφον ἐπαινεῖς βίον, καὶ τὸν Ἀριστοτέλη τὸν σοφὸν ἐκάλεις μάρτυρα, τὴν εὐδαιμονίαν ἐν τῷ πράττειν εὖ τιθέμενον· καὶ ⟨γὰρ⟩ τὴν διαφορὰν
20 σκοποῦντα τοῦ τε πολιτικοῦ βίου καὶ τῆς ἐν τῇ θεωρίᾳ ζωῆς διαπορεῖν ἄττα περὶ αὐτῶν, καὶ τὴν μὲν θεωρίαν ἐν ἄλλοις προτιμᾶν, ἐπαινεῖν δὲ ἐνταῦθα τοὺς τῶν καλῶν πράξεων ἀρχιτέκτονας. Τούτους | δὲ αὐτὸς μὲν εἶναι φῂς τοὺς βασιλέας, Ἀριστοτέλης δὲ D εἴρηκεν οὐδαμοῦ κατὰ τὴν ὑπὸ σοῦ προστεθεῖσαν λέξιν, πλέον δὲ
25 θάτερον ἐξ ὧν παραγέγραφας ἄν τις νοήσειε· τὸ γὰρ „Μάλιστα δὲ πράττειν λέγομεν κυρίως“ καὶ τὸ „ἐξωτερικῶν πράξεων τοὺς ταῖς

25–26 Arist. Pol. 1325b21–22 ‖ **26–12,1** Arist. Pol. 1325b22–23

1 φῇς V: ἔφης Rochefort ‖ **2** αὑτοῦ V: αὐ- Hertlein ‖ **12** ⟨τοῦ⟩ παντὸς Hertlein (cf. Plat. Phaedr. 235e τοῦ παντὸς ἡμάρτηκε): παντὸς V: πάντως Rochefort ‖ **13** αὐτίκα μάλα Hertlein: αὐτός τι καὶ μάλα V: αὐτός τε καὶ μάλα U vet. vulg.: αὐτὸς αὐτίκα μάλα Cobet: de αὐτός τε καὶ αὐτίκα μάλα cog. Prato (sed Cobeti coniecturam prob. Prato[2]) ‖ **17** ἔφησθα ὅτι in V legere sibi videbatur Cobet, at ἔφησθ' ...π Hertlein (ἔφησθ' ἅπαν U): ἔφης γὰρ Petavius, ἔφησθα γὰρ Reiske | ἐπαινεῖς V: -εῖν Petavius ‖ **19** καὶ ⟨γὰρ⟩ Klimek ‖ **21** ἄττα vet. vulg.: ἅττα V ‖ **23** τούτους V: -ων vet. vulg. **24** κατὰ Cobet: καὶ V (def. Prato et Criscuolo[1]) ‖ **25** δὲ V: δὲ καὶ Aristoteles ‖ **26** τὸ V: τῶν Hertlein (ex Aristotele): de τὸ ⟨τῶν⟩ cog. Prato **26–12,1** ταῖς διανοίαις Hertlein (ex Aristotele): τῆς διανοίας V

διανοίαις ἀρχιτέκτονας“ εἰς τοὺς νομοθέτας καὶ τοὺς πολιτικοὺς
φιλοσόφους καὶ πάντας ἁπλῶς τοὺς νῷ τε καὶ λόγῳ πράττοντας,
264A οὐχὶ δὲ εἰς τοὺς αὐτουργοὺς καὶ τῶν | πολιτικῶν πράξεων ἐργάτας
εἰρῆσθαι νομιστέον· οἷς οὐκ ἀπόχρη μόνον ἐνθυμηθῆναι καὶ
κατανοῆσαι καὶ τὸ πρακτέον τοῖς ἄλλοις φράσαι, προσήκει δὲ 5
αὐτοῖς ἕκαστα μεταχειρίζεσθαι καὶ πράττειν ὧν οἱ νόμοι διαγο-
ρεύουσι καὶ πολλάκις οἱ καιροὶ προσαναγκάζουσι, πλὴν εἰ μὴ τὸν
ἀρχιτέκτονα καλοῦμεν, καθάπερ Ὅμηρος τὸν Ἡρακλέα καλεῖν
εἴωθεν ἐν τῇ ποιήσει „μεγάλων ἐπιίστορα ἔργων“, αὐτουργότα-
τον ἁπάντων γενόμενον. 10

B Εἰ δὲ τοῦτ’ | ἀληθὲς ὑπολαμβάνομεν ἢ καὶ μόνον {τοὺς} ἐν τῷ
πράττειν τὰ κοινά φαμεν εὐδαίμονας ⟨τοὺς⟩ κυρίους ὄντας καὶ
βασιλεύοντας πολλῶν, τί ποτε περὶ Σωκράτους ἐροῦμεν; Πυθαγό-
ραν δὲ καὶ Δημόκριτον καὶ τὸν Κλαζομένιον Ἀναξαγόραν ἴσως διὰ
τὴν θεωρίαν κατ’ ἄλλο φήσεις εὐδαίμονας· Σωκράτης δὲ τὴν 15
θεωρίαν παραιτησάμενος καὶ τὸν πρακτικὸν ἀγαπήσας βίον οὐδὲ
C τῆς γαμετῆς ἦν τῆς αὐτοῦ κύριος | οὐδὲ τοῦ παιδός, ἤπού γε δυοῖν
ἢ τριῶν πολιτῶν ἐκείνῳ κρατεῖν ὑπῆρχεν· ἆρ’ οὖν οὐκ ἦν ἐκεῖνος
πρακτικός, ἐπεὶ μηδενὸς ἦν {ἐκεῖνος} κύριος;

Ἐγὼ μὲν οὖν Ἀλεξάνδρου φημὶ μείζονα τὸν Σωφρονίσκου 20
κατεργάσασθαι, τὴν Πλάτωνος αὐτῷ σοφίαν ἀνατιθείς, τὴν
Ξενοφῶντος στρατηγίαν, τὴν Ἀντισθένους ἀνδρείαν, τὴν Ἐρετρι-
κὴν φιλοσοφίαν, τὴν Μεγαρικήν, τὸν Κέβητα, τὸν Σιμμίαν, τὸν
D Φαίδωνα, μυρίους ἄλλους· καὶ οὔπω φημὶ τὰς | γενομένας ἡμῖν
ἔνθεν ἀποικίας, τὸ Λύκειον, τὴν Στοάν, τὰς Ἀκαδημίας. Τίς οὖν 25
ἐσώθη διὰ τὴν Ἀλεξάνδρου νίκην; Τίς πόλις ἄμεινον ᾠκήθη; Τίς
αὐτοῦ γέγονε βελτίων ἰδιώτης ἀνήρ; Πλουσιωτέρους μὲν γὰρ
πολλοὺς ἂν εὕροις, σοφώτερον δὲ οὐδένα {καὶ} ⟨οὐδὲ⟩ σωφρονέστε-
ρον {οὐδὲ} αὐτὸν αὑτοῦ, εἰ μὴ καὶ μᾶλλον ἀλαζόνα καὶ ὑπερ-

12 τούς ante ἐν τῷ πράττειν traditum ante κυρίους transposuit Wright auctore Hertleinio; traditam positionem def. Prato et Criscuolo[1], sed perperam ‖ **17** αὑτοῦ Hertlein: αὐ- V | ἤπού γε Hertlein: ἤπου γε V **19** ἐκεῖνος om. U (et Petavius) ‖ **25** ἔνθεν: ἐνθένδ’ Hertlein (v. praef. XXV) Ἀκαδημίας: -είας Hertlein (item C. Heracl. 18 infra p. 39,7) | οὖν Cobet: νῦν V: νυν Boulenger[2] (quod nullo alio loco invenitur apud Iulianum) **28–29** {καὶ} ⟨οὐδὲ⟩ σωφρονέστερον {οὐδὲ} Hertlein: καὶ σωφρονέστερον οὐδὲ V, prob. Prato

όπτην. Ὅσοι δὲ σῴζονται νῦν ἐκ φιλοσοφίας, διὰ τὸν Σωκράτη σῴζονται.

Καὶ τοῦτο οὐκ ἐγὼ | μόνος, Ἀριστοτέλης δὲ πρότερον ἔοικεν 265A ἐννοήσας εἰπεῖν, ὅτι μὴ μεῖον αὐτῷ προσήκει φρονεῖν ἐπὶ τῇ 5 θεολογικῇ συγγραφῇ τοῦ καθελόντος τὴν Περσῶν δύναμιν, καί μοι δοκεῖ τοῦτο ἐκεῖνος ὀρθῶς ξυννοῆσαι. Νικᾶν μὲν γὰρ ἀνδρείας ἐστὶ μάλιστα καὶ τῆς τύχης, κείσθω δέ, εἰ βούλει, καὶ τῆς ἐντρεχοῦς ταύτης φρονήσεως· ἀληθεῖς δὲ ὑπὲρ τοῦ θεοῦ δόξας ἀναλαβεῖν οὐκ ἀρετῆς μόνον τῆς τελείας ἔργον ἐστίν, | ἀλλ' ἐπιστήσειεν ἂν B 10 τις εἰκότως, πότερον χρὴ τὸν τοιοῦτον ἄνδρα ἢ θεὸν καλεῖν. Εἰ γὰρ ὀρθῶς ἔχει τὸ λεγόμενον, ὅτι πέφυκεν ἕκαστον ὑπὸ τῶν οἰκείων γνωρίζεσθαι, τὴν θείαν οὐσίαν ὁ γνωρίσας νοῦς θεῖος ἂν εἰκότως νομίζοιτο.

[11] Ἀλλ' ἐπειδὴ πάλιν ἐοίκαμεν εἰς τὸν θεωρηματικὸν 15 ὁρμήσαντες βίον τούτῳ παραβάλλειν τὸν πρακτικόν, ἐξ ἀρχῆς παραιτησαμένου καὶ σοῦ τὴν σύγκρισιν, αὐτῶν ἐκείνων, ὧν ἐ|πεμνήσθης, C Ἀρείου, Νικολάου, Θρασύλλου καὶ Μουσωνίου μνημονεύσω. Τούτων γὰρ οὐχ ὅπως τις ἦν κύριος τῆς αὐτοῦ πόλεως, ἀλλ' ὁ μὲν Ἄρειος, ὥς φασί, καὶ διδομένην αὐτῷ τὴν 20 Αἴγυπτον ἐπιτροπεῦσαι παρῃτήσατο· Θράσυλλος δὲ Τιβερίῳ πικρῷ καὶ φύσει χαλεπῷ τυράννῳ ξυγγενόμενος, εἰ μὴ διὰ τῶν καταλειφθέντων ὑπ' αὐτοῦ λόγων ἀπε|λογήσατο, δείξας ὅστις ἦν, D ὦφλεν ἂν εἰς τέλος αἰσχύνην ἀναπάλλακτον – οὕτως αὐτὸν οὐδὲν ὤνησεν ἡ πολιτεία –· Νικόλαος δὲ πράξεων μὲν οὐ μεγάλων 25 αὐτουργὸς γέγονε, γνώριμος δέ ἐστι μᾶλλον διὰ τοὺς ὑπὲρ αὐτῶν λόγους, καὶ Μουσώνιος ἐξ ὧν ἔπαθεν ἀνδρείως καὶ νὴ Δί' ἤνεγκεν ἐγκρατῶς τὴν τῶν τυράννων ὠμότητα γέγονε γνώριμος, ἴσως οὐκ ἔλαττον εὐδαιμονῶν ἐκείνων τῶν τὰς μεγάλας ἐπιτροπευσάντων βασιλείας. Ἄ|ρειος δὲ ὁ τὴν ἐπιτροπὴν τῆς Αἰγύπτου παραιτησά- 266A 30 μενος ἑκὼν αὑτὸν ἀπεστέρει τοῦ κρατίστου τέλους εἰ τοῦτ' ᾤετο κυριώτατον.

3 πρότερον: de πρότερος cog. Hertlein ‖ **4** αὐτῷ: αὑ- Klimek[3] ‖ **7** κείσθω: προσκ- Cobet ‖ **8** ἀληθεῖς vet. vulg.: -θείας V (def. Criscuolo[1]) ‖ **12** νοῦς θεῖος scripsi: νοῦς τις V: θεῖός τις Hertlein: νοῦς τίς Rochefort: νοῦς ⟨θεῖός⟩ τις Prato (coll. In Solem 44 infra p. 173,3): νοῦς τις ⟨θεῖος⟩ Criscuolo[1] ‖ **18** αὑτοῦ Hertlein: αὐ- V ‖ **23** ὦφλεν Hertlein 1856 et ed.: ὤφειλεν V ‖ **26** νὴ Δί' ἤνεγκεν Cobet: μὴ διήνεγκεν V: μὴ del. Petavius

Σὺ δὲ αὐτὸς ἡμῖν ἄπρακτος εἶ, μήτε στρατηγῶν μήτε δημηγορῶν μήτε ἔθνους ἢ πόλεως ἄρχων; Ἀλλ' οὐκ ἂν φαίη νοῦν ἔχων ἀνήρ· ἔξεστι γάρ σοι φιλοσόφους ἀποφήναντι ⟨πολλούς⟩, εἰ δὲ μή,
B τρεῖς ἢ τέτταρας, μείζονα τὸν βίον εὐεργετῆσαι τῶν ἀνθρώ|πων πολλῶν ὁμοῦ βασιλέων. 5

Οὐ μικρᾶς μερίδος ὁ φιλόσοφος προέστηκεν, οὐδέ, καθάπερ ἔφης, συμβουλῆς ἐστι μόνης τῆς ὑπὲρ τῶν κοινῶν ἐκεῖνος κύριος, οὐδὲ ἡ πρᾶξις εἰς λόγον αὖθις αὐτῷ περιίσταται, ἔργῳ δὲ βεβαιῶν τοὺς λόγους καὶ φαινόμενος τοιοῦτος ὁποίους βούλεται τοὺς ἄλλους εἶναι, πιθανώτερος ἂν εἴη καὶ πρὸς τὸ πράττειν ἀνυσιμώ- 10
C τερος τῶν ἐξ ἐπιτάγματος | ἐπὶ τὰς καλὰς πράξεις παρορμώντων.

[12] Ἀλλ' ἐπανιτέον εἰς ἀρχὴν καὶ συμπεραντέον τὴν ἐπιστολὴν μείζονα ἴσως οὖσαν τοῦ δέοντος. Ἔστι δὲ ἐν αὐτῇ τὸ κεφάλαιον, ὅτι μήτε τὸν πόνον φεύγων μήτε τὴν ἡδονὴν θηρεύων μηδὲ ἀπραγμοσύνης καὶ ῥᾳστώνης ἐρῶν τὸν ἐν τῇ πολιτείᾳ 15 δυσχεραίνω βίον· ἀλλ', ὅπερ ἔφην ἐξ ἀρχῆς, οὐδὲ παιδείαν ἐμαυτῷ
D συνειδὼς τοσαύτην οὔτε φύσεως ὑπεροχήν, καὶ προσέτι δε|διὼς μὴ φιλοσοφίαν, ἧς ἐρῶν οὐκ ἐφικόμην, εἰς τοὺς νῦν ἀνθρώπους οὐδὲ ἄλλως εὐδοκιμοῦσαν διαβάλλω, πάλαι τε ἔγραφον ἐκεῖνα καὶ νῦν τὰς παρ' ὑμῶν ἐπιτιμήσεις ἀπελυσάμην εἰς δύναμιν. 20

[13] Διδοίη δὲ ὁ θεὸς τὴν ἀρίστην τύχην καὶ φρόνησιν ἀξίαν τῆς τύχης, ὡς ἐγὼ νῦν ἔκ τε τοῦ κρείττονος τό γε πλέον καὶ παρ'
267A ὑμῶν ἁπάσῃ μηχανῇ τῶν φιλοσοφούντων | βοηθητέος εἶναί μοι δοκῶ, προτεταγμένος ὑμῶν καὶ προκινδυνεύων. Εἰ δέ τι μεῖζον ἀγαθὸν τῆς ἡμετέρας παρασκευῆς ⟨καὶ⟩ ἧς ὑπὲρ ἐμαυτοῦ γνώμης 25 ἔχω τοῖς ἀνθρώποις δι' ἡμῶν ὁ θεὸς παράσχοι, χαλεπαίνειν οὐ χρὴ πρὸς τοὺς ἐμοὺς λόγους· ἐγὼ γὰρ οὐδὲν ἐμαυτῷ συνειδὼς

2 ἄρχων U: ἄ..ων V | φαίη νοῦν Reiske: φ.... ῦν V: φαίην νοῦν U **3** ἀποφήναντι ⟨πολλούς⟩ Prato: ἀποφ........ V: ἀποφη........ U: ἀποφήναντα ⟨πάντας⟩ Petavius (tum ἀποφήναντι Spanheim): ἀποφήναντι ⟨παμπόλλους⟩ Reiske (sed lacuna in V/U brevior): ἀποφήναντι ⟨δέκα⟩ Cobet: ⟨πολλούς⟩ ἀποφήναντι Hertlein ‖ **4** ἀνθρώπων U: ......ων V ‖ **6** γὰρ post μικρᾶς add. Hertlein | καθάπερ U: ..θάπερ V ‖ **12** συμπεραντέον vet. vulg.: -περατ- V **15** μηδὲ: μήτε Hertlein (v. praef. XXVI) ‖ **16** οὐδὲ V: οὔτε Hertlein (v. praef. XXVI) ‖ **17** τοσαύτην ⟨οὖσαν⟩ Klimek[3] ‖ **18** εἰς V (def. Hertlein, coll. Xen. Hell. III 5,2): πρός Cobet ‖ **22** τό γε Reiske: τότε V: ἢ τότε vel τό τε Petavius: τό {τε} Cobet ‖ **25** παρασκευῆς ⟨καὶ⟩ ἧς Cobet (qui copulae καὶ vestigia adhuc in V sibi perspicere videtur): παρασκευ .... ἧς V: παρασκευῆς ἧς U

ἀγαθὸν πλὴν τοῦτο μόνον ὅτι μηδὲ οἴομαι τὰ μέγιστα ἔχειν – ἔχων γε οὐδέν, ὡς ὁρᾷς αὐτός – εἰκότως βοῶ καὶ μαρτύρομαι μὴ μεγάλα παρ' ἡμῶν ἀπαιτεῖν, | ἀλλὰ τῷ θεῷ τὸ πᾶν ἐπιτρέπειν. B Οὕτω γὰρ ἐγὼ τῶν τε ἐλλειμμάτων εἴην ἂν ἀνεύθυνος καί, 5 γενομένων ἁπάντων δεξιῶν, εὐγνώμων ἂν καὶ μέτριος εἴην, οὐκ ἀλλοτρίοις ἐμαυτὸν ἔργοις ἐπιγράφων· τῷ θεῷ δέ, ὥσπερ οὖν δίκαιον, προσανατεθεικὼς ἅπαντα αὐτός τε εἴσομαι καὶ ὑμᾶς προτρέπω τὴν χάριν εἰδέναι.

1 μηδὲ V: μήτε Boulenger[2] (v. praef. p. XXVI) ‖ **2** ἔχων γε: de ἔχων τε cog. Hertlein (II p. VII) | de εἰκότως ⟨τε⟩ cog. Hertlein (II p. VII) | βοῶ Reiske: βιῶ V ‖ **4** ἐλλειμμάτων vet. vulg.: ἐλειμμ- V ‖ **7** προσανατεθεικώς van Lennep: προανα- V

Ἰουλιανοῦ Αὐτοκράτορος Πρὸς Ἡράκλειον Κυνικόν
περὶ τοῦ πῶς κυνιστέον
καὶ εἰ πρέπει τῷ κυνὶ μύθους πλάττειν

204A **[1]** *Ἦ πολλὰ γίνεται ἐν μακρῷ χρόνῳ*· τοῦτο ἐκ τῆς κωμῳδίας
ἀκηκοότι μοι πρῴην ἐπῆλθεν ἐκβοῆσαι, ὁπηνίκα παρακληθέντες
ἠκροώμεθα κυνὸς οὔτι τορὸν οὐδὲ γενναῖον ὑλακτοῦντος, ἀλλ'
ὥσπερ αἱ τίτθαι μύθους ᾄδοντος καὶ οὐδὲ τούτους ὑγιῶς διατιθεμέ-
νου. 5

Παραχρῆμα μὲν οὖν ἐπῆλθέ μοι διαναστάντι διαλῦσαι τὸν
B σύλλογον· ἐ|πεὶ δὲ ἐχρῆν ὥσπερ ἐν θεάτρῳ κωμῳδουμένων
Ἡρακλέος καὶ Διονύσου παρὰ τῶν κωμῳδῶν ἀκούειν, οὐ τοῦ
λέγοντος, ἀλλὰ τῶν συνειλεγμένων χάριν ὑπέμεινα, μᾶλλον δέ, εἰ
χρή τι καὶ νεανικώτερον εἰπεῖν, ἡμῶν αὐτῶν εἵνεκα καὶ τοῦ ⟨μὴ⟩ 10
δοκεῖν ὑπὸ δεισιδαιμονίας μᾶλλον ἢ διανοίας εὐσεβοῦς καὶ λελογι-
C σμένης, ὥσπερ αἱ πελειά|δες, ὑπὸ τῶν ῥηματίων σοβηθεὶς
ἀναπτῆναι. Ἔμενον δὲ ἐκεῖνο πρὸς ἐμαυτὸν εἰπών· „*Τέτλαθι δή,
κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης*, ἀνάσχου καὶ κυνὸς ληροῦντος
ὀλίγον ἡμέρας μόριον· οὐ πρῶτον ἀκούεις τῶν θεῶν βλασφημου- 15
205A μένων, οὐχ οὕτω τὰ κοινὰ πράττομεν καλῶς, οὐχ οὕτω τῶν ἰδίων |
ἕνεκα σωφρονοῦμεν, οὐ μὴν οὐδὲ εὐτυχεῖς ⟨οὕτως⟩ ἐσμὲν ὥστε τὰς

1 cf. Eup. fr. 391,1 K.–A.(ἦ πολλά γ' ἐν μακρῷ χρόνῳ γίγνεται μεταλλαγῆ) **7–8** cf. Misop. 39 infra p. 208,12 ὥσπερ οἱ κωμῳδοὶ τὸν Ἡρακλέα καὶ τὸν Διόνυσον ἕλκουσι καὶ περιφέρουσιν; Diog. Laert. VII 173 (= Cleanth. SVF I 603) τὸν μὲν Διόνυσον καὶ τὸν Ἡρακλέα φλυαρουμένους ὑπὸ τῶν ποιητῶν μὴ ὀργίζεσθαι; Schol. Dion. Thr., GrGr I 3 p. 475,13–17 (de Dionysi et Herculis in Aristophanis *Ranis* irrisione) ‖ **13–14** Hom. υ 18

tit. Suda ι 437, l. 7 (Πρὸς τὸν κύνα Ἡράκλειτον πῶς κυνιστέον)

tit. Αὐτοκράτορος vet. vulg.: Αὐγούστου V (in titulis Epistulae ad Athenienses, Epistulae ad Themistium, Sermonis adversus Cynicos, Caesarum, Hymni in Solem, Misopogonis semper Αὐτοκράτορος habet V) Ἡράκλειον: -κλειτον Suda | verba περὶ — πλάττειν non Iuliani esse putat Asmus[1] ‖ **6** διαλῦσαι Petavius: -λύσαι V ‖ **8** Ἡρακλέος V: -έους Petavius (v. praef. XXV) ‖ **10** μή suppl. Petavius ‖ **11** εὐσεβοῦς V: ἀσ- Spanheim (Petavii μή non accepto) ‖ **15** νῦν post οὐ add. Reiske ‖ **17** οὕτως post εὐτυχεῖς add. Boulenger[2] (post ἐσμέν iam Petavius)

ἀκοὰς καθαρὰς ἔχειν ἢ τελευταῖον γοῦν τὰ ὄμματα μὴ κεχράνθαι τοῖς παντοδαποῖς τουτουὶ τοῦ σιδηροῦ γένους ἀσεβήμασιν."

Ἐπεὶ δὲ ὥσπερ ἐνδεεῖς ἡμᾶς τῶν τοιούτων κακῶν ἀνέπλησεν οὐκ εὐαγῶν ὁ κύων ῥημάτων – τὸν ἄριστον τῶν θεῶν ὀνομάσας, 5 ὡς μήποτε ὤφελε μήτ' ἐκεῖνος εἰπεῖν μήτε ἡμεῖς ἀκοῦσαι –, δεῦρο πειραθῶμεν αὐτὸν ἐφ' ὑμῶν διδάξαι, | πρῶτον μὲν ὅτι τῷ κυνὶ B ⟨λόγους μᾶλλον⟩ ἢ μύθους προσήκει γράφειν, εἶτα ὁποίας καὶ τίνας χρὴ ποιεῖσθαι τὰς διασκευὰς τῶν μύθων, εἴ τις ἄρα καὶ φιλοσοφία προσδεῖται τῆς μυθο⟨γραφ⟩ίας. Ἐπὶ πᾶσι δὲ ὑπὲρ τῆς 10 πρὸς τοὺς θεοὺς εὐλαβείας ὀλίγα διαλέξομαι· τοῦτο γάρ μοι καὶ τῆς εἰς ὑμᾶς παρόδου γέγονεν αἴτιον, καίπερ οὐκ ὄντι συγγραφικῷ καὶ τὸ ἐν τῷ πλήθει λέγειν ὥσπερ ἄλλο τι τῶν ἐπαχθῶν καὶ σο|φιστικῶν τὸν ἔμπροσθεν χρόνον παραιτησαμένῳ. μικρὰ δὲ C ὑπὲρ τοῦ μύθου καθάπερ τινὰ γενεαλογίαν ἴσως οὐκ ἀνάρμοστον 15 ἐμοί τε φάναι ὑμῖν τε ἀκοῦσαι.

[2] Τὴν μὲν οὖν ἀρχὴν ὁπόθεν εὑρέθη καὶ ὅστις ὁ πρῶτος ἐπιχειρήσας τὸ ψεῦδος πιθανῶς συνθεῖναι πρὸς ὠφέλειαν ἢ ψυχαγωγίαν τῶν ἀκροωμένων, οὐ μᾶλλον εὕροι τις ἂν ἢ εἴ τις ἐπιχειρήσειε τὸν πρῶτον πταρέντα ἢ | χρεμψάμενον ἀναζητεῖν. Εἰ δέ, D 20 ὥσπερ ἱππεῖς μὲν ⟨εὑρέθησαν⟩ ἐν Θράκῃ καὶ Θετταλίᾳ, τοξόται δὲ

16–19 Suda χ 455 (τὴν ἀρχήν, ὁπόθεν εὑρέθη ὁ μῦθος καὶ ὅστις πρῶτος ἐφεῦρεν, οὐ μᾶλλον εὕροι τις ἂν ἢ εἴ τις ἐπιχειρήσειε τὸν πρῶτον πταρέντα ἢ χρεμψάμενον ἀναζητεῖν) ‖ **20–18,1** Suda ι 538 (ἱππεῖς μὲν ἐν Θετταλίᾳ καὶ Θρᾴκῃ, τοξόται δὲ καὶ τὰ κουφότερα τῶν ὅπλων ἐν Ἰνδίᾳ καὶ Κρήτῃ καὶ Καρίᾳ)

1 τὸ ante τελευταῖον inseruit Reiske (cf. τὸ τελευταῖον Ad Them. 6 supra p. 7,28; sed solum τελευταῖον Contra Galil. p. 175,15 Neumann) ‖ **4** ὀνοτάσας Friederich (quo verbo Iulianus nusquam alibi utitur) ‖ **5** δεῦρο similiter in media sententia ab Iuliano adhibetur C. Cyn. 7 infra p. 88,1 et 9 infra p. 89,25 ‖ **7** λόγους μᾶλλον suppl. Spanheim: post κυνὶ macula spatium XII fere litterarum obtegens in V, lacuna in U ‖ **8** διασκευὰς in V sub macula sibi legere visi sunt Cobet 1859 et Hertlein: lacunam statuit Petavius ex U, ὑποθέσεις coni. Spanheim | τις V (cf. cap. 10 infra p. 29,7; 11 infra p. 30,21): τι Reiske ‖ **9** μυθο⟨γραφ⟩ίας Spanheim: μυθο....ίας V: μυθο...νίας Petavius ex U ‖ **19** πταρέντα Suda: σπαρ- V: πταρόντα Reiske ‖ **20** ἱππεῖς Suda: ἡμεῖς V | μὲν Suda: om. V | εὑρέθησαν supplevi („reperti feruntur" in versione Latina Petavius): εὑρέθη aut ἀνεφάνη post Καρίᾳ excidisse putavit Reiske: ἱππεῖς ⟨εἰσιν⟩ ἐν Θρᾴκῃ Guido

καὶ τὰ κουφότερα τῶν ὅπλων ἐν Ἰνδίᾳ καὶ Κρήτῃ καὶ Καρίᾳ, τῇ φύσει τῆς χώρας ἀκολουθούντων οἶμαι τῶν ἐπιτηδευμάτων, οὕτω τις ὑπολαμβάνει καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων, ἐν οἷς ἕκαστα τιμᾶται, μάλιστα παρὰ τούτων αὐτὰ καὶ πρῶτον εὑρῆσθαι, τῶν ἀγελαίων ἔοικεν ἀνθρώπων εἶναι τό γε ἐξ ἀρχῆς ὁ μῦθος εὕρημα, 5
206A καὶ διαμέ|νει ἐξ ἐκείνου μέχρι καὶ νῦν παρ' αὐτοῖς πολιτευόμενον τὸ πρᾶγμα ὥσπερ ἄλλο τι τῶν ἀκροαμάτων, αὐλὸς ἢ κιθάρα, τέρψεως ἕνεκα καὶ ψυχαγωγίας· ὥσπερ γὰρ οἱ ὄρνιθες ἵπτασθαι καὶ νεῖν οἱ ἰχθύες αἵ τε ἔλαφοι θεῖν ἐπειδὴ πεφύκασιν οὐθὲν τοῦ διδαχθῆναι προσδέονται, κἂν δήσῃ τις κἂν καθείρξῃ πειρᾶται 10 ὅμως χρῆσθαι τούτοις τοῖς μορίοις πρὸς ἃ σύνοιδεν αὑτοῖς
B πεφυκόσι ταυτὶ τὰ ζῷα, οὕτως οἶμαι καὶ | τὸ τῶν ἀνθρώπων γένος οὐκ ἄλλο τι τὴν ψυχὴν ἔχον ἢ λόγον καὶ ἐπιστήμην ὥσπερ ἐγκαθειργμένην, ὃ δὴ καὶ λέγουσιν οἱ σοφοὶ δύναμιν, ἐπὶ τὸ μανθάνειν τι καὶ ζητεῖν καὶ πολυπραγμονεῖν, ὡς πρὸς οἰκειότατον 15 ἑαυτῷ τῶν ἔργων, τρέπεται.

Καὶ ὅτῳ μὲν εὐμενὴς θεὸς ταχέως ἔλυσε τὰ δεσμὰ καὶ τὴν δύναμιν εἰς ἐνέργειαν ἤγαγε, τούτῳ πάρεστιν εὐθὺς ἐπιστήμη,
C τοῖς δε|δεμένοις δὲ ἔτι, καθάπερ οἶμαι ⟨τῷ Ἰξίωνι τῆς Ἥρας ἐρῶντι⟩ εἴδωλ⟨ον⟩ ἀντὶ τῆς θεοῦ λέγεται παραναπαύσασθαι, 20

4–5 Suda α 187 (τῶν ἀγελαίων ἔοικεν ἀνθρώπων εἶναι ὁ τοιοῦτος) **6–8** Suda α 994 (καὶ διαμένει καὶ νῦν παρ' αὐτοῖς πολιτευόμενον τὸ πρᾶγμα, ὥσπερ ἄλλο τι τῶν ἀκροαμάτων, αὐλὸς ἢ κιθάρα, τέρψεως ἕνεκα καὶ ψυχαγωγίας) ‖ **8–10** Suda ν 290 (ὥσπερ γὰρ οἱ ὄρνιθες ἵπτασθαι καὶ νεῖν οἱ ἰχθύες αἵ τε ἔλαφοι θεῖν, ἐπεὶ πεφύκασιν, οὐδὲν τοῦ διδαχθῆναι προσδέονται)

5 τό γε V (cf. iam Cobet 1859 et Guida 1991, 135 post Hertleinium): τότε vet. vulg. (ex U) ‖ **6** ἐξ ἐκείνου μέχρι om. Suda ‖ **7** τὸ πρᾶγμα Suda: om. V | ἢ Suda: καὶ V ‖ **8** οἱ ὄρνιθες Suda: ὄρνιθες V ‖ **9** καὶ U, Suda: locus non legibilis in V | οἱ ἰχθύες Suda: ἰχθύες Petavius ex U (locus macula obrutus in V) | ἐπειδὴ V: ἐπεὶ Suda ‖ **10** προσδέονται U, Suda: προσδ…ται V **11** αὑτοῖς Petavius: αὐτοῖς V (cf. praef. XXV) ‖ **15** τι V: τε Hertlein in app. **19** καθάπερ οἶμαι Spanheim (etiam legit Cobet 1883): καθα… V, καθάπερ οι… U ‖ **19–20** τῷ Ἰξίωνι τῆς Ἥρας ἐρῶντι suppl. Kassel, τῷ Ἰξίωνι τὴν Ἥραν διώκοντι et εἴδωλ⟨ον⟩ exempli gratia suppl. Bidez 1930 (post Wyttenbach, qui οἶμαι ⟨Ἰξίων εἰδώλῳ τινὶ⟩ ἀντὶ coniecit): macula spatium fere 21 litterarum obtegens in V, post lacunam εἴδωλ tantum legi potest in U

τούτοις ἀντ' ἀληθοῦς ψευδὴς ἐντέτηκε δόξα· γίνεται γὰρ ἐντεῦθεν αὐτοῖς τὰ ὑπηνέμια καὶ τερατώδη ταυτί, τῆς ἀληθοῦς ἐπιστήμης οἷον εἴδωλα ἄττα καὶ σκιαί. Πράττουσι γοῦν πρὸ τῆς τῶν ἀληθῶν ἐπιστήμης τὰ ψεύδη καὶ διδάσκουσί γε μάλα προθύμως καὶ
5 μανθάνουσιν ὥσπερ οἶμαι χρηστόν τι καὶ θαυμαστόν.

Εἰ δ' ὅλως χρή τι καὶ ὑπὲρ τῶν τοὺς μύθους τὸ πρῶτον πλασάντων ἀπολο|γήσασθαι, δοκοῦσί μοι ταῖς τῶν παιδίων D ψυχαῖς, ὥσπερ αἱ τίτθαι περὶ τὰς ὀδοντοφυΐας κνηστιῶσιν αὐτοῖς σκύτινα ἄττα προσαρτᾶν ταῖν χεροῖν, ἵνα αὐτῶν παραμυθήσωνται
10 τὸ πάθος, οὕτω δὲ καὶ οὗτοι τῷ ψυχαρίῳ πτεροφυοῦντι καὶ ποθοῦντι πλέον εἰδέναι τι, διδάσκεσθαι δὲ οὔπω τἀληθῆ δυναμένῳ ταῦτα ἐποχετεύειν, ὥσπερ ἄρδοντες ἄρουραν διψῶσαν, ἵνα δὴ οἶμαι αὐτῷ τὸν γαργαλισμὸν καὶ τὴν ὀδύνην παραμυθήσωνται.

[3] | Τοῦ δὲ τοιούτου προβαίνοντος καὶ παρὰ τοῖς Ἕλλησιν 207A
15 εὐδοκιμοῦντος εἵλκυσαν ἐντεῦθεν οἱ ποιηταὶ τὸν αἶνον, ὃς τοῦ

1 Suda ε 1464 (τούτοις ἀντ' ἀληθοῦς ψευδὴς ἐντέτηκε δόξα) ‖ **1–4** Suda υ 423 (γίνεται γὰρ αὐτῷ ἐντεῦθεν τὰ ὑπηνέμια καὶ τερατώδη, ἀντὶ τῆς ἀληθοῦς ἐπιστήμης, οἷον εἴδωλα ἄττα καὶ σκιαί. πράττουσι γοῦν πρὸ τῆς τῶν ἀληθῶν ἐπιστήμης τὰ ψεύδη) ‖ **15–20,3** Suda αι 230 et μ 1389 (αἶνος διαφέρει μύθου [διαφέρει δὲ αἶνος μύθου μ 1389] τῷ τὸν αἶνον μὴ πρὸς παῖδας, ἀλλὰ πρὸς ἄνδρας πεποιῆσθαι καὶ μὴ πρὸς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν ἔχειν τινά. βούλεται γὰρ ἐπικρυπτόμενος παραινεῖν τι καὶ διδάσκειν)

1 τούτοις – ψευδὴς ἐν- suppl. Suda: inter παραναπαύσασθα et τέτηκε macula in V, lacuna in U ‖ **2** αὐτοῖς Wright: -τῷ V, Suda | ὑπηνέμια καὶ τερατώδη Suda: ὑπην… V, ὑπ… U | ταυτί V: ἀντὶ Suda ‖ **3** πράττουσι γοῦν suppl. Suda: locus illegibilis in V (…αττουσ… V[2]), lacuna in U: προτιμῶσι coni. Platt 1905 ‖ **4** ψεύδη Suda: ψευδῆ V | μάλα προθύμως legit Spanheim: inter διδάσκουσι et θύμως macula in V, inter γε et θύμως lacuna in U ‖ **6** εἰ δ' U: locus illegibilis in V (εἰ δὲ adhuc legebat Cobet 1883) ‖ **8** κνηστιῶσιν V (cf. ep. 111 p. 191,7-9 Bidez: Πολλοὶ πάντως εἰσὶ … δυνάμενοι τὰς ἀκοὰς ὑμῶν κνηστιώσας καὶ δεομένας ἀσεβῶν ῥημάτων ἱκανῶς παραμυθήσασθαι, cf. etiam Orib. Synops. ad Eustath. 7,8,1: Κνησμοὺς … κωλύσεις … ἢ διὰ φαρμάκων ἀποκρουόμενος ἢ διὰ τοῦ καρτερεῖν κνηστιῶντα καὶ μὴ ψαύειν· παύεσθαι γὰρ πέφυκεν ἡ κνῆσις καὶ οὕτως; κνηστιᾶν pro κνησιᾶν adhibetur etiam in Schol. Ar. Vesp. 884a): κνησιῶσιν Hertlein ‖ **9** ἄττα Suda (Petavius): ἅ- V | προσαρτᾶν (scil. δοκοῦσι) V: ⟨εἰώθασι⟩ προσαρτᾶν Reiske, προσαρτῶσι Hertlein | αὐτῶν Hertlein: -ό V ‖ **10** δὲ fortasse delendum **13** αὐτῷ Rochefort: -ῶν V (post γαργαλισμόν transp. U)

μύθου διαφέρει τῷ μὴ πρὸς παῖδας, ἀλλὰ πρὸς ἄνδρας πεποιῆσθαι
καὶ μὴ {πρὸς} ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν ἔχειν
τινά· βούλεται γὰρ ἐπικρυπτόμενος παραινεῖν τε καὶ διδάσκειν,
ὅταν ὁ λέγων τὸ φανερῶς εἰπεῖν εὐλαβῆται, τὴν παρὰ τῶν ἀκουόν-
B τῶν ὑφορώμενος ἀπέ|χθειαν. 5

Οὕτω τοι καὶ Ἡσίοδος αὐτὸ φαίνεται πεποιηκώς· ὁ δὲ μετὰ
τοῦτον Ἀρχίλοχος, ὥσπερ ἥδυσμά τι περιτιθεὶς τῇ ποιήσει, μύθοις
⟨οὐκ⟩ ὀλιγάκις ἐχρήσατο, ὁρῶν (ὡς εἰκός) τὴν μὲν ὑπόθεσιν, ἣν
μετῄει, τῆς τοιαύτης ψυχαγωγίας ἐνδεῶς ἔχουσαν· σαφῶς δὲ
ἐγνωκὼς ὅτι στερομένη μύθου ποίησις ἐποποιΐα μόνον ἐστίν, 10
ἐστέρηται δέ, ὡς ἂν εἴποι τις, ἑαυτῆς (οὐ γὰρ ἔτι λείπεται
ποίησις), ἡδύσματα ταῦτα παρὰ τῆς ποιητικῆς μούσης ἐδρέψατο,
C καὶ παρέ|θηκέ γε αὐτὰ τούτου χάριν, ὅπως μὴ σιλλογράφος τις,
ἀλλὰ ποιητὴς νομισθείη.

Ὁ δὲ δὴ τῶν μύθων Ὅμηρος ἢ Θουκυδίδης ἢ Πλάτων, ἢ ὅτι 15
βούλει καλεῖν αὐτόν, Αἴσωπος ἦν ὁ Σάμιος, δοῦλος οὐ τὴν τύχην
μᾶλλον ἢ τὴν προαίρεσιν, οὐκ ἄφρων μὴν οὐδὲ κατ' αὐτὸ τοῦτο
ἀνήρ· ᾧ γὰρ ὁ νόμος οὐ μετεδίδου παρρησίας, τούτῳ προσῆκον ἦν
ἐσκιαγραφημένας τὰς συμβουλὰς καὶ πεποικιλμένας ἡδονῇ καὶ
D χάριτι παραφέρειν, ὥσπερ οἶμαι τῶν ἰατρῶν οἱ μὲν ἐλεύθεροι τὸ | 20

6–7 de Hesiodo Archilochoque „mythos“ adhibentibus cf. Schol. T Hom. Il. 19,407; Hermog. Progymn. 1 p. 1,6–8 Rabe ‖ **16** Aesop. test. 58 Perry

6 Suda αι 230 et μ 1389 (ὅπερ καὶ [καὶ om. μ 1389] Ἡσίοδος φαίνεται πεποιηκώς) ‖ **16–21,3** Suda αι 335 (Σάμιος, δοῦλος οὐ τὴν τύχην μᾶλλον ἢ τὴν προαίρεσιν, οὐκ ἄφρων μὲν οὐδὲ κατ' αὐτὸ τοῦτο ἀνήρ· ᾧ γὰρ ὁ νόμος οὐ μετεδίδου παρρησίας, τούτῳ προσῆκον ἦν ἐσκιαγραφημένας τὰς συμβουλὰς καὶ πεποικιλμένας ἡδονῇ καὶ χάριτι παραφέρειν, ὥσπερ καὶ τῶν ἰατρῶν οἱ μὲν ἐλεύθεροι τὸ δέον ἐπιτάττουσιν, ἐὰν δὲ τις οἰκέτης γένηται τὴν τύχην καὶ τὴν τέχνην ἰατρὸς, πράγματα ἔχει κολακεύειν ἅμα καὶ θεραπεύειν τὸν δεσπότην ἀναγκαζόμενος)

2 πρὸς (V, Suda) del. Cobet ‖ **3** παραινεῖν τε V: παραινεῖν τι Suda ‖ **6** οὕτω τοι καὶ V: ὅπερ καί Suda αι 230: ὅπερ Suda μ 1389 | αὐτὸ V: om. Suda **8** οὐκ suppl. Hertlein ‖ **13** αὐτὰ Reiske: -ὸς V: -οῦ Leopardi (cf. De Sinner 1835, 11) ‖ **16** οὐ V, Suda: del. Cobet ‖ **17** μὴν Hertlein in app.: μὲν V, Suda: μέντοι Reiske | κατ' αὐτὸ τοῦτο Suda: κα.. ....το V: κατ' αὐ.. ..... U: κατ' αὐτὸν *** Spanheim (κατ' αὐ *** Petavius) ‖ **19** ἐσκιαγραφημένας Suda: vix legitur in V, lacuna in U ‖ **20** οἶμαι V: καὶ Suda

δέον ἐπιτάττουσιν, ἐὰν δέ τις οἰκέτης γένηται τὴν τύχην καὶ τὴν τέχνην ἰατρός, πράγματα ἔχει κολακεύειν ἅμα καὶ θεραπεύειν τὸν δεσπότην ἀναγκαζόμενος.

[4] Εἰ μὲν οὖν καὶ τῷ κυνὶ προσήκει ταύτης τῆς δουλείας, 5 λεγέτω, γραφέτω, παραχωρείτω τῆς μυθολογίας αὐτῷ πᾶς ὁστισοῦν· εἰ δὲ μόνος εἶναί φησιν ἐλεύθερος, ἐπὶ τί | χρήσεται τοῖς 208A μύθοις, οὐκ οἶδα. Πότερον ἵνα τὸ πικρὸν καὶ δάκνον τῆς συμβουλῆς ἡδονῇ καὶ χάριτι κεράσας ἅμα τε ὀνήσῃ καὶ ἀποφύγῃ τὸ προσλαβεῖν τι παρὰ τοῦ ὀνιναμένου κακόν; Ἀλλὰ τοῦτό ἐστι λίαν 10 δουλοπρεπές.

Ἀλλ' ἄμεινον ἄν τις διδαχθείη μὴ τὰ πράγματα ἀκούων αὐτὰ μηδὲ τὰ ἐπ' αὐτοῖς ὀνόματα, κατὰ τὸν κωμικὸν τὴν σκάφην σκάφην λέγοντα; Ἀλλ' ἀντὶ τοῦ μὲν δεῖνος τὸν Φαέθοντα δέον | B ὀνομάσαι; Τὸ δὲ χραίνειν οὐκ εὐαγῶς τὴν ἐπωνυμίαν τοῦ 15 βασιλέως Ἡλίου. Τίς δὲ ὁ Πὰν καὶ τίς ὁ Ζεὺς τῶν *χαμαὶ ἐρχομένων ἀνθρώπων* ἄξιος καλεῖσθαι, ἵν' ἐκεῖθεν ἐπ' αὐτοὺς μεταθῶμεν ἡμῶν τὰς διανοίας; Καίτοι, εἰ καὶ τοῦτο οἷόν τε ἦν, ἄμεινον ἦν αὐτοὺς ὀνομάσαι τοὺς ἀνθρώπους· ἦ γὰρ οὐχ οὕτω κρεῖττον ἦν εἰπεῖν ἀνθρωπικὰ θεμένους ὀνόματα, μᾶλλον δὲ οὐδὲ θεμένους 20 (ἤρκει γὰρ ὅσαπερ ἡμῖν οἱ γονεῖς ἔθεντο); Ἀλλ' εἰ μή|τε μαθεῖν C ἐστι ῥᾴδιον διὰ τοῦ πλάσματος μήτε τῷ Κυνικῷ πρέπον πλάττειν τὰ τοιαῦτα, τοῦ χάριν οὐκ ἐφεισάμεθα τοῦ πολυτελοῦς ἀναλώματος, πρὸς δὲ δὴ καὶ ἐφθείραμεν τὸν χρόνον πλάττοντες καὶ συντιθέντες μυθάρια, εἶτα λογογραφοῦντες καὶ ἐκμανθάνοντες;

25 Ἀλλ' ἴσως ὁ μὲν λόγος οὔ φησι δεῖν ἀντὶ τῶν ἀληθῶν καὶ μὴ πεπλασμένων τὰ ψευδῆ καὶ πεπλασμένα | παρὰ τοῦ κυνός, „ὦ D

12–13 Ar. fr. dub. 927 K.-A. ‖ **15–16** cf. Hom. E 441s. (ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον / ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων) ‖ **22–23** τοῦ[2] … ἀναλώματος cf. Plut. Ant. 28,1 (τὸ πολυτελέστατον … ἀνάλωμα, τὸν χρόνον)

1 ἅμα (V) post δέ om. Suda ‖ **6** ἐπὶ τί Petavius: ἐπί τι V ‖ **9** ὀνιναμένου Horkel: ὀνη- V ‖ **13** τὸν Φαέθοντα δέον V: τὸν Φαέθοντα τί δέον Reiske: possis τί Φαέθοντα δέον (ad δέον sc. ἐστί = δεῖ vid. V. Schmidt, Sprachl. Unters. zu Herondas 114 n. 24) ‖ **14** post ὀνομάσαι signum interrogationis posuit Reiske | τὸ Petavius: τὸν V: τί Reiske (cf. or. 1,10 p. 15C: Τὸ δὲ ἦν οὐ τὴν ἐπιθυμίαν ἐξελεῖν τῶν νέων κτλ., or. 3[2],23 p. 78D: Τὸ δέ ἐστι μὲν ἴσως ἀληθές κτλ.) ‖ **20** ἤρκει Spanheim: ἤργει V: ἥκει Petavius (dubitanter) **21** ῥᾴδιον V: ῥᾷον Hertlein (Vol. II, p. VI)

μόνῳ τῆς ἐλευθερίας μέτεστιν“, ἐν τοῖς κοινοῖς ᾄδεσθαι συλλόγοις, ἡ συνήθεια δὲ αὐτῷ γέγονεν ἀπὸ Διογένους ἀρξαμένη καὶ Κράτητος ἄχρι τῶν ἐφεξῆς; Οὐδὲν οὐδαμοῦ παράδειγμα τοιοῦτον εὑρήσεις. Ἐκεῖνο γὰρ ἀφίημι τέως ὅτι τῷ Κυνικῷ „τὸ νόμισμα παραχαράττοντι“ τῇ συνηθείᾳ προσέχειν οὐδαμῶς προσήκει, τῷ 5
209A λόγῳ δὲ αὐτῷ μόνῳ, καὶ τὸ ποιητέον εὑρί|σκειν οἴκοθεν, ἀλλ' οὐ μανθάνειν ἔξωθεν. Εἰ δ' Ἀντισθένης ὁ Σωκρατικὸς ὥσπερ ὁ Ξενοφῶν ἔνια διὰ τῶν μύθων ἀπήγγελλε, μήτοι τοῦτό σε ἐξαπατάτω· καὶ γὰρ μικρὸν ὕστερον ὑπὲρ τούτου σοι διηγήσομαι.

[5] Νῦν δὲ ἐκεῖνό μοι πρὸς τῶν Μουσῶν φράσον ὑπὲρ τοῦ 10 Κυνισμοῦ· πότερον ἀπόνοιά τις ἐστὶ καὶ βίος οὐκ ἀνθρώπινος, ἀλλὰ θηριώδης ψυχῆς διάθεσις οὐθὲν καλόν, οὐθὲν σπουδαῖον οὐδὲ
B ἀγαθὸν νομιζούσης; Δοίη γὰρ ἂν ὑπολα|βεῖν πολλοῖς περὶ αὐτοῦ ταῦτα Οἰνόμαος· εἴ τι σοι τοῦ ταῦτα γοῦν ἐπελθεῖν ἐμέλησεν, ἐπέγνως ἂν σαφῶς ἐν τῇ Τοῦ Κυνὸς Αὐτοφωνίᾳ καὶ τῷ κατὰ τῶν 15 χρηστηρίων καὶ πᾶσιν ἁπλῶς οἷς ἔγραψεν ὁ ἀνήρ.

Τοιούτου δὲ ὄντος τοῦ πράγματος, ὥστε ἀνῃρῆσθαι μὲν ἅπασαν τὴν πρὸς τοὺς θεοὺς εὐλάβειαν, ἠτιμάσθαι δὲ πᾶσαν ἀνθρωπίνην φρόνησιν, νόμον δὲ μὴ τὸν ὁμώνυμον τῷ καλῷ καὶ
C δικαίῳ πεπατῆσθαι μόνον, ἀλλὰ καὶ τοὺς ἐκ τῶν | θεῶν ἡμῖν 20 ὥσπερ ἐγγραφέντας ταῖς ψυχαῖς, ὑφ' ὧν πάντες ἀδιδάκτως εἶναι θεῖόν τι πεπείσμεθα καὶ πρὸς τοῦτο ἀφορᾶν ἐπ' αὐτό τε οἶμαι σπεύδειν – οὕτω διατιθέμενοι τὰς ψυχὰς πρὸς αὐτὸ ὥσπερ οἶμαι πρὸς τὸ φῶς τὰ βλέποντα –, πρὸς τούτῳ δὲ εἰ καὶ ὁ δεύτερος ἐξελαύνοιτο νόμος ἱερὸς ὢν φύσει καὶ θεῖος, ὁ τῶν ἀλλοτρίων 25 πάντη καὶ πάντως ἀπέχεσθαι κελεύων καὶ μήτε ἐν λόγῳ μήτε ἐν
D ἔργῳ μήτε ἐν αὐταῖς | ταῖς λανθανούσαις τῆς ψυχῆς ἐνεργείαις ταῦτα ἐπιτρέπων συγχεῖν – ὅσπερ ἡμῖν καὶ τῆς τελειοτάτης ἐστὶν

14 v. Hammerstaedt, Die Orakelkritik des Kynikers Oenomaus p. 28sq. **15** v. Hammerstaedt, Die Orakelkritik des Kynikers Oenomaus p. 42 **15–16** v. Hammerstaedt, Die Orakelkritik des Kynikers Oenomaus p. 41

2 αὐτῷ V: -ῶν Cobet (articulo ante συνήθεια deleto): οὕτω Hertlein in app. **5** (προσ)ήκει supra προσέχει scripsit V ‖ **8** μήτοι V, lacuna in U (μή ante ἐξαπατάτω deesse videbatur Petavio): μήτι Cobet ‖ **9** σοι διηγήσομαι legebat Spanheim in V (nihil nisi ...καὶ ante νῦν in U): oblocutus est Cobet, qui διαλέξομαι (sine σοι) proposuit ‖ **11** Κυνισμοῦ Petavius (in margine): κυνισ... V: κυνίσκου U ‖ **15** ἐπέγνως ἂν Reiske: ἐπιγνώσῃ V

ἡγεμὼν δικαιοσύνης –, ἆρ' οὐκ ἔστι βαράθρου τὸ πρᾶγμα ἄξιον; Ἆρ' οὐ τοὺς ταῦτα ἐπαινοῦντας ὥσπερ τοὺς φαρμακοὺς ἐχρῆν οὐ θύσθλοις παιομένους ἐλαύνεσθαι – κουφοτέρα γάρ ἐστι τῶν ἀδικημάτων ἡ ζημία –, λίθοις δὲ βαλλομένους ἀπολωλέναι; Διαφέρουσι
5 γὰρ οὗτοι τί – πρὸς τῶν θεῶν εἰπέ μοι – τῶν ἐπ' ἐρημίας | 210A ληστευόντων καὶ κατειληφότων τὰς ἀκτὰς ἐπὶ τῷ λυμαίνεσθαι τοῖς καταπλέουσι; Καταφρονοῦντες θανάτου, φασίν· ὥσπερ οὐ κἀκείνοις συνομαρτούσης ταυτησὶ τῆς ἀπονοίας.

Φησὶ γοῦν ὁ καθ' ὑμᾶς μὲν ποιητὴς καὶ μυθολόγος, ὡς δὲ ὁ
10 Πύθιος λησταῖς χρωμένοις ἀνεῖλεν, ἥρως καὶ δαίμων, ὑπὲρ τῶν ληϊζομένων τὴν θάλατταν

„Οἷά τε ληϊστῆρες, ὑπεὶρ ἅλα τοί τ' ἀλόωνται |
Ψυχὰς παρθέμενοι“. B

Τί οὖν ἔτι ἕτερον ζητεῖς ὑπὲρ τῆς ἀπονοίας τῶν ληστῶν
15 μάρτυρα; Πλὴν εἰ μὴ καὶ ἀνδρειοτέρους ἂν εἴποι τις τῶν τοιούτων κυνῶν ἐκείνους τοὺς λῃστάς, ἰταμωτέρους δὲ τῶν ληστῶν ἐκείνων τοὺς κύνας τουτουσί. Οἱ μὲν γὰρ συνειδότες αὑτοῖς οὕτω μοχθηρὸν τὸν βίον οὐ μᾶλλον διὰ τὸ τοῦ θανάτου δέος ἢ τὴν αἰσχύνην τὰς ἐρημίας προβάλλονται, οἱ δ' ἀναπατοῦσιν ἐν τῷ μέσῳ, τὰ κοινὰ | C
20 νόμιμα συγχέοντες οὐχὶ τῷ κρείττονα καὶ καθαρωτέραν, ἀλλὰ τῷ χείρονα καὶ βδελυρωτέραν ἐπεισάγειν πολιτείαν. {Αἰδημονέστεροι νῦν οἱ πολλοὶ τούτων γεγόνασιν ἱκανῶς, ἴσως τινὲς αὐτῶν ἰταμευσάμενοι τὰ πρῶτα.}

9–10 ὁ[2]…ἀνεῖλεν Parke / Wormell, The Delphic Oracle II nr. 320 **12–13** Hom. γ 73s. = ι 254s. ‖ **19** fort. conferendum Phot. α 1851 = Suda α 2288 = Synag. Lex. chrês. cod. B α 1294 (ἀνεπάτησας· ἀντὶ τοῦ κατεπάτησας)

3 παιομένους Cobet: πολεμου- V ‖ **7–8** οὐ κἀκείνοις Hertlein (post Horkel, qui οὐ καὶ ἐκ- coniecit): οὐκ ἐκείνοις V ‖ **12** ὑπεὶρ ἅλα τοί vix legi possunt in V: lacuna 12 fere litterarum in U ‖ **15** de particula ἂν in μὲν mutanda (vel delenda) cog. Klimek ‖ **16** κυνῶν Spanheim: ...ῶν V, lacuna in U **17** αὑτοῖς Petavius: αὐ- V ‖ **19** ἀναπατοῦσιν V: ἀνα⟨στρέφονται καὶ περι⟩πατοῦσιν Cobet: fortasse ἀποπ- ‖ **21** αἰδημονέστεροι Petavius: ἀειδ- V ‖ **21–23** Αἰδημονέστεροι — πρῶτα secl. Hertlein (def. Klimek, qui εἰ καὶ ante αἰδημονέστεροι addere vult) ‖ **22–23** ἰταμευσάμενοι Petavius: ἰταμιευ- V

[6] Τὰς ἀναφερομένας δὲ εἰς τὸν Διογένη τραγῳδίας, οὔσας μὲν καὶ ὁμολογουμένας Κυνικοῦ τινος συγγράμματα, ἀμφισβη-
D τουμένας δὲ κατὰ τοῦτο μόνον, εἴτε τοῦ διδασκάλου, τοῦ | Διογένους, εἰσίν, εἴτε τοῦ μαθητοῦ Φιλίσκου, τίς ⟨οὐκ⟩ ἐπελθὼν βδελύξαιτο καὶ νομίσαιτο ὑπερβολὴν ἀρρητουργίας ἑτέροις μὴ ἀπολε- 5
λεῖφθαι; Ταῖς Οἰνομάου δὲ ἐντυχών – ἔγραψε γὰρ καὶ τραγῳδίας τοῖς λόγοις τοῖς ἑαυτοῦ παραπλησίας, ἀρρήτων ἀρρητότερα καὶ κακῶν πέρα – ⟨***⟩ καὶ οὔτε ὅτι φῶ περὶ αὐτῶν ἀξίως ἔχω, κἂν
211A τὰ Μαγνήτων κακά, κἂν τὸ Τερμέριον, | κἂν πᾶσαν ἁπλῶς αὐτοῖς ἐπιφθέγξωμαι τὴν τραγῳδίαν μετὰ τοῦ σατύρου καὶ τῆς 10
κωμῳδίας καὶ τοῦ μίμου· οὕτω πᾶσα μὲν αἰσχρότης, πᾶσα δὲ ἀπόνοια πρὸς ὑπερβολὴν ἐν ἐκείνοις τῷ ἀνδρὶ πεφιλοτέχνηται.

Καὶ εἰ μὲν ἐκ τούτων τις ἀξιοῖ τὸν Κυνισμὸν ὁποῖός τις ἐστὶν ἡμῖν ἐπιδεῖξαι, βλασφημῶν τοὺς θεούς, ὑλακτῶν πρὸς ἅπαντας, ὅπερ ἔφην ἀρχόμενος, ἴτω, χαιρέτω, γῆν πρὸ γῆς, ὅποι βούλοιτο· 15
B [7] εἰ δ', | ὅπερ ὁ θεὸς ἔφη Διογένει, „τὸ νόμισμα παραχαράξας“

1 TrGF 88 T 3 ‖ **4** TrGF 89 T 2 ‖ **6** TrGF 188 T 1; v. Hammerstaedt, Die Orakelkritik des Kynikers Oenomaus p. 29. 50. 52 ‖ **9** cf. Archil. fr. 20 West; Apost. XVI 8; Suda τ 53 | cf. Philod. Anth. Pal. XI 30,4; Plut. Thes. 11,3; Luc. Lexiphan. 11; Zenob. vulg. VI 6; Hesych. τ 535, Suda τ 348

4–6 Suda α 3860 (τίς οὖν οὐ μισήσειεν ὑπερβολὴν ἀρρητουργίας ἑτέροις μὴ ἀπολελεῖφθαι) ‖ **7–8** Suda α 3860 (ἀρρήτων ἀρρητότερον καὶ κακῶν πέρα γεγραφὼς ἢ καὶ πεπραχώς), Suda π 1029 (ἀρρήτων ἀρρητότερα καὶ κακῶν πέρα) ‖ **8–12** Suda μ 24 (καὶ οὔτε τί φῶ περὶ αὐτοῦ ἀξίως ἔχω, κἂν τὰ Μαγνητῶν κακά, κἂν τὸ Τερμέριον, κἂν πᾶσαν ἁπλῶς αὐτῶν [cod. A: αὐτὸς codd. GVM] ἐπιφθέγξωμαι τὴν τραγῳδίαν μετὰ τοῦ σατύρου καὶ τῆς κωμῳδίας καὶ τοῦ μίμου, οὕτω πᾶσα μὲν αἰσχρότης, πᾶσα δὲ ἀπόνοια πρὸς ὑπερβολὴν ἐπ' ἐκείνοις τῷ ἀνδρὶ πεφιλοτέχνηται)

2 καὶ ὁμολογουμένας V: -μένως Cobet (deleto καί) ‖ **4** Φιλίσκου Cobet: -στου V | οὐκ inseruit Boulenger[1], Sudam secutus (οὐκ ἂν iam Cobet): spatium erasum in V, lacuna in U ‖ **5** νομίσαιτο V (de voce media pro activa adhibita v. Boulenger[1] p. 12): νομίσαι Reiske: νομίσειεν (cf. οὖν οὐ μισήσειεν Suda) Hertlein | ἑτέροις μὴ Suda: οὐδὲ ταῖς ἑτέραις V: οὐδὲ ταῖς ἑταίραις Cobet ‖ **8** inter πέρα et καὶ lacunam statui (cf. Suda α 3860) | οὔτε ὅτι V: οὔτε τί Suda: οὐκέθ' ὅτι Reiske (οὔτε solitarium Iulianus etiam alibi pro οὐδὲ adhibet, v. praef. XXVs.) ‖ **9** Μαγνήτων Hertlein: -ιτῶν V: -ητῶν Suda **10** αὐτοῖς V: -ῶν Suda A: -ὸς Suda GVM ‖ **12** ἐν ἐκείνοις V: ἐπ' ἐκ. Suda: ἐν ἐκείναις Küster (at tum antecedens αὐτοῖς duabus lineis supra in αὐταῖς mutandum) ‖ **15** χαιρέτω V: χωρείτω Hertlein

ἐπὶ τὴν πρὸ ταύτης εἰρημένην ὑπὸ τοῦ θεοῦ συμβουλὴν τρέποιτο, τὸ „Γνῶθι σαυτόν", ὅπερ ζηλώσαντες ἐπὶ τῶν ἔργων Διογένης καὶ Κράτης φαίνονται, τοῦτο ἤδη τοῦ παντὸς ἄξιον ἔγωγε φαίην ἂν ἀνδρὶ καὶ στρατηγεῖν καὶ φιλοσοφεῖν ἐθέλοντι.

5 Τί δὲ εἶπεν ὁ θεός, ἆρ' ἴσμεν; Ὅτι τῆς τῶν πολλῶν αὐτῷ δόξης ἐπέταξεν ὑπερορᾶν καὶ παραχαράττειν οὐ τὴν ἀλή|θειαν, C ἀλλὰ τὸ νόμισμα. Τὸ δὲ „Γνῶθι σαυτὸν" ἐν ποτέρᾳ θησόμεθα μοίρᾳ; Πότερον ἐν τῇ τοῦ νομίσματος; Ἢ τοῦτό γε αὐτὸ τῆς ἀληθείας εἶναι κεφάλαιον θήσομεν καὶ τρόπον εἰρῆσθαι τοῦ 10 „Παραχάραξον τὸ νόμισμα" διὰ τῆς τοῦ „Γνῶθι σαυτὸν" ἀποφάσεως; Ὥσπερ γὰρ ὁ τὰ νομιζόμενα παντάπασιν ἀτιμάσας, ἐπ' αὐτὴν δὲ ἥκων τὴν ἀλήθειαν οὐθ' ὑπὲρ ἑαυτοῦ τοῖς νομιζομένοις, ἀλλὰ τοῖς ὄντως οὖσι θήσεται, οὕτως οἶμαι καὶ ὁ | γνοὺς ἑαυτὸν D ὅπερ ἔστιν ἀκριβῶς εἴσεται καὶ οὐχ ὅπερ νομίζεται.

15 Πότερον οὖν οὐχ ὁ Πύθιος ἀληθής τέ ἐστι θεός, καὶ Διογένης τοῦτο ἐπέπειστο σαφῶς, ὅς γε αὐτῷ πεισθεὶς ἀντὶ φυγάδος ἀπεδείχθη οὐ τοῦ Περσῶν βασιλέως μείζων, ἀλλ', ὡς ἡ φήμη παρέδωκεν, αὐτῷ τῷ καταλύσαντι τὸ Περσῶν κράτος καὶ ταῖς Ἡρακλέος ἁμιλλωμένῳ πράξεσιν, ὑπερβάλλεσθαι δὲ τὸν Ἀχιλλέα 20 φιλοτιμουμένῳ ζηλωτός;

[8] Οὗτος οὖν ὁ Διογένης ὁποῖός τις ἦν τά τε πρὸς τοὺς | θεοὺς 212A καὶ τὰ πρὸς ἀνθρώπους, μὴ διὰ τῶν Οἰνομάου λόγων μηδὲ τῶν Φιλίσκου τραγῳδιῶν, αἷς ἐπιγράψας τὸ Διογένους ὄνομα τῆς θείας πολλά ποτε κατεψεύσατο κεφαλῆς, ἀλλὰ δι' ὧν ἔδρασεν 25 ἔργων ὁποῖός τις ἦν γνωριζέσθω.

5–7 Suda γ 334 (τῆς τῶν πολλῶν δόξης ὑπερόρα καὶ παραχάραττε μὴ τὴν ἀλήθειαν, ἀλλὰ τὸ νόμισμα)

9–10 τοῦ παραχάραξον Hertlein (post Cobet, qui τοῦ παραχαράξαι coni.): τὸ παραχαράξον (sic) V (accentum corr. Petavius) ‖ **10** τὸ νόμισμα U: τὸ evanidum in V | verba διὰ τῆς τοῦ γνῶθι non bene legi possunt in V, sed leguntur in V² et U: διὰ τῆς γνῶθι Cobet ‖ **10–11** ἀποφάσεως V: -φάνσεως Cobet ‖ **13** ὄντως V² et U: spatium macula obrutum in V ‖ **16** ὅς γε Reiske: ὅς τε V: ὅστις dubitanter Petavius (in mg.) ‖ **17** fortasse οὐ … ⟨μόνον⟩ μείζων legendum ‖ **18** τῷ bis V (et U): corr. Petavius ‖ **19** ὑπερβάλλεσθαι Petavius: -βάλεσθαι V: -βαλέσθαι U ‖ **23** Φιλίσκου Hertlein: -στου V

Ἦλθεν εἰς Ὀλυμπίαν ἐπὶ τί πρὸς Διός; Ἵνα τοὺς ἀγωνιστὰς θεάσηται; Τί δέ; Οὐχὶ {δὲ} καὶ Ἰσθμίοις τοὺς αὐτοὺς καὶ Παναθηναίοις θεάσασθαι δίχα πραγμάτων οἷόν τε ἦν; Ἀλλὰ ἐθέλων ἐκεῖ
B τοῖς κρατίστοις συγγενέσθαι τῶν Ἑλλήνων; | Οὐ γὰρ Ἰσθμόνδε ἐφοίτων; Οὐκ ἂν οὖν εὕροις ἄλλην αἰτίαν ἢ τὴν εἰς τὸν θεὸν 5 θεραπείαν. Εἰ δ' οὐκ ἐξεπλάγη τὸν κεραυνόν, οὐδὲ ἐγὼ νὴ τοὺς θεοὺς πολλῶν πολλάκις πειραθεὶς διοσημειῶν ἐξεπλάγην· ἀλλ' ὅμως οὕτω δή τι τοὺς θεοὺς πέφρικα καὶ φιλῶ καὶ σέβω καὶ ἅζομαι καὶ πάνθ' ἁπλῶς τὰ τοιαῦτα πρὸς αὐτοὺς πάσχω, ὅσαπερ ἄν τις καὶ οἷα πρὸς ἀγαθοὺς δεσπότας, πρὸς διδασκάλους, πρὸς 10
C πατέρας, πρὸς | κηδεμόνας, πρὸς πάντα ἁπλῶς τὰ τοιαῦτα, ὥστε ὀλίγου δεῖν ὑπὸ τῶν σῶν ῥημάτων πρώην ἐξανέστην.

Τοῦτο μὲν οὖν οὐκ οἶδ' ὅντινα τρόπον ἐπελθόν, ἴσως σιωπᾶσθαι δέον, ἐρρέθη· Διογένης δὲ καὶ πένης ὢν καὶ χρημάτων ἐνδεὴς εἰς Ὀλυμπίαν ἐβάδιζεν, Ἀλέξανδρον δὲ ἥκειν ἐκέλευε παρ' ἑαυτόν, 15
D εἴ τῳ πιστὸς ὁ Δίων. Οὕτω πρέπειν ἐνόμιζεν ἑαυτῷ μὲν φοιτᾶν | ἐπὶ τὰ ἱερὰ τῶν θεῶν, τῷ βασιλικωτάτῳ δὲ τῶν καθ' ἑαυτὸν ἐπὶ τὴν ἑαυτοῦ συνουσίαν. Ἃ δὲ πρὸς Ἀρχίδαμον γέγραφεν, οὐ βασιλικαὶ παραινέσεις εἰσίν; Οὐ μόνον δὲ ἐν τοῖς λόγοις ἦν ὁ Διογένης θεοσεβής, ἀλλὰ γὰρ καὶ ἐν τοῖς ἔργοις· ἑλόμενον γὰρ 20 αὐτὸν οἰκεῖν τὰς Ἀθήνας, ἐπειδὴ τὸ δαιμόνιον εἰς τὴν Κόρινθον
213A ἀπήγαγεν, ἀφεθεὶς ὑπὸ τοῦ πριαμένου | τὴν πόλιν οὐκέτ' ᾠήθη δεῖν ἐκλιπεῖν· ἐπέπειστο γὰρ αὐτοῦ τοῖς θεοῖς μέλειν εἴς τε τὴν Κόρινθον οὐ μάτην οὐδὲ κατά τινα συντυχίαν, τρόπον δέ τινα ὑπὸ τῶν θεῶν εἰσπεπέμφθαι, ὁρῶν τὴν πόλιν τρυφῶσαν τῶν Ἀθηναίων 25 μᾶλλον καὶ δεομένην μείζονος καὶ γενναιοτέρου σωφρονιστοῦ.

[9] Τί δέ; Οὐχὶ καὶ τοῦ Κράτητος μουσικὰ καὶ χαρίεντα φέρεται πολλά, δείγματα τῆς πρὸς τοὺς θεοὺς ὁσιότητός τε καὶ

2 δὲ del. Reiske: fortasse δὴ legendum ‖ **7** διοσημειῶν V: -μιῶν Wright **14** ἐρρέθη Petavius: ἐρέθη V ‖ **15** δὲ ἥκειν V: δὲ καὶ ἥκειν Petavius ‖ **16** τῳ πιστὸς aegre legitur in V (lacuna in U): τῷ *** Petavius | οὕτω V: οὗτος U (οὕτως dubitanter Petavius) ‖ **18** Ἀρχίδαμον aegre legitur in V, lacuna in U: Ἀλέξανδρον Spanheim ‖ **20** γὰρ[1] del. Cobet (sed v. Hertlein, Hermes 3, 1869, 309)

εὐλαβείας; Ἄκουε γοῦν αὐτὰ παρ' | ἡμῶν, εἴ σοι μὴ σχολὴ γέγονε B
μαθεῖν ἐξ ἐκείνων αὐτά·

„Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
5 χόρτον ἐμῇ συνεχῇ δότε γαστέρι, καὶ δότε χωρίς
δουλοσύνης ἣ δὴ λιτὸν ἔθηκε βίον.
....
Ὠφέλιμον δὲ φίλοις, μὴ γλυκε|ρὸν τίθετε. C
Χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτά, κανθάρου
10 ὄλβον,
μύρμηκός τ' ἄφενος χρήματα μαιόμενος,
ἀλλὰ δικαιοσύνης μετέχειν καὶ πλοῦτον †ἀσινῆ
εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν.
Τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ' ἁγνάς, |
15 οὐ δαπάναις τρυφεραῖς, ἀλλ' ἀρεταῖς ὁσίαις." D

ὁρᾷς ὅτι τοὺς θεοὺς εὐφημῶν, οὐχὶ δὲ ὡς σὺ βλασφημῶν κατ' αὐτῶν ηὔχετο; Πόσαι γὰρ ἑκατόμβαι τῆς ὁσίας εἰσὶν ἀντάξιαι, ἣν καὶ ὁ δαιμόνιος Εὐριπίδης ὀρθῶς ὕμνησεν εἰπὼν

„Ὁσία πότνια θεῶν, Ὁσία";

20 Ἢ τοῦτό σε λέληθεν ὅτι πάντα, καὶ τὰ μεγάλα καὶ ⟨τὰ⟩ σμικρά, μετὰ τῆς ὁσίας τοῖς θεοῖς προσαγόμενα τὴν ἴσην ἔχει | δύναμιν, 214A ἐστερημένη δὲ τῆς ὁσίας οὐχ ἑκατόμβη, νὴ θεούς, ἀλλὰ ἡ τῆς Ὀλυμπιάδος χιλιόμβη ἀνάλωμα μόνον ἐστίν, ἄλλο δὲ οὐδέν;

2–15 Μνημοσύνης — ὁσίαις Crates SH 359, qui versus etiam citantur ab Iuliano, C. Cyn. 17 infra p. 102,5-17 (199D – 200A) ‖ **19** Eur. Bacch. 370s.

1 γέγονεν V ‖ **5** ἐμῇ συνεχῇ V: ἀεὶ συνεχῶς 199D | καὶ δότε χωρίς V: ἥτε μοι αἰεὶ 199D ‖ **6** δουλοσύνης ἣ δή V: χωρὶς δουλοσύνης 199D ‖ **10** ὄλβον V: οἶτον 199D ‖ **11** χρήματα hic et 200A: κτήματα Diels ‖ **12** ἀσινῆ (mendum metricum, pace Livrea, Gnomon 1985, 594) V: ἀγινεῖν 200A (Petavius: ἀγιεῖν U): ἀγείρειν Cobet ‖ **14** ἁγνάς hic et 200A: ἁγνῶς Wilamowitz ‖ **17** πόσαι Cobet: πᾶσαι V | εἰσὶν V: ⟨οὐκ⟩ εἰσὶν Petavius in mg. (post πᾶσαι initio sententiae) ‖ **19** πότνια V: πότνα Reiske ex Eur. Bacch. 370 ‖ **20** τὰ² τὰ add. Reiske ‖ **21** θεοῖς supra ἀνθρώποις scripsit V

Ὅπερ οἶμαι διδάσκων ὁ Κράτης αὐτός τε διὰ μόνης ἧς εἶχεν ὁσίας τοὺς θεοὺς ἐτίμα σὺν εὐφημίᾳ καὶ τοὺς ἄλλους ἐδίδασκε μὴ τὰ δαπανήματα τῆς ὁσίας, ἀλλὰ τὴν ὁσίαν ἐκείνων προτιμᾶν ἐν ταῖς ἁγιστείαις.

Τοιούτω δὲ τὼ ἄνδρε τώδε γενομένω τὰ πρὸς τοὺς θεοὺς οὐκ 5 ἀκροατήρια συνεκροτείτην οὐδ', ὥσπερ οἱ σοφοί, δι' εἰκόνων καὶ B μύθων τοῖς φίλοις συνεγιγνέσθην· | λέγεται γὰρ ὑπ' Εὐριπίδου καλῶς

„Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ"·

σκιαγραφίας γάρ φησι τὸν ψευδῆ καὶ ἄδικον δεῖσθαι. Τίς οὖν 10 ὁ τρόπος αὐτοῖς τῆς συνουσίας ἐγίνετο; Τῶν λόγων ἡγεῖτο τὰ ἔργα, καὶ οἱ τὴν πενίαν τιμῶντες αὐτοὶ πρῶτοι ἐφαίνοντο καὶ τῶν πατρῴων χρημάτων ὑπεριδόντες, οἱ τὴν ἀτυφίαν ἀσπασάμενοι πρῶτοι τὴν εὐτέλειαν ἤσκουν διὰ πάντων, οἱ τὸ τραγικὸν καὶ C σοβαρὸν ἐκ τῶν | ἀλλοτρίων ἐξαιροῦντες βίων ᾤκουν αὐτοὶ πρῶτοι 15 τὰς ἀγορὰς ἢ τὰ τῶν θεῶν τεμένη· τῇ τρυφῇ δὲ καὶ πρὸ τῶν ῥημάτων διὰ τῶν ἔργων ἐπολέμουν, ἔργοις ἐλέγχοντες οὐ λόγῳ βοῶντες ὅτι τῷ Διὶ συμβασιλεύειν ἔξεστιν οὐδενὸς ἢ σμικρῶν πάνυ δεόμενον οὐδὲ παρενοχλούμενον ὑπὸ τοῦ σώματος· ἐπετίμων δὲ τοῖς ἁμαρτάνουσιν ἡνίκα ἔζων οἱ πταίσαντες, οὐκ ἀποθανόντας 20 D ἐβλασφήμουν ἡνίκα καὶ τῶν ἐχθρῶν | οἱ μετριώτατοι σπένδονται τοῖς ἀπελθοῦσιν. Ἔχει δὲ ὅ γε ἀληθινὸς κύων ἐχθρὸν οὐδένα, κἂν τὸ σωμάτιον αὐτοῦ τις πατάξῃ, κἂν τοὔνομα περιέλκῃ, κἂν λοιδορῆται καὶ βλασφημῇ, διότι τὸ μὲν τῆς ἔχθρας γίνεται πρὸς 215A ἀντίπαλον, τὸ δὲ ὑπερβαῖνον τὴν πρὸς ἕτερον ἅμιλλαν εὐνοίᾳ | 25 τιμᾶσθαι φιλεῖ· κἄν τις ἑτέρως ἔχῃ πρὸς αὐτόν, καθάπερ οἶμαι πολλοὶ πρὸς τοὺς θεούς, ἐκείνῳ μὲν οὐκ ἔστιν ἐχθρός, οὐδὲ γὰρ βλαβερός, αὐτὸς δὲ αὑτῷ βαρύτατον ἐπιθεὶς τίμημα, τὴν τοῦ κρείττονος ἄγνοιαν, ἔρημος λείπεται τῆς ἐκείνου προστασίας.

9 Eur. Phoen. 469

6 συνεκροτείτην Cobet (-εῖτον iam Reiske): -εῖτο V | σοφοί V: fortasse σοφισταί ‖ **7** συνεγιγνέσθην Cobet: -σθον V ‖ **11** αὐτοῖς V: -ῆς U **12** πρῶτοι Reiske: -ον V ‖ **20** πταίσαντες V: παίσ- U (corr. Petavius in mg.) ‖ **21** μετριώτατοι V: -τεροι Hertlein, fortasse recte ‖ **26** ἑτέρως V: ἐχθρῶς Asmus[1] (qui proxima linea ἐκεῖνος pro ἐκείνῳ legere vult)

[10] Ἀλλ' εἰ μὲν νῦν μοι προὔκειτο περὶ Κυνισμοῦ γράφειν, εἶπον ἂν ὑπὲρ τούτων ἔτι τὰ παριστάμενά μοι τῶν εἰρη|μένων B ἴσως οὐκ ἐλάττω· νῦν δέ, ἀποδιδόντες τὸ συνεχὲς τῇ προαιρέσει, περὶ τοῦ ποδαποὺς εἶναι χρὴ τοὺς πλαττομένους τὸν μῦθον ἐφεξῆς 5 σκοπῶμεν.

Ἴσως δὲ ἡγεῖται καὶ ταύτης τῆς ἐγχειρήσεως ἐκείνη, ὁποίᾳ τινὶ φιλοσοφίᾳ προσήκει ἡ μυθογραφία· φαίνονται γὰρ πολλοὶ καὶ τῶν φιλοσόφων αὐτὸ καὶ τῶν θεολόγων ποιήσαντες, ὥσπερ Ὀρφεὺς μὲν ὁ παλαιότατος ἐνθέως φιλοσοφήσας, οὐκ ὀλίγοι | δὲ C 10 καὶ τῶν μετ' ἐκεῖνον. Οὐ μὴν ἀλλὰ καὶ Ξενοφῶν φαίνεται καὶ Ἀντισθένης καὶ Πλάτων προσχρησάμενοι πολλαχοῦ τοῖς μύθοις, ὥσθ' ἡμῖν πέφηνεν, καὶ εἰ μὴ τῷ Κυνικῷ, φιλοσόφῳ γοῦν τινι προσήκειν ἡ μυθογραφία· μικρὰ οὖν ὑπὲρ τῶν τῆς φιλοσοφίας εἴτε μορίων εἴτε ὀργάνων ⟨ῥητέον⟩. Ἔστι γὰρ οὐ μέγα τὸ διαφέρον 15 ὁποτέρως ἄν τις τῷ πρακτικῷ ἢ τῷ φυσικῷ τὸ λογικὸν προσαριθμῇ· ἀναγκαῖον γὰρ ὁμοίως φαίνεται κατ' ἀμφότερα.

⟨Τῶν⟩ τρι|ῶν δὴ τούτων αὖθις ἕκαστον εἰς τρία τέμνεται, τὸ D μὲν φυσικὸν εἰς τὸ θεολογικὸν καὶ τὸ περὶ τὰ μαθήματα καὶ τρίτον τὸ περὶ τὴν τῶν γινομένων καὶ ἀπολλυμένων καὶ τῶν 20 ἀιδίων μὲν σωμάτων δὲ ὅμως θεωρίαν, τί τὸ εἶναι αὐτοῖς καὶ τίς ἡ οὐσία ἑκάστου· τοῦ πρακτικοῦ δὲ τὸ μὲν πρὸς ἕνα ἄνδρα, ἠθικόν, οἰκονομικὸν δὲ τὸ περὶ μίαν οἰκίαν, πολιτικὸν δὲ τὸ περὶ πόλιν· ἔτι μέντοι τοῦ λογικοῦ τὸ μὲν ἀποδεικτικὸν | διὰ τῶν ἀληθῶν, τὸ 216A δὲ διὰ τῶν ἐνδόξων βιαστικόν, τὸ δὲ διὰ τῶν φαινομένων ἐνδόξων 25 παραλογιστικόν.

3 τὸ συνεχὲς τῇ προαιρέσει U: τῇ πρ. τὸ σ. V, sed „scriba suprascriptis notis numeralibus β, α correxit errorem“ (Cobet) ‖ **4** τὸν μῦθον V: τῶν -ων Hertlein 1850 et ed. ‖ **7** προσήκει Cobet: -ῆκεν V: -ῆκον Hertlein ‖ **9** οὐκ aegre legitur in V, lacuna in U ‖ **14** ῥητέον hoc loco inseruit Rochefort (post μορίων iam Boulenger[2], p. 42): προρρητέον vel προεξηγητέον („vel simile quid“) Reiske, de προσθετέον cog. Guido (coll. Epist. 198 p. 226,8 Bidez: μικρὰ προσθεῖναι χρή): plura excidisse putavit Asmus[4] ‖ **15** τῷ πρακτικῷ Hertlein (in app.; cf. infra l. 21): τῷ τε ἠθικῷ V | ἢ Boulenger[2], p. 43 (sed iam „or“ in transl. Anglica Wright): καί V ‖ **17** τῶν inseruit Boulenger[2], p. 43 ‖ **19** τρίτον τὸ Hertlein (τὸ τρίτον, τὸ iam Reiske): τὸ τρίτον V ‖ **20** post εἶναι deesse putat καθόλου aut πᾶσιν Reiske, κοινῇ mavult Boulenger[2], p. 43 ‖ **23** μέντοι V: μέν Petavius

Ὄντων δὴ τοσούτων τῶν τῆς φιλοσοφίας μερῶν, εἰ μή τι με λέληθε – καὶ οὐδὲν θαυμαστὸν ἄνδρα στρατιώτην μὴ λίαν ἐξακριβοῦν μηδ' ἐξονυχίζειν τὰ τοιαῦτα, ἅτε οὐκ ἐκ βιβλίων ἀσκήσεως, ἀπὸ δὲ τῆς προστυχούσης αὐτὰ ἕξεως ἀποφθεγγόμενον· ἔσεσθε γοῦν μοι καὶ ὑμεῖς μάρτυρες, εἰ τὰς ἡμέρας λογίσεσθε πόσαι καὶ 5
B τίνες εἰσὶν αἱ μεταξὺ ταύτης | τε καὶ τῆς ἔναγχος ἡμῖν γενομένης ἀκροάσεως ὅσων τε ἡμῖν ἀσχολιῶν πλήρεις· ἀλλ', ὅπερ ἔφην, εἰ καί τι παραλέλειπται παρ' ἐμοῦ, καίτοι νομίζω γε μηδὲν ἐνδεῖν, πλὴν ὁ προστιθεὶς *οὐκ ἐχθρός, ἀλλὰ φίλος* ἔσται – **[11]** τούτων δὴ τῶν μερῶν οὔτε τῷ λογικῷ προσήκει τῆς μυθογραφίας οὔτε τοῦ 10 φυσικοῦ τῷ μαθηματικῷ, μόνον δέ, εἴπερ ἄρα, τοῦ πρακτικοῦ τῷ
C πρὸς ἕνα γινομένῳ καὶ τοῦ θεολογικοῦ τῷ τελεστι|κῷ καὶ μυστικῷ· „φιλεῖ γὰρ ἡ φύσις κρύπτεσθαι", καὶ τὸ ἀποκεκρυμμένον τῆς τῶν θεῶν οὐσίας οὐκ ἀνέχεται γυμνοῖς εἰς ἀκαθάρτους ἀκοὰς ῥίπτεσθαι ῥήμασιν. Ὅπερ δὲ δὴ τῶν χαρακτήρων ἡ ἀπόρ- 15 ρητος φύσις ὠφελεῖν πέφυκε καὶ ἀγνοουμένη· θεραπεύει γοῦν οὐ ψυχὰς μόνον, ἀλλὰ καὶ σώματα, καὶ θεῶν ποιεῖ παρουσίας. Τοῦτ' οἶμαι πολλάκις γίγνεσθαι καὶ διὰ τῶν μύθων, ὅταν εἰς τὰς τῶν
D πολλῶν ἀκοὰς οὐ δυνα⟨μένας⟩ τὰ θεῖα | καθαρῶς δέξασθαι δι' αἰνιγμάτων αὐτὰ μετὰ τῆς μύθων σκηνοποιίας ἐγχέηται. 20

Φανεροῦ δὲ ἤδη γενομένου τίνι καὶ ποίῳ φιλοσοφίας εἴδει καὶ μυθογραφεῖν ἔσθ' ὅτε ⟨***⟩ πρὸς γὰρ τῷ λόγῳ μαρτυρεῖ τούτοις ἡ τῶν προλαβόντων ἀνδρῶν προαίρεσις, ἐπεὶ καὶ Πλάτωνι πολλὰ

9 cf. Plat. Tim. 54a5: οὐκ ἐχθρὸς ὢν ἀλλὰ φίλος κρατεῖ ‖ **13** Heraclit. VS 22 B 123: φύσις δὲ καθ' Ἡράκλειτον κρύπτεσθαι φιλεῖ

13–15 Socr. Const. Hist. Eccl. III 23,35 (Φιλεῖ γὰρ ἡ φύσις κρύπτεσθαι· καὶ τὸ κεκρυμμένον τῆς τῶν θεῶν οὐσίας οὐκ ἀνέχεται γυμνοῖς εἰς ἀκαθάρτους ἀκοὰς ῥίπτεσθαι ῥήμασι)

5 λογίσεσθε V: -σαισθε Cobet ‖ **5–6** πόσαι καὶ τίνες Guido: πόσαι τινές Hertlein ‖ **10–11** οὔτε^2…μαθηματικῷ sic Hertlein (in app.): οὔτε τῷ φυσικῷ οὔτε τῷ μαθ. V ‖ **13–14** ἀποκεκρυμμένον V: κεκρυμμένον Socr. Const. ‖ **19** δυνα⟨μένας⟩ Reiske: δυνα..... V (etiam U): δυνάμενα Petavius (in mg.) ‖ **20** αὐτὰ Reiske: -οῖς V ‖ **22** post ἔσθ' ὅτε lacunam indicavi (ut iam vet. vulg.): ⟨προσήκει⟩ suppl. Reiske, qui etiam apodosin deesse animadvertit; re vera plura intercidisse videntur (ad quid τούτοις referri possit, non apparet), cf. Asmus[4] ad loc. | μαρτυρεῖ vix legitur in V: μάρτυρι U (μαρτυρεῖ Petavius in mg.)

μεμυθολόγηται περὶ τῶν ἐν Ἅιδου πραγμάτων θεολογοῦντι καὶ
πρό γε τούτου τῷ τῆς Καλλιόπης· Ἀν|τισθένει δὲ καὶ Ξενοφῶντι 217A
καὶ αὐτῷ Πλάτωνι πραγματευομένοις ἠθικάς τινας ὑποθέσεις οὐ
παρέργως ἀλλὰ μετά τινος ἐμμελείας ἡ τῶν μύθων ἐγκαταμέμικ-
5 ται γραφή, οὓς ⟨σ'⟩ ἐχρῆν, εἴπερ ἐβούλου, μιμούμενον ἀντὶ μὲν
Ἡρακλέος μεταλαμβάνειν Περσέως ἢ Θησέως τινὸς ὄνομα καὶ
τὸν Ἀντισθένειον τύπον ἐγχαράττειν, ἀντὶ δὲ τῆς Προδίκου
σκηνοποιίας ἀμφὶ | τοῖν ἀμφοῖν τούτοιν θεοῖν ἑτέραν ὁμοίαν B
εἰσάγειν εἰς τὸ θέατρον.

10 **[12]** Ἐπεὶ δὲ καὶ τῶν τελεστικῶν μύθων ἐπεμνήσθην, φέρε νῦν
ὁποίους εἶναι χρὴ τοὺς ἑκατέρῳ τῶν μερῶν ἁρμόττοντας αὐτοὶ
καθ' ἑαυτοὺς ἰδεῖν πειραθῶμεν, οὐκέτι μαρτύρων παλαιῶν ἐν πᾶσι
προσδεόμενοι, ἑπόμενοι δὲ νέοις ἴχνεσιν ἀνδρὸς ὃν ἐγὼ μετὰ τοὺς
θεοὺς ἐξ ἴσης Ἀριστοτέλει καὶ Πλάτωνι *ἄγαμαι τέθηπά τε*. Φησὶ δὲ
15 οὐχ ὑπὲρ πάν|των οὗτος, ἀλλ' ὑπὲρ τῶν τελεστικῶν, οὓς παρέδω- C
κεν ἡμῖν Ὀρφεὺς ὁ τὰς ἁγιωτάτας τελετὰς καταστησάμενος.

Τὸ γὰρ ἐν τοῖς μύθοις ἀπεμφαῖνον αὐτῷ τούτῳ προοδοποιεῖ
πρὸς τὴν ἀλήθειαν· ὅσῳ γὰρ μᾶλλον παράδοξόν ἐστι καὶ τερατῶ-
δες τὸ αἴνιγμα, τοσούτῳ μᾶλλον ἔοικε διαμαρτύρεσθαι μὴ τοῖς
20 αὐτόθεν λεγομένοις πιστεύειν, ἀλλὰ τὰ λεληθότα περιεργάζεσθαι
καὶ μὴ πρότερον ἀφίστασθαι, πρὶν ἂν | ὑπὸ θεοῖς ἡγεμόσιν ἐκφανῆ D
γενόμενα τὸν ἐν ἡμῖν τελέσῃ, μᾶλλον δὲ τελειώσῃ, νοῦν καὶ εἰ δή
τι κρεῖττον ἡμῖν ὑπάρχει τοῦ νοῦ, αὐτοῦ τοῦ ἑνὸς καὶ τἀγαθοῦ
μοῖρά τις ὀλίγη τὸ πᾶν ἀμερίστως ἔχουσα, τῆς ψυχῆς πλήρωμα,
25 καὶ ἐν τῷ ἑνὶ καὶ ἀγαθῷ συνέχουσα πᾶσαν αὐτὴν διὰ τῆς ὑπερ-
εχούσης καὶ χωριστῆς αὐτοῦ καὶ ἐξῃρημένης παρουσίας. Ἀλλὰ
ταῦτα μὲν ἀμφὶ τὸν μέγαν Διόνυσον οὐκ οἶδ' ὅπως ἐπῆλθέ μοι

2 Kern, Orph. p. 304 (cap. 17) ‖ **13** Maximus Ephesius (cf. Rabe, Proleg. Syll. p. CXVIII) ‖ **14** Hom. ζ 168 (ἄγαμαί τε τέθηπά τε)

3 αὐτῷ V: αὐτῷ ⟨τῷ⟩ Guido: ταὐτῷ Boulenger[2], p. 44s. ‖ **5** ⟨σ'⟩ Hertlein μιμούμενον Hertlein: -ος V ‖ **8** ἀμφὶ τοῖν ἀμφοῖν τούτοιν V: ἀμφοῖν τούτοιν vet. vulg. ‖ **14** τε post ἄγαμαι add. Cobet, ex Hom. ζ 168 ‖ **20** λεγομένοις Reiske: γενομ- V: φαινομ- Lobeck, Aglaophamus p. 605 (sed praecedente ἄποθεν, non αὐτόθεν) ‖ **24** num τῆς ψυχῆς πλήρωμα cum τὸ πᾶν coniungendum? ‖ **26** χωριστῆς Petavius: χωρὶς τῆς aegre legitur in V αὐτοῦ U: αὐτ.. V

218A βακ|χεύοντι μανῆναι, *τὸν βοῦν δὲ ἐπιτίθημι τῇ γλώττῃ*· περὶ τῶν ἀρρήτων γὰρ οὐδὲν χρὴ λέγειν. Ἀλλά μοι θεοὶ μὲν ἐκείνων – καὶ ὑμῶν δὲ τοῖς πολλοῖς, ὅσοι τέως ἐστὲ τούτων ἀμύητοι – τὴν ὄνησιν δοῖεν.

[13] Ὑπὲρ δὲ ὧν εἰπεῖν τε καὶ ἀκοῦσαι θέμις καὶ ἀνεμέσητον 5 ἀμφοτέροις ἐστί, πᾶς λόγος ὁ προφερόμενος ἔκ τε λέξεως καὶ διανοίας σύγκειται. Οὐκοῦν ἐπειδὴ καὶ ὁ μῦθος λόγος τίς ἐστιν, B ἐκ δυοῖν τούτοιν συγκείσεται· σκο|πῶμεν δὲ ἑκάτερον αὐτῶν.

Ἔστιν ἁπλῆ τις ἐν λόγῳ παντὶ διάνοια, καὶ μέντοι καὶ κατὰ σχῆμα προάγεται, τὰ παραδείγματα δὲ ἀμφοῖν ἐστι πολλά. Τὸ 10 μὲν οὖν ἓν ἁπλοῦν ἐστι καὶ οὐδὲν δεῖται ποικιλίας, τὸ δ' ἐσχηματισμένον ἔχει διαφορὰς ἐν ἑαυτῷ πολλάς, ὧν, εἴ τί σοι τῆς ῥητορικῆς ἐμέλησεν, οὐκ ἀξύνετος εἶ.

Τούτων δὴ τῶν κατὰ διάνοιαν σχημάτων ἁρμόττει τῷ μύθῳ τὰ πλεῖστα, πλὴν ἔμοιγε οὐδ' ὑπὲρ τῶν πολλῶν οὐδ' ὑπὲρ τῶν 15 C ἁπάντων ἐστὶ τά γε νῦν ῥητέον, ἀλλ' ὑπὲρ δυοῖν, | τοῦ τε σεμνοῦ κατὰ τὴν διάνοιαν καὶ τοῦ ἀπεμφαίνοντος· τὰ δὲ αὐτὰ ταῦτα καὶ περὶ τὴν λέξιν γίνεται. Μορφοῦται γάρ πως καὶ σχηματίζεται παρὰ τῶν μὴ προφερομένων εἰκῇ μηδ' ὥσπερ χειμάρρους ἑλκόντων συρφετοὺς ῥημάτων ἐκ τῆς τριόδου. 20

Ἀλλὰ τοῖν δυοῖν τούτοιν, ὅταν μὲν ὑπὲρ τῶν θείων πλάττωμεν, σεμνὰ χρὴ πάνυ τὰ ῥήματα εἶναι καὶ τὴν λέξιν ὡς ἔνι μάλιστα σώφρονα καὶ καλὴν καὶ τοῖς θεοῖς πρεπωδεστάτην, τῶν D αἰσχρῶν δὲ μηθὲν | καὶ βλασφήμων ἢ δυσσεβῶν, ὅπως μὴ τῷ πλήθει τῆς τοιαύτης ἀρχηγοὶ θρασύτητος γενώμεθα, μᾶλλον δὲ 25 καὶ πρὸ τοῦ πλήθους αὐτοὶ τὸ περὶ τοὺς θεοὺς ἠσεβηκέναι προλάβωμεν. Οὐδὲν ⟨οὖν⟩ ἀπεμφαῖνον εἶναι χρὴ περὶ τὰς τοιαύτας λέξεις, ἀλλὰ σεμνὰ πάντα καὶ καλὰ καὶ μεγαλοπρεπῆ καὶ θεῖα 219A καὶ καθαρὰ καὶ τῆς τῶν θεῶν οὐσίας εἰς δύναμιν ἐστο|χασμένα. **[14]** Τὸ δὲ κατὰ τὴν διάνοιαν ἀπεμφαῖνον χρησίμου γιγνόμενον 30 χάριν ἐγκριτέον, ὡς ἂν μή τινος ὑπομνήσεως ἔξωθεν οἱ ἄνθρωποι δεόμενοι, ἀλλ' ὑπὸ τῶν ἐν αὐτῷ λεγομένων τῷ μύθῳ διδασκόμενοι

1 Zenob. vulg. II 70; cf. Theogn. 815, Aesch. Ag. 36s.

23 καὶ[2] Hertlein: εἶναι V: εἶναι ⟨καί⟩ Guido ‖ **27** οὖν add. Hertlein ‖ **30** τοῦ ante χρησίμου add. Reiske

τὸ λανθάνον μῶσθαι καὶ πολυπραγμονεῖν ὑφ' ἡγεμόσι τοῖς θεοῖς προθυμηθεῖεν.

Ἰδοὺ γὰρ ἔγωγε πολλῶν ἤκουσα λεγόντων ἄνθρωπον μὲν τὸν Διόνυσον, ἐπείπερ ἐκ Σεμέλης ἐγένετο, θεὸν δὲ διὰ θεουρ|γίας καὶ B
5 τελεστικῆς, ὥσπερ τὸν δεσπότην Ἡρακλέα διὰ τῆς βασιλικῆς ἀρετῆς, εἰς τὸν Ὄλυμπον ὑπὸ τοῦ πατρὸς ἀνῆχθαι τοῦ Διός. Ἀλλ', ὦ τάν, εἶπον, οὐ ξυνίετε τοῦ μύθου φανερῶς αἰνιττομένου· Ποῦ γὰρ ἡ γένεσίς ἐστιν ὥσπερ Ἡρακλέος, οὕτω δὴ καὶ Διονύσου, ἔχουσα μὲν τὸ κρεῖττον καὶ ὑπερέχον καὶ ἐξῃρημένον, ἐν τῷ
10 μετρίῳ δὲ ὅμως ἔτι τῆς ἀνθρωπίνης φύσεως μένουσα καί | πως C ἀφομοιουμένη πρὸς ἡμᾶς;

Ἡρακλῆς δὲ λέγεται παιδίον γενέσθαι καὶ κατὰ μικρὸν αὐτῷ τὸ σῶμα τὸ θεῖον ἐπιδοῦναι, καὶ φοιτῆσαι διδασκάλοις ἱστόρηται, καὶ στρατεύσασθαι λέγεται καὶ κρατῆσαι πάντων, καμεῖν δὲ ὅμως
15 κατὰ τὸ σῶμα. Καίτοι αὐτῷ ταῦτα μὲν ὑπῆρξε, μειζόνως δὲ ἢ κατ' ἄνθρωπον· ὅτε γὰρ ἐν τοῖς σπαργάνοις ἀποπνίγων τοὺς δράκοντας καὶ πρὸς αὐτὰ παραταττόμενος τὰ τῆς φύσεως στοιχεῖα, | θάλπη καὶ κρυμούς, εἶτα τοῖς ἀπορωτάτοις καὶ D ἀμαχωτάτοις, ἐνδείᾳ λέγω τροφῆς καὶ ἐρημίᾳ ⟨***⟩ καὶ τὴν δι'
20 αὐτοῦ πορείαν οἶμαι τοῦ πελάγους ἐπὶ τῆς χρυσῆς κύλικος· ἣν ἐγὼ νομίζω νὴ τοὺς θεοὺς οὐ κύλικα εἶναι, βαδίσαι δὲ αὐτὸν ὡς ἐπὶ ξηρᾶς τῆς θαλάττης νενόμικα – Τί γὰρ ἄπορον ἦν Ἡρακλεῖ; Τί δ' οὐχ ὑπήκουσεν αὐτοῦ τῷ θείῳ καὶ καθαρωτάτῳ σώματι, τῶν λεγομένων τούτων στοιχείων δουλευόντων αὐτοῦ τῇ δημιουργικῇ
25 καὶ τελεσιουργῷ τοῦ ἀ|χράντου καὶ καθαροῦ νοῦ δυνάμει; Ὃν ὁ 220A μέγας Ζεὺς διὰ τῆς Προνοίας Ἀθηνᾶς, ἐπιστήσας αὐτῷ φύλακα τὴν θεὸν ταύτην, ὅλην ἐξ ὅλου προέμενος αὐτοῦ, τῷ κόσμῳ σωτῆρα ἐφύτευσεν, εἶτ' ἐπανήγαγε διὰ τοῦ κεραυνίου πυρὸς πρὸς ἑαυτόν, ὑπὸ τῷ θείῳ συνθήματι τῆς αἰθερίας αὐγῆς ἥκειν παρ'

1 Suda μ 1346 (τὸ λανθάνον μῶσθαι, καὶ πολυπραγμονεῖν)

1 μῶσθαι V, Suda: μ…σθαι U (Petavius): μυοῦσθαι Spanheim ‖ **8** ποῦ Reiske: ὅπου V | δὴ Cobet: δὲ V ‖ **13** ἱστόρηται V: ἱστορεῖται Klimek ‖ **15** κατὰ Cobet: καὶ V ‖ **16** ὅτε V: ἅτε Rochefort (v. Latte, Gnomon 1964, 663) **19** „post ἐρημίᾳ plura excidisse suspicor" Klimek; iam Reiske „in hoc loco nonnulla aut corrupta aut mutila esse … annotavit" (Hertlein) ‖ **21** νὴ V: μὰ Hertlein (sed v. praef. XXV)

ἑαυτὸν τῷ παιδὶ κελεύσας. Ἀλλ' ὑπὲρ μὲν τούτων ἐμοί τε καὶ ὑμῖν ἵλεως Ἡρακλῆς εἴη.

B [15] Τὰ δὲ ὑπὲρ τῆς Διονύσου θρυλλουμένης μὲν γε|νέσεως, οὔσης δὲ οὐ γενέσεως, ἀλλὰ δαιμονίας ἐκφάνσεως, κατὰ τί τοῖς ἀνθρωπικοῖς προσέοικεν; Ἡ μήτηρ αὐτὸν κύουσα, φασίν, ὑπὸ τῆς 5 Ἥρας ζηλοτυπούσης ἐξαπατηθεῖσα τὸν ἐραστὴν ἐξελιπάρησεν ἥκειν, ὡς παρὰ τὴν γαμετὴν εἴωθε φοιτᾶν, πρὸς ἑαυτήν· εἶτα οὐκ ἀνασχόμενον τὸ σωμάτιον ἓν τῶν κτυπημάτων τοῦ Διὸς ὑπὸ τοῦ κεραυνοῦ κατεφλέγετο· πάντων δ' ὁμοῦ πυρουμένων Ἑρμῇ κελεύσας ὁ Ζεὺς ἁρπάσαι τὸν Διόνυσον καὶ τεμὼν τὸν αὑτοῦ μηρὸν 10 C ⟨ἐν⟩ράπτει· εἶτα ἐκεῖθεν, | ἡνίκα ἐτελεσφορήθη τὸ βρέφος, ὠδίνων ὁ Ζεὺς ἐπὶ τὰς νύμφας ἔρχεται· τὸ „Λῦθι ῥάμμα“ δὲ αὗται τῷ μηρῷ προσεπᾴδουσαι τὸν διθύραμβον ἡμῖν εἰς φῶς προήγαγον· εἶτα ἐμάνη, φησίν, ὁ θεὸς ὑπὸ τῆς Ἥρας, ἔπαυσε δ' αὐτῷ τὴν νόσον ἡ Μήτηρ τῶν θεῶν, ὁ δὲ ἦν αὐτίκα θεός. Εἵποντο γοῦν οὐ 15 Λίχας αὐτῷ καθάπερ Ἡρακλεῖ οὐδὲ Ἰόλεως οὐδὲ {ὁ} Τελαμὼν οὐδ' Ὕλας οὐδ' Ἄβδηρος, ἀλλὰ Σάτυροι καὶ Βάκχαι καὶ Πᾶνες D καὶ δαι|μόνων στρατιά. Ὁρᾷς ὅπως ἀνθρωπικὴ μὲν ἡ σπορὰ διὰ τῶν κεραυνίων, ἡ δ' ἀποκύησις ἀνθρωπικωτέρα, ἀμφοῖν δὲ τοῖν εἰρημένοιν προσομοιότερα τοῖς ἀνθρωπίνοις τὰ ἔργα. 20

12 Et. Magn. p. 274,51s. (Ζεύς, τικτομένου αὐτοῦ [scil. τοῦ Διονύσου], ἐπεβόα, „Λῦθι ῥάμμα, λῦθι ῥάμμα.“); cf. Et. Gud. p. 363,22 de Stefani

1 ἐμοί τε V: ἔμοιγε Petavius ‖ **2** ἵλεως Ἡρακλῆς V: Ἡρ. ἵλ. Petavius **3** ὑπὲρ secl. Hertlein | θρυλου- Hertlein ‖ **4** κατὰ τί Hertlein: κατά τι V **8** σωμάτιον Friederich: δωμ- V | ἓν τῶν κτυπημάτων Friederich (ἓν κτύπημα τῶν iam Reiske, {ἓν} τῶν κτυπημάτων Hertlein in app.): ἓν τῶν κτημ- V (de quo iam dubitaverat Petavius): ἓν τῶν κυημ- Spanheim in mg.: ἓν τῶν βλημ- Thomas: ἐνσκήψαντος Arnoldt ‖ **10** μηρὸν Petavius in mg.: post μηρο spatium fere 4 litterarum macula obtectum in V, inter τεμὼν et ῥάπτει lacuna in U ‖ **11** ⟨ἐν⟩ράπτει Rochefort (⟨ἐρ⟩ράπτει iam Cobet): ..άπτει V (ῥάπτει U) ‖ **12** νύμφας ἔρχεται legit Spanheim in V: lacuna in U λῦθι ῥάμμα Schneider in Lex. Gr. s.v. διθύραμμα, coll. Et. Magn. p. 274,52: λιθύραμμα V, διθ- Spanheim | αὗται V: αὐταὶ vet. vulg. ‖ **13** τὸν U: macula in V | διθύραμβον ἡμῖν aegre legitur in V (sec. Cobet): lacuna in U **14** φησὶν V: φασὶν Hertlein (cf. praef. XXV) ‖ **15–16** οὐ Λίχας Hertlein: οὐ ναῦς V: ...αῦς U ‖ **16** Ἰόλεως Cobet: ἱλεὸς V: Ὑλλας [sic] Petavius: Ὕλας Spanheim | ὁ secl. Hertlein ‖ **17** οὐδ' Ὕλας Cobet: οὐδ' ὕλλας V: οὐδ' ὁ Αἴας U (sed οὐδ' ὕλλας in mg.) ‖ **20** signum interrogationis post ἔργα posuerunt Hertlein, Wright, Guido

Τί οὖν οὐ καταβάλλοντες τὸν λῆρον ἐκεῖνο πρῶτον ὑπὲρ τούτων ἴσμεν, ὡς Σεμέλη σοφὴ τὰ θεῖα; Παῖς γὰρ ἦν Κάδμου τοῦ Φοίνικος, τούτοις δὲ καὶ ὁ θεὸς σοφίαν μαρτυρεῖ, „Πολλὰς καὶ Φοίνικες ὁδοὺς μακάρων ἐδάησαν“| λέγων. [16] Αἰσθέσθαι οὖν 221A
5 μοι δοκεῖ τοῦ θεοῦ τούτου πρώτη παρ' Ἕλλησι καὶ τὴν ἐσομένην ἐπιφάνειαν αὐτοῦ οὐκ εἰς μακρὰν προαγορεύσασα κινῆσαι μὲν θᾶττον ἢ προσῆκον ἦν τινὰ τῶν περὶ αὐτὸν ὀργίων, οὐκ ἀνασχομένη τὸν εἱμαρμένον περιμεῖναι χρόνον, εἶτα ἀναλωθῆναι πρὸς τοῦ πυρὸς τοῦ ῥυέντος ἐπ' αὐτήν. Ἐπεὶ δὲ ἐδέδοκτο τῷ Διὶ κοινῇ
10 πᾶσιν ἀνθρώποις ἐνδοῦναι ἀρχὴν καταστάσεως ἑτέρας καὶ μεταβαλεῖν αὐτοὺς ἐκ τοῦ νομαδικοῦ βίου πρὸς τὸν ἡμερώτερον, ἐξ | Ἰνδῶν ὁ Διόνυσος αὔτοπτος ἐφαίνετο δαίμων, ἐπιφοιτῶν τὰς B πόλεις, ἄγων μεθ' ἑαυτοῦ στρατιὰν πολλήν τινα δαιμόνων καὶ διδοὺς ἀνθρώποις κοινῇ μὲν ἅπασι σύμβολον τῆς ἐπιφανείας
15 αὐτοῦ τὸ τῆς ἡμερίδος φυτόν, ὑφ' οὗ μοι δοκοῦσιν, ἐξημερωθέντων αὐτοῖς τῶν περὶ τὸν βίον, Ἕλληνες τῆς ἐπωνυμίας αὐτὸ ταύτης ἀξιῶσαι, μητέρα δὲ αὐτοῦ προσειπεῖν τὴν Σεμέλην διὰ τὴν πρόρρησιν, ἄλλως τε καὶ τοῦ θεοῦ τιμῶντος αὐτὴν ἅτε πρώτην ἱερόφαντιν τῆς ἔτι | μελλούσης ἐπιφοιτήσεως. C

20 Οὔσης δέ, ὡς ἄν τις ἀκριβῶς σκοπῶν ἐξετάσειε, τῆς ἱστορίας τοιαύτης, οἱ τὸν Διόνυσον ὅστις ποτ' ἐστὶ θεῶν ζητοῦντες τἀληθὲς ἔχον ὡς ἔφην εἰς μῦθον διεσκεύασαν, αἰνιττόμενοι τήν τε οὐσίαν τοῦ θεοῦ καὶ τὴν ἐν τοῖς νοητοῖς παρὰ τῷ πατρὶ κύησιν καὶ τὸν ἀγέννητον αὐτοῦ τόκον ἐν τῷ κόσμῳ … κατ … γματ … ξιν ἐν τῷ
25 παντί, καὶ τἆλλα ἐφεξῆς ὅσα τοῦ ζητεῖν ἦν ἄξ⟨ια⟩, φράζειν ⟨ἤτ⟩ε

3–4 Porph. Philos. orac. p. 140,6 Wolff (apud Eus. Praep. Ev. XI 10,2)

11 μεταβαλεῖν Hertlein in app.: -βάλλειν V | ἡμερώτερον V: -τατον U **13** de τινα post πολλήν transpositione aut in τινῶν mutatione (id quod Wright accepit) cog. Hertlein in app.: δαιμονίων τινά V | δαιμόνων Rochefort (cf. cap. 15 supra p. 34,18): δαιμονίων V ‖ **20** ἐξετάσειε Hertlein: -ση V ‖ **23** κύησιν sub macula in V legerunt Cobet et Hertlein: ἤνυσαν U: κύουσαν Spanheim ‖ **24** . . . κατ . . . γματ . . . ξιν V[2]: spatium 22 fere litterarum macula obtectum in V, scriptura evanida in U: ⟨τήν τε⟩ κατ⟨αβίωσιν καὶ τὴν τῶν πρα⟩γμάτ⟨ων μέθε⟩ξιν Rochefort ‖ **25** ἄξ⟨ια⟩ Hertlein: αξ… V[2], macula in V, scriptura evanida in U ‖ **25–36,1** φράζειν ⟨ἤτ⟩ε γρά⟨φειν οὐ⟩ Guido: φράζειν …ε γρά… V[2], macula in V, scriptura evanida in U: φράζειν ⟨δ⟩έ ⟨γ' οὐ⟩ Hertlein (in app.): φράζειν ⟨τ⟩ε γρά⟨φειν οὐ⟩ perperam Rochefort

D γρά⟨φειν οὐ⟩ ῥᾴδιον ἐμοί, τυχὸν μὲν καὶ διὰ τὸ ἀ|γνοεῖν ἔτι περὶ αὐτῶν τὸ ἀκριβές, τυχὸν δὲ καὶ οὐκ ἐθέλοντι τὸν κρύφιον ἅμα καὶ φανερὸν θεὸν ὥσπερ ἐν θεάτρῳ προβάλλειν ἀκοαῖς ἀνεξετάστοις καὶ διανοίαις ἐπὶ πάντα μᾶλλον ἢ τὸ φιλοσοφεῖν τετραμμέναις.

Ἀλλ' ὑπὲρ μὲν τούτων ἴστω Διόνυσος αὐτός, ᾧ καὶ προσεύχο- 5 μαι τάς τε ἐμὰς καὶ τὰς ὑμετέρας ἐκβακχεῦσαι φρένας ἐπὶ τὴν ἀληθῆ τῶν θεῶν γνῶσιν, ὡς ἂν μὴ πολὺν ἀβάκχευτοι χρόνον τῷ 222A θεῷ μένοντες ὁπόσα ὁ Πεν|θεὺς ἔπαθε πάθωμεν, ἴσως μὲν καὶ ζῶντες, πάντως δὲ καὶ ἀπαλλαγέντες τοῦ σώματος. Ὅτῳ γὰρ μὴ τὸ πεπληθυσμένον τῆς ζωῆς ὑπὸ τῆς ἑνοειδοῦς καὶ ἐν τῷ μεριστῷ 10 παντελῶς ἀδιαιρέτου ὅλης τε ἐν πᾶσιν ἀμιγοῦς προϋπαρχούσης τοῦ Διονύσου οὐσίας τελεσιουργηθείη διὰ τῆς περὶ τὸν θεὸν ἐνθέου βακχείας, τούτῳ κίνδυνος ἐπὶ πολλὰ ῥυῆναι τὴν ζωήν, ῥυεῖσαν δὲ διεσπάσθαι καὶ διασπασθεῖσαν οἴχεσθαι· τὸ δὲ ῥυεῖσαν καὶ B διασπασθεῖσαν μὴ προσ|έχων τις τοῖς ῥήμασιν ὑδάτιον μηδὲ λίνου 15 μήρινθον ἀκροάσθω, ξυνιέτω δὲ τὰ λεγόμενα τρόπον ἄλλον, ὃν Πλάτων, ὃν Πλωτῖνος, ὃν Πορφύριος, ὃν ὁ δαιμόνιος Ἰάμβλιχος. Ὃς δ' ἂν μὴ ταύτῃ ποιῇ, γελάσεται μέν, ἴστω μέντοι σαρδώνιον γελῶν, ἔρημος ὢν ἀεὶ τῆς τῶν θεῶν γνώσεως, ἧς ἀντάξιον οὐδὲ τὸ πᾶσαν ὁμοῦ μετὰ τῆς τῶν Ῥωμαίων ἐπιτροπεῦσαι τὴν βαρβάρων 20 C ἔγωγε θείμην ἄν, οὐ μὰ τὸν ἐμὸν δεσπό|την Ἥλιον. Ἀλλά με πάλιν οὐκ οἶδ' ὅστις θεῶν ἐπὶ ταῦτ' ἐβάκχευσεν οὐ προειδόμενον.

[17] Οὗ δὲ ἕνεκεν ἔφην αὐτά· κατὰ μὲν τὴν διάνοιαν ἀπεμφαίνοντες ὅταν οἱ μῦθοι γίγνωνται περὶ τῶν θείων, αὐτόθεν ἡμῖν ὥσπερ βοῶσι καὶ διαμαρτύρονται μὴ πιστεύειν ἁπλῶς, ἀλλὰ τὸ 25 λεληθὸς σκοπεῖν καὶ διερευνᾶσθαι. Τοσούτῳ δ' ἐστὶ κρεῖττον ἐν τούτοις τοῦ σεμνοῦ τὸ ἀπεμφαῖνον, ὅσῳ διὰ μὲν ἐκείνου καλοὺς

1 ῥᾴδιον U (propter maculam vix legitur in V): ῥᾴδια Hertlein (in app.) **2** τυχὸν δὲ καὶ οὐκ ἐθέλοντι V[2]: τυχ.. .. ..λοντι V (spatio maculoso 10 fere litterarum interiecto), inter ἀκριβ et καὶ οὐκ scriptura evanida in U **3** ἀκοαῖς V[2] (non bene legitur in V), lacuna in U ‖ **4** τετραμμέναις V[2] (non bene legitur in V), post τετρα lacuna in U ‖ **8** de ἔπαθε omittendo cog. Hertlein (vol. II, p. VI) ‖ **9** καὶ del. Hertlein | ἂν post γὰρ add. Hertlein (in app.) ‖ **12** τοῦ Διονύσου οὐσίας Spanheim: οὔσης (οὐσίας Petavius in mg.) τοῦ Διονύσου V | τελεσιουργηθῇ Hertlein (in app.) ‖ **14** διεσπάσθαι V: διασπᾶσθαι Klimek (διασπασθῆναι reiecto) ‖ **19** ἀληθοῦς post τῆς add. Asmus[1] ‖ **22** προειδόμενον V: -ελόμενον Cobet ‖ **24** τῶν θείων V[2] et U (τὸ θεῖον V): τῶν θεῶν Bouffartigue 1992 p. 619 adn. 236

λίαν καὶ μεγάλους καὶ | ἀγαθούς, ἀνθρώπους δὲ ὅμως τοὺς θεοὺς D
κίνδυνος νομίσαι, διὰ δὲ τῶν ἀπεμφαινόντων ὑπεριδόντα τῶν ἐν
τῷ φανερῷ λεγομένων ἐπὶ τὴν ἐξῃρημένην αὐτῶν οὐσίαν καὶ
ὑπερέχουσαν πάντα τὰ ὄντα καθαρὰν νόησιν ἐλπὶς ἀναδραμεῖν.

5 Αἴτιαι μὲν οὖν αὗται τοῦ τὴν τελεστι|κὴν καὶ μυσταγωγὸν 223A
φιλοσοφίαν τὰ ⟨μὲν ῥήματ⟩α παντὸς μᾶλλον εὐαγῆ καὶ σεμνὰ
προφέρεσθαι, κατὰ δὲ τὴν διάνοιαν ἀλλοιοτέραν ποιεῖσθαι τὴν
ἐξήγησιν τῶν τοιούτων.

[18] Ὁ δὲ τῆς τῶν ἠθῶν ἐπανορθώσεως ἕνεκα τοὺς λόγους
10 πλάττων καὶ μύθους παράγων πρῶτον ἴτω μὴ ⟨πρὸς⟩ ἄνδρας,
ἀλλὰ πρὸς παῖδας ἤτοι καθ' ἡλικίαν ἢ τῷ φρονεῖν, πάντως τῶν
λόγων τούτων δεομένους. Εἰ μὲν οὖν | ἡμεῖς σοι παῖδες ἐφάνημεν, B
εἴτε ἐγὼ εἴτε Ἀνατόλιος οὑτοσί – συγκαταρίθμει δὲ τούτῳ καὶ τὸν
Μεμμόριον καὶ τὸν Σαλούστιον, πρὸς τούτοις δέ, εἰ βούλει, καὶ
15 τοὺς ἄλλους ἑξῆς –, Ἀντικύρας σοι δεῖ· τί γὰρ ἂν ἀκκίζοιτό τις;

Ἐπεὶ πρὸς τῶν θεῶν καὶ πρὸς αὐτοῦ τοῦ μύθου, μᾶλλον δὲ τοῦ
κοινῇ πάντων βασιλέως Ἡλίου, τί σοι μέγα ἢ μικρὸν πεποίηται
ἔργον; Τίνι παρέστης ἀγωνιζομένῳ μετὰ τοῦ δικαίου; Τίνα
ἐθεράπευσας πενθοῦντα, | τῷ λόγῳ διδάξας ὅτι μὴ κακὸν ὁ C
20 θάνατος μήτε τῷ παθόντι μήτε τοῖς οἰκείοις αὐτοῦ; Τίς δ' αἰτιάσε-
ταί σε τῆς ἑαυτοῦ μειρακίσκος σωφροσύνης, ὅτι πεποίηκας αὐτὸν
ἐξ ἀσώτου σώφρονα καὶ καλὸν οὐ τὸ σῶμα μόνον, ἀλλὰ πολὺ
μᾶλλον τὴν ψυχὴν φαίνεσθαι; Τίνα δὲ ἄσκησιν ἐποιήσω τοῦ βίου;
Τί δέ σοι ἄξιον τῆς Διογένους βακτηρίας ἢ ναὶ μὰ Δία τῆς παρρη-
25 σίας πεποίηται; Ἔργον οἴει μέγα βακτηρίαν λαβεῖν ἢ τρίχας
ἀνεῖναι, καὶ περινοστεῖν τὰς πόλεις καὶ τὰ στρα|τόπεδα, καὶ τοῖς D
μὲν βελτίστοις λοιδορεῖσθαι, τοὺς δὲ χειρίστους θεραπεύειν;

Εἰπέ, πρὸς τοῦ Διὸς καὶ πρὸς τουτωνὶ τῶν ἀκροωμένων οἳ δι'
ὑμᾶς τὴν φιλοσοφίαν ἐκτρέπονται, ἀνθ' ὅτου πρὸς μὲν τὸν μακα-
30 ρίτην Κωνστάντιον εἰς Ἰταλίαν ἦλθες, οὐκέτι μέντοι καὶ μέχρι

2 ὑπεριδόντα V: -τας Hertlein ‖ **5** κατὰ ante τὴν add. Petavius (in mg.)
6 ⟨μὲν ῥήματ⟩α Cobet: …α V (spatio maculoso 9 fere litterarum antecedente), lacuna in U ‖ **10** πρῶτον ἴτω Klimek[3]: πρῶτον τῷ V: πρῶτον ⟨ἴστω⟩ τῷ Petavius (in mg., quod spectat ad δεόμενος, vide infra): δράτω τοῦτο Hertlein (in app.): πραττέτω Rochefort | πρὸς add. Petavius ‖ **11** τῷ V (def. Boulenger[2] p. 45): τὸ Petavius | δὲ post πάντως add. Hertlein
12 δεομένους Hertlein: δεόμενος V

τῶν Γαλλιῶν {ἦλθες}; Καίτοι πορευθεὶς πρὸς ἡμᾶς, εἰ μηδὲν ἄλλο, ξυνεῖναι γοῦν σου τῆς φωνῆς μᾶλλον δυναμένῳ πλησιάζειν ἔμελλες ἀνθρώπῳ.

224A Τί | δὲ καὶ τὸ περιφοιτᾶν πανταχοῦ καὶ παρέχειν πράγματα ταῖς ἡμιόνοις; Ἀκούω δὲ ἔγωγε καὶ τοῖς τὰς ἡμιόνους ἐλαύνουσιν, 5 οἳ μᾶλλον ὑμᾶς ἢ τοὺς στρατιώτας πεφρίκασι· χρῆσθαι γὰρ αὐτοῖς ἀκούω τινὰς ὑμῶν χαλεπώτερον ἢ τοῖς ξίφεσιν ἐκεῖνοι· γίγνεσθε οὖν αὐτοῖς εἰκότως φοβερώτεροι.

Πάλαι μὲν οὖν ὑμῖν ἐθέμην ἐγὼ τοῦτο τὸ ὄνομα, νυνὶ δὲ αὐτὸ B ἔοικα καὶ γράψειν· ἀποτακτίτας τινὰς ὀνομάζουσιν οἱ | δυσσεβεῖς 10 Γαλιλαῖοι· τούτων οἱ πλείους μικρὰ προέμενοι πολλὰ πάνυ, μᾶλλον δὲ τὰ πάντα πανταχόθεν ξυγκομίζουσι, καὶ προσῆν οἶμαι τὸ τιμᾶσθαι καὶ δορυφορεῖσθαι καὶ θεραπεύεσθαι. Τοιοῦτόν τι καὶ τὸ ὑμέτερον ἔργον ἐστί, πλὴν ἴσως τοῦ χρηματίζεσθαι· τοῦτο δὲ οὐ παρ' ὑμᾶς γίγνεται, παρ' ἡμᾶς δέ – συνετώτεροι γάρ ἐσμεν τῶν 15 ἀνοήτων ἐκείνων –, ἴσως δὲ καὶ διὰ τὸ μηδὲν ὑμῖν εἶναι πρόσχημα C τοῦ φορολογεῖν εὐ|προσώπως, ὁποῖον ἐκείνοις, ἣν λέγουσιν οὐκ οἶδ' ὅπως ἐλεημοσύνην. Τὰ δ' ἄλλα γε πάντα ἐστὶν ὑμῖν τε κἀκείνοις παραπλήσια· καταλελοίπατε τὴν πατρίδα ὥσπερ ἐκεῖνοι, περιφοιτᾶτε πάντη καὶ τὸ στρατόπεδον διωχλήσατε μᾶλλον 20 ἐκείνων καὶ ἰταμώτερον· οἱ μὲν γὰρ καλούμενοι, ὑμεῖς δὲ καὶ ἀπελαυνόμενοι.

Καὶ τί χρηστὸν ἐκ τούτων ὑμῖν ἐγένετο, μᾶλλον δὲ καὶ ἡμῖν D τοῖς ἄλλοις; Ἀνῆλθεν ὁ Ἀσκληπιάδης, εἶτα ὁ | Σερηνιανός, εἶτα ὁ Χύτρων, εἶτα, οὐκ οἶδα, παιδάριόν τι ξανθὸν καὶ εὐμηκες, εἶτα σύ, 25 καὶ μεθ' ὑμῶν ἄλλοι δὶς τοσοῦτοι. Τί οὖν ἐκ τῆς ὑμετέρας ἀνόδου γέγονεν ἀγαθόν, ὦ λῷστοι; Τίς ᾔσθετο πόλις ἢ τίς ἰδιώτης τῆς

1 ἦλθες del. Hertlein ‖ **6** αὐτοῖς V: τοῖς ξύλοις („vel simile quidpiam") Hertlein: τοῖς βάκτροις Arnoldt: αὐτοῖς ⟨τοῖς ξύλοις⟩ Wright (quae Hertleinii adn. male intellexisse videtur; ⟨τοῖς ξύλοις⟩ post χαλεπώτερον transp. Rochefort): αὖ τοῖς ⟨σκήπτροις⟩ Boulenger[2], p. 45 ‖ **10** γράψειν Petavius: -φειν V | ἀποτακτίτας Boulenger[2], p. 45 (v. iam Helferich ad loc.): ἀποτακτί... V (macula insequente): ἀποτακτίσας U: ἀποτακτιστὰς Petavius (quod verbum nusquam reperitur) ‖ **12** προσῆν οἶμαι V: προσκτῶνται Hertlein (in app.) ‖ **24** ἄλλοις Cobet: ἀν̄οῑς (= ἀνθρώποις) V (etiam U) **25** τι V (cf. or. 2[3],12 p. 118A [οὐκ οἶδα ἔκ τινος V]; or. 3[2],8 p. 59B [οὐκ οἶδα ὑπό του V]; cf. Polyb. fr. 54 l. 12 B.-W.: Ἀρταξέρξῃ τῷ βασιλεῖ, ἢ οὐκ οἶδα ἄλλῳ τινί): τί Rochefort: ὅ, τι Hertlein

ὑμετέρας παρρησίας; Οὐκ ἀφρόνως μὲν τὸ ἐξ ἀρχῆς εἵλεσθε τὴν ἐπὶ τὸν οὐδὲ ἰδεῖν ὑμᾶς θέλοντα βασιλέα πορείαν, ἀνελθόντες δὲ ἀφρονέστερον αὐτῇ καὶ ἀμαθέστερον καὶ μανιωδέστερον ἐχρήσασθε, κολακεύσαντες ἅμα καὶ ὑλακτήσαντες καὶ βιβλία δόν|τες καὶ 225A
5 ταῦτα προσαχθῆναι προσλιπαρήσαντες; Οὐδένα ὑμῶν οἶμαι ἐγὼ τοσαυτάκις εἰς φιλοσόφου φοιτῆσαι, ὁσάκις εἰς ἀντιγραφέως, ὥστε ὑμῖν Ἀκαδημία καὶ Λύκειον ἀντὶ τῆς Ποικίλης τε ἦν τῶν βασιλείων τὰ πρόθυρα.

[19] Οὐκ ἀπάξετε ταῦτα; Οὐ καταβαλεῖτε νῦν γοῦν, εἰ καὶ μὴ
10 πρότερον, ὅτε ὑμῖν οὐδέν ἐστι πλέον ἀπὸ τῆς κόμης καὶ τῆς βακτηρίας; Πῶς δὲ καὶ γέγονεν ὑφ' ὑμῶν εὐκαταφρόνητος ἡ φιλοσοφία; Τῶν | ῥητορικῶν οἱ δυσμαθέστατοι καὶ οὐδ' ὑπ' αὐτοῦ B τοῦ βασιλέως Ἑρμοῦ τὴν γλῶτταν ἐκκαθαρθῆναι δυνάμενοι, φρενωθῆναι δὲ οὐδὲ πρὸς αὐτῆς τῆς Ἀθηνᾶς σὺν τῷ Ἑρμῇ, τοῦτο
15 ἐκ τῆς ἀγοραίου καὶ περιτρεχούσης ἁρπάσαντες ἐντρεχείας – οὐδὲ γὰρ ἐν παροιμίᾳ περιφερόμενον αὐτὸ γιγνώσκουσι τὸ ὅτι *βότρυς πρὸς βότρυν πεπαίνεται* – ὁρμῶσιν ἐπὶ τὸν Κυνισμόν· βακτηρία, τρίβων, κόμη, τὸ ἐντεῦθεν ἀμαθία, θράσος, ⟨ἰταμό⟩της, ⟨καὶ πάντα⟩ ἁπλῶς τὰ | τοιαῦτα. C
20 „Τὴν σύντομον“ φησὶν „ὁδὸν καὶ σύντονον ἐπὶ τὴν ἀρετὴν ἐρχόμεθα“· ὤφελον καὶ ὑμεῖς τὴν μακρὰν ἐπορεύεσθε· ῥᾷον ἂν δι' ἐκείνης ἢ ⟨διὰ ταύτης⟩ ἤλθετε. Οὐκ ἴστε ὅτι μεγάλας ἔχουσιν αἱ σύντομοι τὰς χαλεπότητας; ⟨Ὥσ⟩περ ἐν ταῖς λεωφόροις ὁ μὲν τὴν

16–17 Apost. 5,5; App. prov. 1,60; Suda β 410; cf. Otto, Sprichwörter s.v. *uva*; Häussler, Nachträge p. 221 ‖ **20–21** cf. Plut. Amat. 16 p. 759D (οἱ Κυνικοὶ λέγουσι σύντονον ὁμοῦ καὶ σύντομον εὑρηκέναι πορείαν ἐπ' ἀρετήν)

5 προσαχθῆναι Reiske: πραχθῆναι V ‖ **7** Ἀκαδημία V: -ήμεια Hertlein (cf. Ad Them. 10 supra p. 12,25) ‖ **18–19** ἀμαθία (U) θράσος (V[2]) ⟨ἰταμό⟩της (suppl. Hertlein, tantum της in V[2]) ⟨καὶ πάντα⟩ (suppl. Horkel) ἁπλῶς Hertlein: α.........................ἁπλῶς V (spatio maculoso 21 fere litterarum interiecto): inter ἀμαθία et ἁπλῶς lacuna in U ‖ **20** φησὶν V: φασὶν Hertlein (v. praef. XXV) ‖ **21** ἐρχόμεθα Guida 1991, qui sub macula fere 8 litterarum in V ἐρχομένην legit: lacuna in U: εἰσιοῦσιν Spanheim („viam sequuntur“ in versione Latina Petavius): ἰέναι Cobet: ἰτέον Klimek: πορευόμεθα („vel tale quid“) Hertlein in app.: πορεύεσθαι Rochefort | ὤφελον V: ὄφελον U, vet. vulg. ‖ **22** ἢ ⟨διὰ ταύτης⟩ Cobet: inter ἢ et ἤλθετε macula in V, inter ἐκείνης et ἤλθετε lacuna in U | αἱ Petavius: οἱ V ‖ **23** ⟨ὥσ⟩περ Petavius, ⟨καὶ ὥσ⟩περ Hertlein: ..περ V (macula praecedente), lacuna in U

σύντομον ἐλθεῖν δυνηθεὶς ῥᾷον ἐκπερίεισι τὴν κύκλῳ, οὐκέτι μέντοι τὸ ἀνάπαλιν ὁ κύκλῳ πορευθεὶς ἔλθοι ἂν πάντως καὶ τὴν
D ἐπίτομον, οὕτω δὴ καὶ ἐν τῇ φιλοσοφίᾳ | τέλος τέ ἐστι καὶ ἀρχὴ μία, γνῶναί τε ἑαυτὸν καὶ ἀφομοιωθῆναι τοῖς θεοῖς· ἀρχὴ μὲν οὖν ἑαυτὸν γνῶναι, τέλος δὲ ἡ πρὸς τοὺς κρείττονας ὁμοιότης. 5

[20] Ὅστις οὖν Κυνικὸς εἶναι ἐθέλει, πάντων ὑπεριδὼν τῶν νομισμάτων καὶ τῶν ἀνθρωπίνων δοξῶν, εἰς ἑαυτὸν καὶ τὸν θεὸν ἐπέστραπται πρότερον. Ἐκείνῳ τὸ χρυσίον οὐκ ἔστι χρυσίον, οὐχ ἡ ψάμμος ψάμμος, εἰ πρὸς ἀμοιβήν τις αὐτὰ ἐξετάζοι καὶ τῆς
226A ἀξίας αὐτῶν ἐπιτρέψειεν αὐτῷ τιμητῇ γενέσθαι· | γῆν γὰρ αὐτὰ 10 οἶδεν ἀμφότερα. Τὸ σπανιώτερον δὲ καὶ τὸ ῥᾴδιον ἀνθρώπων εἶναι κενοδοξίας ταῦτα καὶ ἀμαθίας νενόμικεν ἔργα· τὸ αἰσχρὸν ἢ καλὸν οὐκ ἐν τοῖς ἐπαινουμένοις ἢ ψεγομένοις τίθεται, ἀλλ' ἐν τῇ φύσει· φεύγει τὰς περιττὰς τροφάς· ἀποστρέφεται δὲ τὰ ἀφροδίσια. Βιαζομένου δὲ τοῦ σώματος οὐ δόξῃ προστέτηκεν οὐδὲ περιμένει 15 τὸν μάγειρον καὶ τὰ ὑποτρίμματα καὶ τὴν κνίσσαν, οὐδὲ τὴν Φρύνην οὐδὲ τὴν Λαΐδα οὐδὲ τὴν τοῦ δεῖνα περιβλέπεται γαμετὴν
B οὐ|δὲ τὸ θυγάτριον οὐδὲ τὴν θεράπαιναν, ἀλλ' ὡς ἔνι μάλιστα ἐκ τῶν προστυχόντων ἀποπλήσας τὴν θεραπείαν τοῦ σώματος καὶ τὸ ἐνοχλοῦν ἐξ αὐτοῦ παρωσάμενος ἄνωθεν ἐκ τῆς Ὀλύμπου κορυφῆς 20 ἐπιβλέπει τοὺς ἄλλους *Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας*, ὑπὲρ ὀλίγων παντάπασιν ἀπολαύσεων ὑπομένοντας ὅσα οὐδὲ παρὰ τὸν Κωκυτὸν καὶ τὸν Ἀχέροντα θρυλλοῦσιν οἱ κομψότεροι τῶν ποιητῶν.

C Ἡ σύντομος ὁδός ἐ|στιν αὕτη· δεῖ γὰρ αὐτὸν ἀθρόως ἐκστῆναι 25 ἑαυτοῦ καὶ γνῶναι ὅτι θεῖός ἐστι καὶ τὸν νοῦν μὲν τὸν ἑαυτοῦ

21 cf. Empedocl. VS 31 B 121; versum citant Hierocl. in carm. aur. 24,3 p. 98,16 Koehler (Ἄτης ἂν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν [ἐν λειμῶνι et σκότον codd. VH]), Synes. Aegypt. 1,1 (Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκουσιν), Epist. 147 init. (Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας); Procl. in Plat. Remp. Vol. II p. 157,28 Kroll (Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντα [ἱλάσκονται cod.])

3 δὴ Cobet: δὲ V | ἣ ante τέλος inserere vult Klimek ‖ **4** ἑαυτὸν Petavius: σαυ- V ‖ **11** ῥᾴδιον V: ῥᾷον Hertlein („parabilius" iam Petavius in versione Latina) ‖ **14** τροφάς V: τρυ- Klimek[3] | δὲ fortasse delendum ‖ **17** τοῦ δεῖνα Asmusr[1] (τοῦ δεῖνος iam Cobet): τοῦδε V: οὐδενὸς Rochefort **21** ἠλάσκοντας Petavius: -ται V

ἀτρύτως καὶ ἀμετακινήτως συνέχειν ἐν τοῖς θείοις καὶ ἀχράντοις καὶ καθαροῖς νοήμασιν, ὀλιγωρεῖν δὲ πάντη τοῦ σώματος καὶ νομίζειν αὐτὸ κατὰ τὸν Ἡράκλειτον κοπρίων ἐκβλητότερον, ἐκ τοῦ ῥᾴστου δὲ αὐτῷ τὰς θεραπείας ἀποπληροῦν, ἕως ἂν ὁ θεὸς
5 ὥσπερ ὀργάνῳ τῷ σώματι χρῆσθαι ἐπιτάττῃ. Ταῦτα μὲν οὖν ***, ἐπανάξω δὲ ὅθεν ἐξέβην.

[21] Ἐπειδὴ γὰρ τοὺς μύθους προσήκει πρὸς παῖδας ἤτοι τῷ φρο|νεῖν, κἂν ἄνδρες ὦσιν, ἢ καὶ τοῖς καθ' ἡλικίαν παιδαρίοις D ἀπαγγέλλειν, ἐξεταστέον ὅπως μήτε εἰς θεοὺς μήτε εἰς ἀνθρώπους
10 τι πλημμελὲς ἤ, καθάπερ ἔναγχος, δυσσεβές τι ῥηθείη· καὶ προσέτι τοῦτο ἐν ἅπασιν ἀκριβῶς βασανιστέον, εἰ πιθανός, εἰ τοῖς πράγμασι προσφυής, εἰ μῦθός ἐστιν ἀληθῶς ὁ πλαττόμενος. Ἐπεὶ τό γε νῦν ὑπὸ σοῦ πεποιημένον οὐ μῦθός ἐστι σός – καίτοι τοῦτό γε ἐνεανιεύσω –, ἀλλ' ὁ μὲν μῦθός ἐστι παλαιός, ἐφήρμοσας δὲ
15 αὐτὸν σὺ πράγμασιν ἑτέροις, ὅπερ | οἶμαι ποιεῖν εἰώθασιν οἱ τῇ 227A τροπικῇ χρώμενοι τῶν νοημάτων κατασκευῇ· πολὺς δὲ ἐν τούτοις ὁ Πάριός ἐστι ποιητής. Ἔοικας οὖν οὐδὲ πεποιηκὼς μῦθον, ὦ ξυνετώτατε, μάτην νεανιεύεσθαι· καίτοι τοῦτο τίτθης ἔργον ἐστὶν εὐτραπέλου. Πλουτάρχου δὲ εἰ τὰ μυθικὰ διηγήματα τῶν σῶν

3 VS 22 B 96, cf. Plut. Quaest. conv. IV 4,3 p. 669A: νέκυες γὰρ κοπρίων ἐκβλητότεροι καθ' Ἡράκλειτον

2–5 Suda η 471 (ὀλιγωρεῖν πάντη τοῦ σώματος καὶ νομίζειν αὐτὸ κοπρίων ἐκβλητότερον· ἐκ τοῦ ῥᾴστου δὲ αὐτῷ τὰς θεραπείας ἀποπληροῦν, ἕως ἂν ὁ θεὸς ὥσπερ ὀργάνῳ τῷ σώματι χρῆσθαι ἐπιτάττῃ)

1 ἀτρύτως καὶ ἀμετακινήτως V: ἄτρυτον καὶ ἀμετακίνητον Petavius **3** κοπρίων ἐκβλητότερον Suda: .... ἐκβλητότερον V, κοπ....ἐκβλητότερον V[2], καὶ...........τερον U ‖ **4** αὐτῷ Suda: -οῦ V ‖ **4–5** ἕως ἂν ὁ θεὸς ὥσπερ (ἂν et V[2]) Suda: ἕως ... ὥσπερ V, ...μος ὥσπερ U ‖ **5** post οὖν spatium maculosum 15 fere litterarum in V, lacuna in U: possis supplere ⟨δή, φασί, ταύτῃ⟩ (cf. Plat. Leg. III 676A ταῦτα μὲν οὖν δὴ ταύτῃ, Plut. Dem. 4,8 καὶ ταῦτα μὲν ταύτῃ κατὰ Πλάτωνα, De sera 552D, Plot. Enn. IV 3,7. IV 4,17. V 3,10 Ταῦτα μὲν οὖν ταύτῃ) vel ⟨ταύτῃ διωρίσθω⟩ (cf. Arist. Part. an. 645b13s.) vel ⟨ταύτῃ ὑπονοείσθω⟩ (cf. Socr. Epist. 1,12) vel etiam ⟨ἱκανῶς περὶ τούτων⟩: ⟨ὥς φασι ταύτῃ⟩ iam Cobet; cf. etiam ad In Solem 28 infra p. 161,1 **7** παῖδας ἤτοι V[2]: παι tantum in V (macula insequente), lacuna in U **8** παιδαρίοις Petavius (et V[2]): παιδαρ V (macula insequente), παιδαρι... U **10** τι[1] del. Hertlein ‖ **13** verba ὡς ἔφης post σός tradita delenda censuit Hertlein (delevit Wright) ‖ **14** μῦθος om. Wright | ἐστι del. Petavius

εἴσω χειρῶν ἀφῖκτο, οὔποτ' ἂν ἐλελήθει σε τίνι διαφέρει πλάσαι τε
B ἐξ ἀρχῆς μῦθον καὶ τὸν κείμενον ἐφαρμόσαι | πράγμασιν οἰκείοις.

Ἀλλ', ἵνα μή σε „τὴν σύντομον ὁδεύοντα" βίβλοις ἐμβαλὼν μακραῖς καὶ δυσελίκτοις ἐπίσχω, μικρὰ καὶ πεδήσω. Σὺ δὲ οὐδὲ τὸν Δημοσθένους ἀκήκοας μῦθον, ὃν ἐποίησεν ὁ Παιανιεὺς πρὸς 5 τοὺς Ἀθηναίους ἡνίκα ὁ Μακεδὼν ἐξήτει τοὺς Ἀθηναίους ῥήτορας; Ἐχρῆν οὖν τι τοιοῦτο πλάσαι· ἢ πρὸς τῶν θεῶν ἔργον ἦν εἰπεῖν μυθάριόν τι τοιοῦτον; Ἀναγκάσεις δέ με καὶ μυθοποιὸν γενέσθαι.

C [22] Πλουσίῳ ἀνδρὶ | πρόβατα ἦν πολλὰ καὶ *ἀγέλαι βοῶν* καὶ *αἰπόλια πλατέ' αἰγῶν*, ἵπποι δὲ αὐτῷ πολλάκις μυρίαι *ἕλος κάτα* 10 *βουκολέοντο*, καὶ ποιμένες δοῦλοί τε καὶ ἐλεύθεροι μισθωτοί, καὶ βουκόλοι βοῶν καὶ αἰγῶν αἰπόλοι καὶ ἱπποφορβοὶ τῶν ἵππων, καὶ πλεῖστα κτήματα. Τούτων δὲ αὐτῷ πολλὰ μὲν ὁ πατὴρ ἀπολελοίπει, πολλαπλάσια δὲ αὐτὸς ἐκτήσατο, πλουτεῖν θέλων ἐν
D δίκῃ τε καὶ παρὰ δίκην· ⟨ἔμελε⟩ γὰρ αὐτῷ καὶ τῶν | θεῶν ὀλίγον. 15 Ἐγένοντο δὲ αὐτῷ γυναῖκες πολλαὶ καὶ παῖδες ἐξ αὐτῶν καὶ θυγατέρες, οἷς ἐκεῖνος διανείμας τὴν οὐσίαν ἔπειτα ἐτελεύτησεν, οὐδὲν αὐτοὺς οἰκονομίας πέρι διδάξας, οὐδ' ὅπως ἄν τις δύναιτο τὰ τοιαῦτα κτᾶσθαι μὴ παρόντα ἢ παρόντα διαφυλάττειν· ᾤετο γὰρ ὑπὸ ἀμαθίας ἀρκεῖν τὸ πλῆθος, ἐπεὶ καὶ οὗτος ἦν οὐ μάλα ἐπιστή- 20 μων τῆς τοιαύτης τέχνης. ἅτε μὴ λόγῳ προσειληφὼς αὐτήν, ἀλλὰ
228A | συνηθείᾳ τινὶ καὶ πείρᾳ μᾶλλον, ὥσπερ οἱ φαῦλοι τῶν ἰατρῶν ἐκ τῆς ἐμπειρίας μόνον ἰώμενοι τοὺς ἀνθρώπους, ὅθεν καὶ διαφεύγει τὰ πολλὰ τῶν νοσημάτων αὐτούς.

9–10 cf. Hes. Theog. 445s. (βουκολίας δὲ βοῶν τε καὶ αἰπόλια πλατέ' αἰγῶν / ποίμνας τ' εἰροπόκων ὀίων), Hom. Λ 678–680 (πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα οἰῶν, / τόσσα συῶν συβόσια, τόσ' αἰπόλια πλατέ' αἰγῶν, / ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα) ‖ **10–11** Hom. Υ 221 (τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο)

4 δυσελίκτοις V: δυσεξελ. Reiske (sed cf. e.g. Greg. Naz. or. 28,25: λαβύρινθος ... δυσέλικτος) | μικρὰ V: μα- Klimek | verba μικρὰ καὶ πεδήσω mihi obscura ‖ **10–11** κάτα βουκολέοντο Hertlein: καταβουκολέοντο V, sed cf. Hom. Y 221 ‖ **14** ἀπολελοίπει V: ἀπελελ- Hertlein | ἐκτήσατο V: ἐπεκτ- Naber ‖ **15** ⟨ἔμελε⟩ Petavius (et V²): spatium 7 fere litterarum macula obrutum in V, lacuna in U | καὶ² del. Klimek ‖ **16** παῖδες U: locus macula obrutus in V (παῖ V²): υἱεῖς Hertlein (post Cobetum, qui υἱοὶ coniecit) αὐτῶν U (et V²): ...ῶν V ‖ **20** ἀμαθίας U: ἀμ..... V | οὗτος V: αὐτός Hertlein

Ἀρκεῖν οὖν νομίσας τὸ πλῆθος τῶν υἱέων πρὸς τὸ φυλάξαι τὴν οὐσίαν οὐδὲν ἐφρόντισεν ὅπως ἔσονται σπουδαῖοι. Τὸ δὲ ἄρα αὐτοῖς ἦρξε πρῶτον μὲν τῶν εἰς ἀλλήλους ἀδικημάτων· ἐπιθυμῶν γὰρ ἕκαστος ὥσπερ ὁ πατὴρ πολλὰ ἔχειν καὶ μόνος πάντα ἐπὶ τὸν
5 πέλας ἐτράπετο. Τέως μὲν οὖν τοῦτο ἐπράττετο· | προσαπέλαβον B δὲ καὶ οἱ ξυγγενεῖς, οὐδ' αὐτοὶ παιδευθέντες καλῶς, τῆς τῶν παίδων ἀνοίας τε καὶ ἀμαθίας {ἀνέχεσθαι}. Εἶτα ἐπίμπλατο φόνων πάντα, καὶ ἡ τραγικὴ κατάρα ὑπὸ τοῦ δαίμονος εἰς ἔργον ἤγετο· τὰ πατρῷα γὰρ *θηκτῷ σιδήρῳ διελάγχανον*, καὶ ἦν πάντα
10 ἀκοσμίας πλήρη· πατρῷα μὲν ἱερὰ κατεσκάπτετο παρὰ τῶν παίδων, ὀλιγωρηθέντα πρότερον ὑπὸ τοῦ πατρὸς καὶ ἀποσυλη-θέντα τῶν ἀνα|θημάτων, ἃ ἐτέθειτο παρὰ πολλῶν μὲν καὶ ἄλλων, C οὐχ ἥκιστα δὲ τῶν προπατόρων αὐτοῦ. Καθαιρουμένων δὲ τῶν ἱερῶν ἀνῳκοδομεῖτο παλαιὰ καὶ νέα μνήματα, προαγορεύοντος
15 αὐτοῖς τοῦ αὐτομάτου καὶ τῆς Τύχης ὅτι ἄρα πολλῶν αὐτοῖς δεήσει μνημάτων οὐκ εἰς μακράν, ἐπειδήπερ αὐτοῖς ὀλίγον ἔμελε τῶν θεῶν.

Πάντων οὖν ὁμοῦ φυρομένων καὶ ξυντελουμένων γάμων {τε} οὐ γάμων καὶ βεβηλουμένων ὁμοῦ τοῖς θείοις τῶν ἀνθρωπίνων,
20 τὸν Δία ἔλεος | ὑπῆλθεν· εἶτα ἀπιδὼν πρὸς τὸν Ἥλιον· „Ὦ παῖ" D εἶπεν „οὐρανοῦ καὶ γῆς ἀρχαιότερον ἐν θεοῖς βλάστημα, μνησικα-κεῖν ἔτι διανοῇ τῆς ὑπεροψίας ἀνδρὶ αὐθάδει καὶ τολμηρῷ, ὅς σε ἀπολείπων αὐτῷ τε καὶ γένει καὶ παισὶν αἴτιος ἐγένετο τῶν τηλικούτων παθημάτων; Ἢ νομίζεις, ὅτι μὴ χαλεπαίνεις αὐτῷ
25 μηδ' ἀγανακτεῖς μηδ' ἐπὶ τὸ γένος αὐτοῦ τοὺς | οἰστοὺς θήγεις, 229A ἔλαττον εἶναι ⟨σέ⟩ γε αἴτιον αὐτοῦ τῆς ξυμφορᾶς, ἔρημον αὐτοῦ

9 cf. Eur. Phoen. 68 (θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν)

5 προσαπέλαβον V: προσαπέλαυον Wyttenbach ‖ **7** ἀνέχεσθαι del. Wyttenbach ‖ **9** θηκτῷ Petavius: θνητῷ V ‖ **12** ἐτέθειτο Hertlein: τέθειτο V (sed ea forma nusquam alibi invenitur) ‖ **15–16** *δεήσει μνημάτων* U (Petavius): *μνημάτων δεήσει* V (sed transpositionis signis supra ista verba positis) ‖ **18** τε del. Hertlein ‖ **19** θείοις Petavius in mg. (re vera θείων, sed hoc Hertlein ut „typothetae errorem" pro θείοις interpretatus est, quod etiam Petavii versione Latina confirmatur): θεοῖς V ‖ **23** ἀπολείπων V: -λιπὼν Cobet | καὶ παισὶν del. Cobet ‖ **26** ⟨σέ⟩ γε Rochefort: .. τε V (*μή* ...ε in U legitur): ταύτης Spanheim | αἴτιον V: -ος Reiske | αὐτοῦ[1] V: -τῷ Hertlein

τὴν οἰκίαν ἀφείς; Ἀλλ'" ἔφη, „καλῶμεν τὰς Μοίρας, εἴ πῃ βοηθητέος ὁ ἀνήρ ἐστιν." Αἱ δὲ ὑπήκουσαν αὐτίκα τῷ Διί.

Καὶ ὁ μὲν Ἥλιος, ὥσπερ ἐννοῶν τι καὶ λογιζόμενος αὐτὸς ἐν ἑαυτῷ, προσεῖχεν, εἰς τὸν Δία πήξας τὰ ὄμματα. Τῶν Μοιρῶν δὲ ἡ πρεσβυτάτη· „Κωλύετον" ἔφη „ὦ πάτερ, ἡ Ὁσιότης ξὺν τῇ 5
B Δίκῃ. Σὸν οὖν ἔργον ἐστίν, ἐπείπερ ἡμᾶς ἐκέλευσας | ὑπεικαθεῖν αὐταῖς, πεῖσαι καὶ ἐκείνας." „Ἀλλ' ἐμαὶ γάρ εἰσιν" ἔφη „θυγατέρες, καὶ ἄξιον δὴ ἐρέσθαι αὐτάς· τί τοίνυν, ὦ πότνια, φατόν;" „Ἀλλὰ τούτου μέν" εἰπέτην „ὦ πάτερ, αὐτὸς εἶ κύριος. Σκόπει δὲ ὅπως ἐν ἀνθρώποις ὁ πονηρὸς οὑτοσὶ τῆς ἀνοσιουργίας ζῆλος μὴ 10 παντάπασιν ἐπικρατήσῃ." „Πρὸς ἀμφότερα" εἶπεν „ἐγὼ σκέψομαι."

C Καὶ αἱ Μοῖραι πλησίον παροῦσαι πάντα ἐπέκλωθον, | ὡς ὁ πατὴρ ἐβούλετο. Λέγειν δὲ ὁ Ζεὺς ἄρχεται πρὸς τὸν Ἥλιον· „Τουτὶ τὸ παιδίον" ἔφη – ξυγγενὲς δὲ ἦν αὐτῶν ἄρα παρερριμμέ- 15 νον που καὶ ἀμελούμενον, ἀδελφιδοῦς ἐκείνου τοῦ πλουσίου καὶ ἀνεψιὸς τῶν κληρονόμων – „τοῦτο" ἔφη „σόν ἐστιν ἔκγονον. Ὄμοσον οὖν τὸ ἐμόν τε καὶ σὸν σκῆπτρον, ἦ μὴν ἐπιμελήσεσθαι διαφερόντως αὐτοῦ καὶ ποιμανεῖν αὐτὸ καὶ θεραπεύσειν τῆς νόσου.
D Ὁρᾷς γὰρ ὅπως οἷον ὑπὸ καπνοῦ ῥύπου τε ἀναπέπλη|σται καὶ 20 λιγνύος, κίνδυνός τε τὸ ὑπὸ σοῦ σπαρὲν ἐν αὐτῷ πῦρ ἀποσβῆναι, *ἢν μὴ σύ γε δύσεαι ἀλκήν*. Σοὶ δὲ ἐγώ τε ξυγχωρῶ καὶ αἱ Μοῖραι· κόμιζε οὖν αὐτὸ καὶ τρέφε."

Ταῦτα ἀκούσας ὁ βασιλεὺς Ἥλιος ηὐφράνθη τε ἡσθεὶς τῷ βρέφει, σωζόμενον ἔτι καθορῶν ἐν αὐτῷ σπινθῆρα μικρὸν ἐξ 25 ἑαυτοῦ, καὶ τὸ ἐντεῦθεν ἔτρεφεν ἐκεῖνο τὸ παιδίον, ἐξαγαγὼν *ἔκ θ'*
230A *αἵματος ἔκ τε κυδοιμοῦ | ἔκ τ' ἀνδροκτασίης*· ὁ πατὴρ δὲ ὁ Ζεὺς ἐκέλευσε καὶ τὴν Ἀθηνᾶν, τὴν ἀμήτορα, τὴν παρθένον, ἅμα τῷ Ἡλίῳ τὸ παιδάριον ἐκτρέφειν.

22 Hom. I 231 (εἰ μὴ σύ γε δύσεαι ἀλκήν) ‖ **26–27** cf. Hom. Λ 164 (ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ)

6 ὑπεικαθεῖν Cobet: -κάθειν V ‖ **8** ἐρέσθαι Cobet: ἔρε- V ‖ **11** ἐπικρατήσῃ V: -σει Hertlein ‖ **13** παροῦσαι V: -ιοῦσαι Klimek ‖ **22** ἢν V: εἰ Hom. | σοὶ Hertlein: ἔτι V ‖ **28** τὴν Ἀθηνᾶν, τὴν ἀμήτορα, τὴν παρθένον V: τὴν ἀμήτορα παρθένον Naber (coll. In Matrem 6 infra p. 63,7 παρθένος ἀμήτωρ et Misop. 22 infra p. 193,4 ὑπὸ τῆς ἀμήτορος παρθένου)

Ἐπεὶ δὲ ἐτράφη καὶ νεανίας ἐγένετο *πρῶτον ὑπηνήτης, τοῦπερ χαριεστάτη ἥβη*, κατανοήσας τῶν κακῶν τὸ πλῆθος, ὁπόσον τι περὶ τοὺς ξυγγενεῖς αὐτοῦ καὶ τοὺς ἀνεψιοὺς ἐγεγόνει, ἐδέησε μὲν αὐτὸν εἰς τὸν Τάρταρον προέσθαι πρὸς τὸ μέγεθος τῶν κακῶν
5 ἐκπλαγείς· ἐπεὶ | δ' ὁ Ἥλιος εὐμενὴς ὢν μετὰ τῆς Προνοίας B
Ἀθηνᾶς ὕπνον τινὰ καὶ κάρον ἐμβαλὼν τῆς ἐπινοίας ταύτης ἀπήγαγεν, αὖθις ἀνεγερθεὶς ἄπεισιν εἰς ἐρημίαν. Εἶτα ἐκεῖ λίθον τινὰ εὑρὼν μικρὸν ἀνεπαύσατο καὶ πρὸς αὐτὸν ἐσκόπει τίνα τρόπον ἐκφεύξεται τῶν τοσούτων κακῶν τὸ μέγεθος· ἤδη γὰρ
10 αὐτῷ πάντα ἐφαίνετο μοχθηρά, καλὸν δὲ οὐδὲν οὐδαμοῦ τέως. Ἑρμῆς οὖν αὐτῷ – καὶ γὰρ εἶχεν οἰ|κείως πρὸς αὐτόν – ὥσπερ C
ἡλικιώτης νεανίσκος φανεὶς ἠσπάσατό τε φιλοφρόνως καί, „Δεῦρο“ εἶπεν „ἡγεμών σοι ἐγὼ ἔσομαι λείας καὶ ὁμαλεστέρας ὁδοῦ τουτὶ {τὸ} μικρὸν ὑπερβάντι τὸ σκολιὸν καὶ ἀπότομον
15 χωρίον, οὗ πάντας ὁρᾷς προσπταίοντας καὶ ἀπιόντας ἐντεῦθεν ὀπίσω.“

Καὶ ὁ νεανίσκος ἀπιὼν ᾤχετο μετὰ πολλῆς εὐλαβείας, ἔχων παρ' ἑαυτῷ ξίφος τε καὶ ἀσπίδα καὶ μάχαιραν, γυμνὰ δὲ αὐτῷ τέως ἦν τὰ περὶ | τὴν κεφαλήν. Πεποιθὼς οὖν αὐτῷ προῆγεν εἰς D
20 τὸ πρόσω διὰ λείας ὁδοῦ καὶ ἀτρίπτου καθαρᾶς τε πάνυ καὶ καρποῖς βριθούσης ἄνθεσί τε πολλοῖς καὶ ἀγαθοῖς, ὅσα ἐστὶ θεοῖς φίλα, καὶ δένδρεσι κιττοῦ καὶ δάφνης καὶ μυρίνης.

Ἀγαγὼν δὲ αὐτὸν ἐπί τι μέγα καὶ ὑψηλὸν ὄρος „Ἐπὶ τούτου“ ἔφη „τῆς κορυφῆς ὁ πατὴρ πάντων κάθηται τῶν θεῶν. Ὅρα οὖν –
25 ἐνταῦθά ἐστιν ὁ μέγας κίνδυνος –, ὅπως αὐτὸν ὡς εὐαγέστατα προσκυνήσῃς, αἰτήσῃ δὲ παρ' αὐτοῦ ὅτι ἂν ἐθέλῃς· | ἕλοιο δέ, ὦ 231A
παῖ, τὰ βέλτιστα.“

1–2 cf. Hom. Ω 348 et κ 279 (πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη)

3 ἐδέησε: „deest μικροῦ“ Petavius, sed Iulianum etiam alibi verbo δέω sine μικροῦ vel ὀλίγου uti (ut Misop. 7 infra p. 180,9: ἐδέησα μὲν ἀποπνιγῆναι) monet Hertlein ‖ **5** δ' ὁ Boulenger[2], p. 47: δὲ V ‖ **6** ὕπνον aegre legitur in V, lacuna in U: λήθην coni. Petavius in mg. ‖ **13** λείας V: λειοτέρας Klimek **14** τὸ[1] del. Boulenger[2], p. 47 ‖ **18** δόρυ vel αἰχμὴν pro μάχαιραν (V) aut ἔγχος pro ξίφος (V) requirit Hertlein; cf. infra p. 46,17 (τήν τε ἀσπίδα καὶ τὸ ξίφος μετὰ τοῦ δόρατος) ‖ **19** προῆγεν Cobet: προσ- V ‖ **20** ἀτρίπτου Petavius: ἀθρύπτου V: ἀθορύβου Asmus[1] ‖ **22** μυρίνης V: μυρρ- Hertlein

Ταῦτα εἰπὼν ἀπέκρυψεν ἑαυτὸν Ἑρμῆς πάλιν· ὁ δὲ ἐβούλετο μὲν παρὰ τοῦ Ἑρμοῦ πυθέσθαι τί ποτε αἰτήσασθαι χρὴ παρὰ τοῦ πατρὸς τῶν θεῶν· ὡς δὲ πλησίον ὄντα οὐ κατεῖδεν, „Ἐνδεὴς μὲν“ ἔφη „καλὴ δὲ ὅμως ἡ ξυμβουλή. Αἰτώμεθα οὖν ἀγαθῇ τύχῃ τὰ κράτιστα, καίπερ οὔπω σαφῶς τὸν πατέρα τῶν θεῶν ὁρῶντες. Ὦ 5 Ζεῦ πάτερ, ἢ ὅτι σοι φίλον ὄνομα καὶ ὅπως ὀνομάζεσθαι – τουτὶ B γὰρ ἔμοιγε οὐδὲν διαφέρει –, δείκνυέ μοι τὴν | ἐπὶ σὲ φέρουσαν ὁδὸν ἄνω. Κρείττονα γάρ μοι τὰ ἐκεῖ φαίνεται χωρία παρὰ σέ, μαντευομένῳ τὸ παρὰ σοὶ κάλλος ἀπὸ τῆς ἐν τούτοις ὅθεν πεπορεύμεθα τέως ἀγλαΐας.“ 10

Εὐξαμένῳ ταῦτα εἴτε ὕπνος τις εἴτε ἔκστασις ἐπῆλθεν· ὁ δὲ αὐτῷ δείκνυσιν αὐτὸν τὸν Ἥλιον. Ἐκπλαγεὶς οὖν ὁ νεανίσκος ὑπὸ τῆς θέας „Ἀλλὰ σοὶ μέν“ εἶπεν „ὦ θεῶν πάτερ, τῶν τε ἄλλων καὶ C τούτων ἕνεκα πάντων ἐμαυτὸν φέρων ἀναθήσω.“ Περι|βάλλων δὲ τοῖς γόνασι τοῦ Ἡλίου τὰς χεῖρας ⟨***⟩ς εἴχετο σώζειν ἑαυτὸν 15 δεόμενος. Ὁ δὲ καλέσας τὴν Ἀθηνᾶν ἐκέλευε πρῶτον ἀνακρίνειν αὐτόν, ὁπόσα ἐκόμισεν ὅπλα. Ἐπεὶ δὲ ἑώρα τήν τε ἀσπίδα καὶ τὸ ξίφος μετὰ τοῦ δόρατος, „Ἀλλὰ ποῦ σοι“ ἔφη „ὦ παῖ, τὸ Γοργόνειον καὶ τὸ κράνος;“ Ὁ δέ „Καὶ ταῦτα“ εἶπε „μόγις ἐκτησάμην· οὐδεὶς γὰρ ἦν ὁ ξυμπονῶν ἐν τῇ τῶν συγγενῶν οἰκίᾳ παρερριμ- 20 D μένῳ.“ „Ἴσθι οὖν“ εἶπεν ὁ μέγας | Ἥλιος „ὅτι σε πάντως χρὴ ἐπανελθεῖν ἐκεῖ.“

Ἐνταῦθα ἐδεῖτο μὴ πέμπειν αὐτὸν ἐκεῖσε πάλιν, ἀλλὰ κατέχειν, ὡς οὐκέθ’ ὕστερον ἐπανήξοντα, ἀπολούμενον δὲ ὑπὸ τῶν ἐκεῖ κακῶν· ὡς δὲ ἐλιπάρει δακρύων, „Ἀλλὰ νέος εἶ“ ἔφη „καὶ 25 ἀμύητος. Ἴθι οὖν παρ’ ὑμᾶς, ὡς ἂν μυηθείης ἀσφαλῶς τε ἐκεῖ

4 ἔφη Hertlein: ἐφάνη V ‖ **5** οὔπω Petavius: οὕτω V ‖ **6–7** τουτὶ — διαφέρει ut glossam delevit Cobet ‖ **8** παρὰ σέ non bene intellego ‖ **14** περιβάλλων V: -βαλὼν Cobet ‖ **15** ……ς V, lacuna in U: ⟨ἰσχυρῶ⟩ς Guido: ⟨ἐμπαθῶ⟩ς Guida: ⟨λιπαρῶς⟩ Rochefort ‖ **16** ἀνακρίνειν in V sibi legere videbantur Cobet et Hertlein: …κρίνειν hodie legitur in V (item in U, ut iam sibi legere videbatur Petavius): διακρίνειν Spanheim ‖ **21** ἴσθι Horkel: τί V ‖ **22** ἐκεῖ V: ἐκεῖσε Hertlein („In V … post hoc vocabulum apparet vacuum spatium, quod duabus literis expleatur“) ‖ **24** κατέχειν: „fort. κατελεεῖν “ Hertlein in app. ‖ **26** μυηθείης Hertlein dubitanter in app., quod Wright in textu posuit: μυηθεὶς V: μυηθῇς Petavius (Hertlein in textu). An μυηθεὶς retinendum et τε post ἀσφαλῶς delendum? ὡς ἂν cum optativo finali Iulianus etiam alibi adhibet, v. praef. XXVI

διάγοις· χρὴ γάρ ⟨σ'⟩ ἀπιέναι καὶ καθαίρειν ἐκεῖνα πάντα τὰ ἀσεβήματα, παρακαλεῖν δὲ ἐμέ τε καὶ τὴν Ἀθηνᾶν καὶ τοὺς ἄλλους θεούς."

Ἀκούσας | ταῦτα ὁ νεανίσκος εἱστήκει σιωπῇ· καὶ ὁ μέγας 232A
5 Ἥλιος ἐπί τινα σκοπιὰν ἀγαγὼν αὐτόν, ἧς τὸ μὲν ἄνω φωτὸς ἦν πλῆρες, τὸ δὲ ὑποκάτω μυρίας ἀχλύος, δι' ἧς ὥσπερ δι' ὕδατος ἀμυδρὸν τὸ φῶς διικνεῖτο τῆς ἐκ τοῦ βασιλέως αὐγῆς Ἡλίου, „Ὁρᾷς" εἶπε „τὸν ἀνεψιόν, τὸν κληρονόμον;" Καὶ ὅς „Ὁρῶ" ἔφη. „Τί δέ; Τοὺς βουκόλους τουτουσὶ καὶ τοὺς ποιμένας;" Καὶ
10 τούτους ὁρᾶν εἶπεν ὁ νεανίσκος. „Ποταπὸς οὖν τίς σοι ὁ κληρο-|νόμος φαίνεται; Ποταποὶ δ' αὖ οἱ ποιμένες τε καὶ βουκόλοι;" Καὶ B ὁ νεανίσκος „Ὁ μέν μοι" ἔφη „δοκεῖ νυστάζειν τὰ πολλὰ καὶ καταδυόμενος λεληθότως ἡδυπαθεῖν, τῶν ποιμένων δὲ ὀλίγον μέν ἐστι τὸ ἀστεῖον, τὸ πλῆθος δὲ μοχθηρὸν καὶ θηριῶδες· ἐσθίει γὰρ
15 καὶ πιπράσκει τὰ πρόβατα καὶ ἀδικεῖ διπλῇ τὸν δεσπότην· τά τε γὰρ ποίμνια αὐτοῦ φθείρει καὶ ἐκ πολλῶν μικρὰ ἀποφέρον ἄμισθον εἶναί φησι καὶ ὀδύρεται. | Καίτοι κρεῖττον ἦν τοὺς C μισθοὺς ἀπαιτεῖν ἐντελεῖς ἢ φθείρειν τὴν ποίμνην. Ἂν οὖν" ἔφη „σὲ ἐγὼ μετὰ ταυτησὶ τῆς Ἀθηνᾶς, ἐπιτάττοντος τοῦ Διός, ἀντὶ
20 τοῦ κληρονόμου τούτου πάντων ἐπίτροπον τούτων καταστήσω —" Πάλιν ἐνταῦθα ὁ νεανίσκος ἀντείχετο καὶ πολλὰ ἱκέτευεν αὐτοῦ μένειν· ὁ δέ „Μὴ λίαν ἀπειθὴς ἔσο" φησί „μή ποτέ σ' *ἀπεχθήρω, ὡς νῦν ἔκπαγλ' ἐφίλησα*." Καὶ ὁ νεανίσκος „Ἀλλ', ὦ μέγιστε" εἶπεν „Ἥλιε καὶ Ἀθηνᾶ, σέ τε καὶ αὐτὸν ἐπιμαρτύρομαι
25 τὸν Δία, χρῆσθέ | μοι πρὸς ὅτι βούλεσθε." D

Πάλιν οὖν ὁ Ἑρμῆς ἄφνω φανεὶς ἐποίησε τὸν νεανίσκον θαρραλεώτερον· ἤδη γὰρ διενοεῖτο τῆς τε ὀπίσω πορείας καὶ τῆς ἐκεῖσε διατριβῆς εὑρηκέναι τὸν ἡγεμόνα. Καὶ ἡ Ἀθηνᾶ „Μάν-θανε" εἶπεν „ὦ λῷστε, πατρὸς ἀγαθοῦ τουτουὶ τοῦ θεοῦ καὶ ἐμὸν
30 βλάστημα· Τοῦτον" ἔφη „τὸν κληρονόμον οἱ βέλτιστοι μὲν οὐκ εὐφραίνουσι τῶν ποιμένων, οἱ κόλακες δὲ καὶ οἱ μοχθηροὶ δοῦλον

22 cf. Heliod. Aeth. V 12,3 (μηδ' ἄπιστος ἔσο) ‖ **22–23** cf. Hom. Γ 415 (μή … τὼς δέ σ' ἀπεχθήρω ὡς νῦν ἔκπαγλ' ἐφίλησα)

1 *διάγοις* V: *-ῃς* Hertlein | *σ'* add. Hertlein | *καθαίρειν* Petavius: *καθαιρεῖν* V ‖ **16–17** *ἀποφέρον ἄμισθον* Hertlein: *ἀποφέρων ἄμισθος* V ‖ **21** *ἱκέτευεν* V: *-σεν* U

233A καὶ ὑποχείριον πεποίηνται. Συμβαίνει οὖν αὐτῷ πα|ρὰ μὲν τῶν ἐπιεικῶν μὴ φιλεῖσθαι, παρὰ δὲ τῶν νομιζομένων φιλεῖν εἰς τὰ μέγιστα ἀδικεῖσθαι. Σκόπει οὖν ὅπως ἐπανελθὼν μὴ πρὸ τοῦ φίλου θήσει τὸν κόλακα.

Δευτέραν ἄκουέ μου παραίνεσιν, ὦ παῖ· νυστάζων οὗτος 5 ἐξαπατᾶται τὰ πολλά, σὺ δὲ νῆφε καὶ γρηγόρει, μή σε διὰ τῆς τοῦ φίλου παρρησίας ὁ κόλαξ ἐξαπατήσας λάθῃ, χαλκεὺς οἷά τις γέμων καπνοῦ καὶ μαρίλης, ἔχων ἱμάτιον λευκὸν καὶ τὰ B πρόσω|πα τῷ ψιμμυθίῳ κεχρισμένος, εἶτα αὐτῷ δοίης γῆμαί τινα τῶν σῶν θυγατέρων. 10

Τρίτης ἐπάκουέ μου παραινέσεως, καὶ μάλα ἰσχυρῶς φύλαττε σαυτόν, αἰδοῦ δὲ καὶ ἡμᾶς μόνον, ἀνδρῶν δὲ ὅστις ἡμῖν προσόμοιός ἐστιν, ἄλλον δὲ μηδένα· ὁρᾷς ὅπως τοῦτον τὸν ἠλίθιον ἔβλαψεν αἰσχύνη καὶ τὸ λίαν {ἄγαν} εἶναι καταπλῆγα."

Καὶ ὁ μέγας Ἥλιος αὖθις τὸν λόγον διαδεξάμενος εἶπεν· 15 C „Ἑλόμενος φίλους ὡς φίλοις | χρῶ, μηδὲ αὐτοὺς οἰκέτας μηδὲ θεράποντας νόμιζε, πρόσιθι δὲ αὐτοῖς ἐλευθέρως τε καὶ ἁπλούστατα καὶ γενναίως, μὴ λέγων μὲν ἄλλα, φρονῶν δὲ ἕτερα περὶ αὐτῶν. Ὁρᾷς ὅτι καὶ τοῦτον τὸν κληρονόμον τοῦτο ἐπέτριψεν, ἡ πρὸς τοὺς φίλους ἀπιστία. Φίλει τοὺς ἀρχομένους ὥσπερ ἡμεῖς σέ. 20 Τὰ πρὸς ἡμᾶς ἡγείσθω σοι τῶν καλῶν ἁπάντων· ἐσμὲν γάρ σου D καὶ εὐεργέται καὶ φίλοι | καὶ σωτῆρες."

Ἀκούσας ταῦτα ὁ νεανίσκος διεχύθη καὶ δῆλος ἦν ἅπαντα ἤδη τοῖς θεοῖς πειθόμενος. „Ἀλλ' ἴθι" ἔφη „πορεύου μετὰ ἀγαθῆς ἐλπίδος· ἡμεῖς γάρ σοι πανταχοῦ συνεσόμεθα ἐγώ τε καὶ Ἀθηνᾶ 25 καὶ Ἑρμῆς ὅδε καὶ σὺν ἡμῖν οἱ θεοὶ πάντες οἱ ἐν Ὀλύμπῳ καὶ οἱ περὶ τὸν ἀέρα καὶ τὴν γῆν καὶ πᾶν πανταχοῦ τὸ θεῖον γένος, ἕως ⟨ἂν⟩ τά τε πρὸς ἡμᾶς ὅσιος ᾖς καὶ τὰ πρὸς τοὺς φίλους πιστὸς καὶ 234A τὰ πρὸς τοὺς ὑπη⟨κόους⟩ φιλάνθρωπος, ἄρ|χων αὐτῶν καὶ

7–8 Suda μ 196 (χαλκεὺς οἷά τις γέμων καπνοῦ καὶ μαρίλης)

4 θήσει V: -σεις vet. vulg. ‖ **7** λάθῃ V: de λάθοι cog. Hertlein (cf. sequens δοίης) ‖ **9** ψιμμυθίῳ V: ψιμυ- Hertlein | δοίης V: de δῷς cog. Hertlein (cf. antecedens λάθῃ) ‖ **14** ἄγαν del. Cobet ‖ **23** διεχύθη vet. vulg.: -χέθη V **27–28** ἕως ⟨ἂν⟩ Hertlein: post ἕως macula duarum litterarum in V (lacuna in U): ὡς Petavius ‖ **29** ὑπη⟨κόους⟩ Spanheim: υπη..... V (macula sequente), lacuna 8 litterarum in U

ἡγούμενος ἐπὶ τὰ βέλτιστα, ἀλλὰ μήτε ταῖς ἑαυτοῦ μήτε ἐκείνων ταῖς ἐπιθυμίαις δουλεύων ὑπεικάθῃς.

Ἔχων οὖν ⟨τὴν⟩ πανοπλίαν, ἣν ἐκόμισας πρὸς ἡμᾶς, ἄπιθι προσλαβὼν ταύτην μὲν τὴν δᾷδα παρ' ἐμοῦ, ἵνα σοι καὶ ἐν τῇ γῇ 5 φῶς λάμπῃ μέγα καὶ μηθὲν ἐπιποθῇς τῶν τῇδε, ταύτης δὲ Ἀθηνᾶς τῆς καλῆς τό τε Γοργόνειον καὶ τὸ κράνος· πολλὰ γάρ, ὁρᾷς, ἐστὶν αὐτῇ, καὶ δίδωσιν οἷς ἂν ἐθέ|λῃ. Δώσει δέ σοι καὶ B Ἑρμῆς χρυσῆν ῥάβδον. Ἔρχου οὖν τῇ πανοπλίᾳ κοσμηθεὶς ταύτῃ διὰ πάσης μὲν γῆς, διὰ πάσης δὲ θαλάττης, ἀμετακινήτως τοῖς 10 ἡμετέροις πειθόμενος νόμοις, καὶ μηδείς σε μήτε ἀνδρῶν μήτε γυναικῶν, μήτε τῶν οἰκείων μήτε τῶν ξένων ἀναπείσῃ ἐντολῶν ἐκλαθέσθαι τῶν ἡμετέρων. Ἐμμένων γὰρ αὐταῖς ἡμῖν μὲν ἔσῃ φίλος καὶ τίμιος, αἰδοῖος δὲ τοῖς ἀγαθοῖς ἡμῶν ὑπηρέταις, φοβερος δὲ ἀνθρώποις πονηροῖς καὶ κακοδαίμοσιν. | Ἴσθι δὲ C 15 σεαυτῷ τὰ σαρκία δεδόσθαι λειτουργίας εἵνεκα ταυτησί· βουλόμεθα γάρ σοι τὴν προγονικὴν οἰκίαν, αἰδοῖ τῶν προγόνων, ἀποκαθῆραι. Μέμνησο οὖν ὅτι τὴν ψυχὴν ἀθάνατον ἔχεις καὶ ἔκγονον ἡμετέραν, ἑπόμενός τε ἡμῖν ὅτι θεὸς ἔσῃ καὶ τὸν ἡμέτερον ὄψει σὺν ἡμῖν πατέρα.“

20 [23] Τοῦτο εἴτε μῦθος εἴτε ἀληθής ἐστι λόγος οὐκ οἶδα· τὸ παρὰ σοῦ δὲ πεποιημένον, τίνα βούλει τὸν Πᾶνα, τίνα δὲ εἶναι τὸν Δία, εἰ μὴ τοῦτο, ὡς ἐσμὲν ἐ|γώ τε καὶ σύ, σὺ μὲν ὁ Ζεύς, ἐγὼ δὲ D ὁ Πάν; Ὢ τοῦ γελοίου Ψευδόπανος, γελοιοτέρου μέντοι, νὴ τὸν Ἀσκληπιόν, τοῦ πάντα μᾶλλον ἢ Διὸς ἀνθρώπου. Ταῦτα οὐκ 25 ἔστιν ἀτεχνῶς ἐκ {τοῦ} *μαινομένου στόματος* οὔτι τὴν ἔνθεον, ἀλλὰ τὴν ἔκπληκτον μανίαν;

25 Heraclit. VS 22 B 92 (μαινομένωι στόματι)

1 ταῖς V[2] (τ ˆς V), inter *μήτε* et *μήτε* lacuna in U: *μὲν* [sic] Spanheim ἑαυτοῦ aegre legitur in V: σε- Hertlein ‖ **1–2** ἐκείνων ταῖς V: ταῖς ἐκ. Cobet ‖ **3** τὴν ante πανοπλίαν add. Hertlein in app. | πανοπλίαν ἥν U: παν........ V (macula insequente) | ἐκόμισας V: -σε ex U Petavius (qui aliquid ante ἐκόμισε excidisse censet in mg.) ‖ **5** μηθὲν V: -δὲν Hertlein | ταύτης V: ταυτησί Cobet ‖ **11** τῶν ante ἐντολῶν add. Hertlein in app. ‖ **15** τῆς ante λειτουργίας add. Hertlein ‖ **22** τοῦτο Hertlein in app. (Wright in textu): -τον V | ἐγὼ δέ Petavius: ἐγώ τε V ‖ **23** Ψευδόπανος Petavius: Ψευδοπανός V **25** τοῦ del. Hertlein in app. (Wright in textu) ‖ **26** ἔκπληκτον V: ἔμπλ- Asmus[1] (coll. Misop. 29 infra p. 200,12; sed cf. Luc. Hermot. 18: ἔκπληκτον … καὶ κυνικόν)

Οὐκ οἶσθα ὅτι καὶ ὁ Σαλμωνεὺς ἔδωκεν ὑπὲρ τούτων τοῖς θεοῖς
235A δίκην ὅτι ἄνθρωπος ὢν ἐπε|χείρει Ζεὺς εἶναι; Τὸ δὲ ἐκ τῶν Ἡσιό-
δου λεγόμενον ὑπὲρ τῶν ὀνομασάντων ἑαυτοὺς τοῖς τῶν θεῶν
ὀνόμασιν, Ἥρας τε καὶ Διός, εἰ μήπω καὶ νῦν ἀκήκοας, ἔχω σοι
συγγνῶναι· οὐδὲ γὰρ ἐπαιδοτριβήθης καλῶς οὐδὲ ἔτυχες καθηγε- 5
μόνος ὁποίου περὶ τοὺς ποιητὰς ἐγὼ τουτουὶ τοῦ φιλοσόφου, μεθ'
ὃν ἐπὶ τὰ πρόθυρα τῆς φιλοσοφίας ἦλθον ὑπ' ἀνδρὶ τελεσθησόμε-
B νος ὃν νενόμικα τῶν | κατ' ἐμαυτὸν πάντων διαφέρειν. Ὁ δέ με
πρὸ πάντων ἀρετὴν ἀσκεῖν καὶ θεοὺς ἁπάντων τῶν καλῶν
νομίζειν ἡγεμόνας ἐδίδασκεν. Εἰ μὲν οὖν τι προὔργου πεποίηκεν, 10
αὐτὸς ἂν εἰδείη καὶ πρὸ τούτου γε οἱ βασιλεῖς θεοί· τουτοῒ δὲ
ἐξῄρει τὸ μανιῶδες καὶ θρασύ, καὶ ἐπειρᾶτό με ποιεῖν ἐμαυτοῦ
σωφρονέστερον.

Ἐγὼ δὲ καίπερ, ὡς οἶσθα, τοῖς ἔξωθεν πλεονεκτήμασιν
ἐπτερωμένος ὑπέταξα ὅμως ἐμαυτὸν τῷ καθηγεμόνι καὶ τοῖς 15
C ἐκείνου | φίλοις καὶ ⟨τοῖς⟩ ἡλικιώταις καὶ συμφοιτηταῖς, καὶ ὧν
ἤκουον ἐπαινουμένων παρ' αὐτοῦ, τούτων ἔσπευδον ἀκροατὴς
εἶναι, καὶ βιβλία ταῦτα ἀνεγίγνωσκον, ὁπόσα αὐτὸς δοκιμάσειεν.
Οὕτως ἡμεῖς ὑφ' ἡγεμόσι τελούμενοι, φιλοσόφῳ μὲν τῷ τὰ τῆς
προπαιδείας με τελέσαντι, φιλοσοφωτάτῳ δὲ τῷ τὰ πρόθυρα τῆς 20
φιλοσοφίας δείξαντι, σμικρὰ μὲν διὰ τὰς ἔξωθεν ἡμῖν προσπεσού-
σας ἀσχολίας, ὅμως δ' οὖν ἀπηλαύσαμεν τῆς ὀρθῆς ἀγωγῆς, οὐ
D τὴν σύντο|μον, ἥν σὺ φῄς, ἀλλὰ τὴν κύκλῳ πορευθέντες. Καίτοι,
νὴ τοὺς θεούς, ἐπὶ τὴν ἀρετὴν οἶμαι ὅτι σου συντομωτέραν
ἐτραπόμην· ἐγὼ μὲν γὰρ αὐτῆς, εἰ μὴ φορτικὸν εἰπεῖν, ἐπὶ τοῖς 25
προθύροις ἕστηκα, σὺ δὲ καὶ τῶν προθύρων εἶ πόρρω. *Σοὶ δὲ
ἀρετῆς ἢ τοῖς σοῖς ἀδελφοῖς* – ἀφελὼν δὲ τὸ δύσφημον τὸ λειπόμενον

2–4 Hes. fr. 15 M.-W. ‖ **26–27** cf. Dem. or. 18,128 (σοὶ δ' ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς τίς μετουσία;)

5 συγγνῶναι V: συγγνώμην U | καλῶς U: κα... V (καλ V[2]) ‖ **7** ὃν V: οὗ Klimek[3] ‖ **8** νενόμικα Hertlein: ἐνόμισας V: ἐνόμισα Petavius in mg. **11** τουτοῒ V: τουτὶ Hertlein ‖ **15** ἐπτερωμένος V: ἀνεπτ- Cobet ‖ **16** τοῖς add. Boulenger[2], p. 49 ‖ **22** ἀπηλαύσαμεν V (cf. Iuliani ipsius or. 1,30 p. 37B , epist. 111 p. 189,8 Bidez et, e.g., Dion. Hal. AR IX 46,2 ἀπήλαυσαν οὐδενός, Themist. or. 26 p. 316d Σοφοκλέους ἀπηλαύσαμεν, 318c ἀπήλαυσε τῆς φιλανθρωπίας, Lib. ep. 225,1. 353,1. 792,1. 1021,3): ἀπελαύσαμεν Reiske **26** σοὶ Petavius in mg.: σὺ V

αὐτὸς ἀναπλήρωσον· εἰ βούλει δέ, καὶ παρ' ἡμῶν αὐτὸ ἀνάσχου *πρᾴως λεγόμενον – τίς μετουσία;* |

Πᾶσιν ἐπιτιμᾷς αὐτὸς οὐδὲν ἄξιον ἐπαίνου πράττων, ἐπαινεῖς 236A
φορτικῶς ὡς οὐδεὶς τῶν ἀμαθεστάτων ῥητόρων, οἷς διὰ τὴν τῶν
5 λόγων ἀπορίαν καὶ τὸ μὴ ἔχειν εὑρεῖν ἐκ τῶν παρόντων ὅτι φῶσιν, ἡ Δῆλος ἐπέρχεται καὶ ἡ Λητὼ μετὰ τῶν παίδων, εἶτα κύκνοι λιγυρὸν ᾄδοντες καὶ ἐπηχοῦντα αὐτοῖς τὰ δένδρα, λειμῶνές τε ἔνδροσοι μαλακῆς πόας καὶ βαθείας πλήρεις, ἥ τε ἐκ τῶν ἀνθέων ὀδμὴ καὶ τὸ ἔαρ αὐτὸ | καί τινες εἰκόνες τοιαῦται. Ποῦ B
10 τοῦτο Ἰσοκράτης ἐν τοῖς ἐγκωμιαστικοῖς ἐποίησε λόγοις; Ποῦ δὲ τῶν παλαιῶν τις ἀνδρῶν, οἳ ταῖς Μούσαις ἐτελοῦντο γνησίως, ἀλλ' οὐχ ὥσπερ οἱ νῦν; Ἀφίημι δὲ τὰ ἑξῆς, ἵνα μὴ καὶ πρὸς τούτους ἀπεχθανόμενος ἅμα τοῖς τε φαυλοτάτοις τῶν Κυνικῶν καὶ τῶν ῥητόρων προσκρούσαιμι· ὡς ἔμοιγε πρός τε τοὺς κρατίστους
15 τῶν Κυνικῶν, εἴ τις ἄρα ἔστι νῦν τοιοῦτος, καὶ πρὸς τοὺς | γενναί- C
ους ῥήτοράς ἐστι φ⟨ίλα⟩ πάντα.

[24] Τῶν μὲν δὴ τοιούτων λόγων, εἰ καὶ πολὺ πλῆθος ἐπιρρεῖ – καὶ οὐκ ἔστιν ὅσον οὐχὶ λέγειν ἐθέλων τις ἐκ πάνυ δαψιλοῦς ἀντλήσειε τοῦ πίθου –, τῆς προκειμένης ἡμῖν ἀσχολίας εἵνεκεν
20 ἀφέξομαι. Μικρὰ δὲ ἔτι τῷ λόγῳ προσθεὶς ὥσπερ ὀφλήματι τὸ ἐνδέον ἐπ' ἄλλο τι τρέψομαι, ταυ|τηνὶ τὴν ξυγγραφὴν αὐτοῦ που D
πληρώσας.

Τίς οὖν ἡ τῶν Πυθαγορικῶν εὐλάβεια περὶ τὰ τῶν θεῶν ὀνόματα, τίς δὲ ἡ Πλάτωνος; Ποδαπὸς δὲ ἦν ἐν τούτοις Ἀριστοτέ-
25 λης; Ἆρ' οὐκ ἄξιον αὐτὸ ἰδεῖν; Ἢ τὸν μὲν Σάμιον οὐδεὶς ἀντερεῖ τοιοῦτον γενέσθαι – καὶ γὰρ οὐ τὸ ὀνόματα θεῶν ἐν τῇ σφραγῖδι φορεῖν ἐπέτρεπεν οὐδὲ τὸ ὅρκῳ χρῆσθαι προπετῶς τοῖς τῶν θεῶν ὀνόμασιν· εἰ δὲ νῦν λέγοιμι ὅτι καὶ εἰς Αἴγυπτον | ἐπορεύθη καὶ 237A
Πέρσας εἶδε καὶ πανταχοῦ πάντα ἐπειράθη τὰ μυστήρια τῶν θεῶν
30 ἐποπτεῦσαι καὶ τελεσθῆναι παντοίας πανταχοῦ τελετάς, ἐρῶ μὲν

2 cf. Xen. Anab. I 5,14 (πρᾴως λέγοι), Plat. Leg. 888a (λέγωμεν πρᾴως)
19 cf. Theocr. Id. 10,13 (ἐκ πίθω ἀντλεῖς δῆλον)

11 τις aegre legitur in V, om. U | ἀνδρῶν U: αν.... V (macula insequente)
16 φ⟨ίλα⟩ Cobet: φ... V (macula insequente): φιλ⟨ικά⟩ Petavius (ex φιλ... U)
19 ἀντλήσειε τοῦ V: ἀντλήσειεν ἂν Hertlein ‖ **24** ποδαπὸς V: ποτ- Cobet (cf. cap. 22 supra p. 47,10s., bis) ‖ **26–27** οὐ — οὐδὲ V: οὔτε — οὔτε Cobet
26 ὀνόματα Cobet: ὄνομα V ‖ **27** τὸ Cobet: τῷ V

ἴσως ἄγνωστά σοι, γνώριμα μέντοι καὶ σαφῆ τοῖς πολλοῖς –, ἀλλὰ τοῦ Πλάτωνος ἄκουε· „Τὸ δ' ἐμὸν δέος, ὦ Πρώταρχε, πρὸς τὰ τῶν θεῶν ὀνόματα οὐκ ἔστι κατὰ ἄνθρωπον, ἀλλὰ πέρα τοῦ μεγίστου φόβου. Καὶ νῦν τὴν μὲν Ἀφροδίτην, ὅπῃ ἐκείνῃ φίλον, B ταύτῃ προσαγορεύω· τὴν δ' ἡδονὴν οἶδα ὡς | ἔστι ποικίλον." 5 Ταῦτα ἐν Φιλήβῳ λέγεται, καὶ τοιαῦτα ἕτερα πάλιν ἐν Τιμαίῳ· πιστεύειν γὰρ ἁπλῶς ἀξιοῖ καὶ χωρὶς ἀποδείξεως λεγομένοις ὅσα ὑπὲρ τῶν θεῶν φασιν οἱ ποιηταί.

Ταῦτα δὲ παρέθηκα μή ποτέ σοι παράσχῃ πρόφασιν, ὥσπερ οἶμαι τῶν Πλατωνικῶν πολλοῖς, ὁ Σωκράτης εἴρων ὢν φύσει τὴν 10 C Πλατωνικὴν ἀτιμάσαι δόξαν. Ἐκεῖ γὰρ οὐχ ὁ Σωκράτης, ἀλλ' | ὁ Τίμαιος ταῦτα λέγει ἥκιστα ὢν εἴρων. Καίτοι τοῦτό γέ ἐστιν οὐχ ὑγιὲς μὴ τὰ λεγόμενα ἐξετάζειν, ἀλλὰ τοὺς λέγοντας, καὶ τὸ πρὸς τίνας οἱ λόγοι γίγνονται. Βούλει ⟨***⟩ τὸ μετὰ τοῦτο τὴν πάνσοφον ὑπαγορεύσω σειρῆνα, τὸν τοῦ λογίου τύπον Ἑρμοῦ, ⟨τὸν τῷ⟩ 15 Ἀπόλλωνι καὶ ταῖς Μούσαις φίλον; Ἐκεῖνος ἀξιοῖ τοὺς ἐπερωτῶντας ἢ ⟨ζητεῖν⟩ ὅλως ἐπιχειροῦντας εἰ θεοί εἰσιν οὐχ ὡς ἀνθρώπους D ἀποκρίσεως τυγχάνειν, ἀλλ' ὡς τὰ θηρία κο|λάσεως. Εἰ δὲ ἀνεγνώκεις τὸν συστατικὸν αὐτοῦ ⟨νόμον, ὅς⟩ ὥσπερ τῆς Πλάτωνος, οὕτω δὴ καὶ τῆς ἐκείνου διατριβῆς προυγέγραπτο, ἔγνως ἂν 20

2–5 Plat. Phileb. 12c (Τὸ δ' ἐμὸν δέος, ὦ Πρώταρχε, ἀεὶ πρὸς τὰ τῶν θεῶν ὀνόματα οὐκ ἔστι κατ' ἄνθρωπον, ἀλλὰ πέρα τοῦ μεγίστου φόβου. καὶ νῦν τὴν μὲν Ἀφροδίτην, ὅπῃ ἐκείνῃ φίλον, ταύτῃ προσαγορεύω· τὴν δὲ ἡδονὴν οἶδα ὡς ἔστι ποικίλον) ‖ **6** cf. Plat. Tim. 40d ‖ **16–18** cf. Arist. Top. I 10 p. 105a4–6 (οἱ μὲν γὰρ ἀποροῦντες „πότερον δεῖ τοὺς θεοὺς τιμᾶν καὶ τοὺς γονεῖς ἀγαπᾶν ἢ οὔ" κολάσεως δέονται)

7 λεγομένοις vet. vulg.: -ης V ‖ **14** spatium maculosum 6 fere litterarum in V, lacuna in U: δῆτα suppl. Cobet, δήποτε Rochefort: possis etiam ⟨οὖν ἔτι⟩ (cf. In Solem 40 infra p. 168,9: Βούλει οὖν ἔτι σοι τούτου φράσω μεῖζον τεκμήριον); „deinceps" iam Petavius in versione Latina ‖ **15** ⟨τὸν τῷ⟩ Ἀπόλλωνι Cobet: ....ωνι V (spatio maculoso 14 fere litterarum antecedente), inter Ἑρμοῦ et Ἀπόλωνι [sic] lacuna in U: τὸν Ἀπόλλωνι Spanheim ‖ **17** ἢ ⟨ζητεῖν⟩ ὅλως Hertlein: ....ως V (spatio maculoso 7 fere litterarum antecedente), ἢ .... εῖν ὅλως V^2, inter ἢ (?) et ὅλως lacuna in U: καὶ ὅλως Petavius („aut utcumque" in versione Latina) ‖ **19** συστατικὸν Cobet: ἀστατ- V: εὐστατ- Spanheim: ἐνστατ- Reiske | ⟨νόμον, ὅς⟩ Bouffartigue 1992: macula 10 fere litterarum in V, lacuna in U: ⟨λόγον, ὅς⟩ Cobet ‖ **20** δὴ Cobet: δὲ V

πρὸ πάντων, ὅτι τὸ πρὸς τοὺς θεοὺς εὐσεβεῖς εἶναι καὶ μεμυῆσθαι πάντα τὰ μυστήρια καὶ τετελέσθαι τὰς ἁγιωτάτας τελετὰς καὶ διὰ πάντων τῶν μαθημάτων ἧχθαι τοῖς εἴσω τοῦ Περιπάτου βαδίζουσι προηγορεύετο. |

5 [25] Σὺ δὲ ὅπως ἡμῖν μὴ τὸν Διογένη προβαλὼν ὥσπερ τι μορμολύκειον ἐκφοβήσῃς· οὐ γὰρ ἐμυήθη, φησίν, ἀλλὰ καὶ πρὸς τὸν ⟨προ⟩τρεπόμενον ἐκμυηθῆναι „Γελοῖον“ εἶπεν „ὦ νεανίσκε, εἰ τοὺς μὲν τελώνας οἴει ταύτης ἕνεκα τῆς τελετῆς κοινωνήσειν τοῖς θείοις τῶν ἐν Ἅιδου καλῶν, Ἀγησίλαον δὲ καὶ Ἐπαμινώνδαν ἐν 10 τῷ βορβόρῳ κεῖσθαι.“ 238A

Τοῦτο, ὦ νεανίσκε, βαθὺ λίαν ἐστὶ καὶ δεόμενον ἐξηγήσεως, ὡς ἐμαυτὸν πείθω, | μείζονος, ὅπως ἡμῖν αὐταὶ δοῖεν αἱ θεαὶ τὴν ἐπίνοιαν· νομίζω δὲ αὐτὴν ἤδη καὶ δεδόσθαι. Φαίνεται γὰρ ὁ Διογένης οὐχ, ὥσπερ ὑμεῖς ἀξιοῦτε, δυσσεβής, ἀλλ' ἐκείνοις, ὧν 15 μικρῷ πρόσθεν ἐπεμνήσθην, προσόμοιος· ἀπιδὼν γὰρ εἰς τὴν περίστασιν τὴν καταλαβοῦσαν αὐτόν, εἶτα εἰς τὰς ἐντολὰς βλέπων τοῦ Πυθίου καὶ συνεὶς ὅτι τὸν μυούμενον ἐχρῆν πολιτογραφηθῆναι πρό|τερον καὶ Ἀθηναῖον, εἰ καὶ μὴ φύσει, τῷ νόμῳ δὲ γενέσθαι, τοῦτο ἔφυγεν, οὐ τὸ μυηθῆναι, νομίζων αὑτὸν εἶναι τοῦ κόσμου 20 πολίτην, καὶ ταῖς ὅλαις τῶν θεῶν οὐσίαις, αἳ τὸν ὅλον κοινῇ κόσμον ἐπιτροπεύουσιν, ἀλλ' οὐ ταῖς τὰ μέρη κατανειμαμέναις αὐτοῦ, διὰ μεγαλοφροσύνην ἀξιῶν συμπολιτεύεσθαι· τό τε νόμιμον οὐ παρέβη αἰδοῖ τῶν θεῶν, καίτοι τἆλλα πατῶν καὶ | παραχαράττων, αὑτόν τε οὐκ ἐπανήγαγεν, ὅθεν ἄσμενος ἠλευθέ- 25 ρωτο. Τί δ' ἦν τοῦτο; Τὸ πόλεως μιᾶς δουλεῦσαι νόμοις ἑαυτόν τε ὑποθεῖναι τούτῳ ὅπερ ἦν ἀνάγκη παθεῖν Ἀθηναίῳ γενομένῳ. B C D

7–10 cf. Diog. Laert VI 39 („γελοῖον“, ἔφη, „εἰ Ἀγησίλαος μὲν καὶ Ἐπαμεινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν, εὐτελεῖς δέ τινες μεμυημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται.“)

1 τὸ Boulenger[2], p. 49: τὰ V ‖ **4** προηγορεύετο V: -ηγόρευτο Cobet **5** προβαλὼν vet. vulg.: προσ- V ‖ **6** μορμολύκειον V: -λυκεῖον Hertlein ἐκφοβήσῃς V: -σεις Cobet | φησίν V: φα- Hertlein (v. praef. XXV) **7** ⟨προ⟩τρεπόμενον Petavius in mg.: τρεπ. V | ἐκμυηθῆναι (quae vox tantum hoc loco invenitur) V: μυ- Reiske ‖ **9** θείοις Rochefort: θεοῖς V: ὁσίοις Cobet ‖ **10** κεῖσθαι V: κείσεσθαι Wyttenbach ‖ **12** ὅπως V: ὁποίας Hertlein in app. ‖ **16** αὑτόν scribendum? ‖ **17** συνεὶς V: συνιεὶς Hertlein in app. ‖ **18** δὲ V: γε Reiske ‖ **19** αὑτὸν vet. vulg.: αὐ- V ‖ **24** αὑτὸν vet. vulg.: αὐ- V

Πῶς γὰρ οὐκ ἔμελλεν ὁ τῶν θεῶν εἵνεκεν εἰς Ὀλυμπίαν βαδίζων, ὁ τῷ Πυθίῳ πεισθεὶς καὶ φιλοσοφήσας ὥσπερ Σωκράτης {ὕστερον ὡς Ἀριστοτέλης} – φησὶ γὰρ καὶ αὐτὸς εἶναι Πύθιον
239A οἴκοι παρ’ ἑαυτῷ, ὅθεν αὐτῷ καὶ ἡ ὁρμὴ πρὸς φιλοσοφίαν | ἐγένετο – {μὴ} παριέναι τῶν ἀνακτόρων εἴσω καὶ μάλα ἀσμένως, 5 εἰ μὴ τοῦτο ἐξέκλινε, τὸ ὑποθεῖναι νόμοις ἑαυτὸν καὶ δοῦλον ἀποφῆναι πολιτείας; Ἀλλὰ διὰ τί μὴ ταύτην αὐτὴν εἶπε τὴν αἰτίαν, ἐκ τῶν ἐναντίων δὲ τὴν παραιρουμένην οὐ σμικρὰ τῆς τῶν μυστηρίων σεμνότητος; Ἴσως μὲν ἄν τις τὰ τοιαῦτα καὶ Πυθαγόρᾳ μάλιστα ἐπισκήψειεν, οὐκ ὀρθῶς λογιζόμενος· οὔτε γὰρ 10 ῥητέον πάντα ἐστίν, αὐτῶν τε οἶμαι τούτων, ὧν θέμις φάναι, ἔνια
B πρὸς ⟨τοὺς⟩ πολλοὺς σιωπητέον εἶναί μοι | φαίνεται.

Φανερὰ δὲ ὅμως ἐστὶ καὶ τούτων ἡ αἰτία· κατανοήσας γὰρ ἀμελοῦντα μὲν τῆς περὶ τὸν βίον ὀρθότητος, ἐπὶ δὲ τῷ μεμυῆσθαι μεγαλοφρονοῦντα τὸν παραινοῦντα αὐτῷ τοιαῦτα, σωφρονίζων 15 ἅμα καὶ διδάσκων αὐτὸν ὅτι τούτοις μέν, οἷς ἀξίως τοῦ μυηθῆναι βεβίωται, καὶ μὴ μυηθεῖσιν οἱ θεοὶ τὰς ἀμοιβὰς ἀκεραίους φυλάττουσι, τοῖς δὲ μοχθηροῖς οὐδέν ἐστι πλέον, κἂν εἴσω τῶν ἱερῶν
C εἰσ|φρήσωσι περιαύλων. Ἦ γὰρ οὐ ταῦτα καὶ ὁ ἱεροφάντης προαγορεύει, „ὅστις χεῖρα μὴ καθαρὸς καὶ ὅντινα μὴ χρή“ τούτοις 20 ἀπαγορεύων μὴ μυεῖσθαι; Τί πέρας ἡμῖν ἔσται τῶν λόγων, εἰ ταῦτα μήπω σε πείθει;

1 οὐκ del. Reiske ‖ **3** ὕστερον ὡς Ἀριστοτέλης del. Hertlein (ὡς Ἀριστοτέλης iam Petavius) ‖ **5** μή del. Hertlein (οὐκ antecedenti servato) ‖ **7** αὐτὴν om. Petavius (fortasse casu) ‖ **12** τοὺς add. Hertlein ‖ **15** μεγαλοφρονοῦντα V: μέγα φρον- Cobet (sed μεγαλοφρονεῖν iam usque a Xenophonte [Hell. VI 2,39] in Graecitate invenitur atque e.g. etiam a Libanio nonnullis locis adhibetur) | „Deest ἔλεγε aut simile aliud“ Petavius in mg. ‖ **17** ἀκεραίους V: -ως vet. vulg. ‖ **19** περιαύλων V: -βόλων vet. vulg. | Ἦ Guido: ἢ V

Ἰουλιανοῦ Αὐτοκράτορος Εἰς τὴν Μητέρα τῶν θεῶν

[1] Ἆρά γε χρὴ φάναι καὶ ὑπὲρ τούτων; Καὶ ὑπὲρ τῶν ἀρρήτων γράψομεν καὶ τὰ ἀνέξοιστα καὶ τὰ ἀνεκλάλητα ἐκλαλήσομεν; Τίς μὲν ὁ | Ἄττις ἤτοι Γάλλος, τίς δὲ ἡ τῶν θεῶν Μήτηρ, καὶ ὁ τῆς ἁγνείας ταυτησὶ τρόπος ὁποῖος, καὶ προσέτι τοῦ χάριν οὑτωσὶ τοιοῦτος ἡμῖν ἐξ ἀρχῆς κατεδείχθη, παραδοθεὶς μὲν ὑπὸ τῶν ἀρχαιοτάτων Φρυγῶν, παραδεχθεὶς δὲ πρῶτον ὑφ' Ἑλλήνων, καὶ τούτων οὐ τῶν τυχόντων, ἀλλ' Ἀθηναίων, ἔργοις διδαχθέντων ὅτι μὴ καλῶς ἐτώθασαν ἐπὶ τῷ τελοῦντι τὰ ὄργια τῆς Μητρός; 158D 159A

Λέγονται γὰρ οὗτοι περιυβρίσαι καὶ ἀπελάσαι τὸν Γάλλον ὡς | τὰ θεῖα καινοτομοῦντα, οὐ ξυνέντες ὁποῖόν τι τῆς θεοῦ τὸ χρῆμα καὶ ὡς ἡ παρ' αὐτοῖς τιμωμένη Δηὼ καὶ Ῥέα καὶ Δημήτηρ. Εἶτα μῆνις τὸ ἐντεῦθεν τῆς θεοῦ καὶ θεραπεία τῆς μήνιδος· ἡ γὰρ ἐν πᾶσι τοῖς καλοῖς ἡγεμὼν γενομένη τοῖς Ἕλλησιν, ἡ τοῦ Πυθίου πρόμαντις θεοῦ, ⟨τὴν⟩ τῆς Μητρὸς τῶν θεῶν μῆνιν ἐκέλευσεν ἱλάσκεσθαι, καὶ ἀνέστη, φασίν, ἐπὶ τούτῳ τὸ Μητρῷον, οὗ τοῖς Ἀθηναίοις δημοσίᾳ πάντα ἐφυλάττετο τὰ γραμματεῖα. B

Μετὰ δὴ τοὺς | Ἕλληνας αὐτὰ Ῥωμαῖοι παρεδέξαντο, συμβουλεύσαντος καὶ αὐτοῖς τοῦ Πυθίου ἐπὶ τὸν πρὸς Καρχηδονίους πόλεμον ἄγειν ἐκ Φρυγίας τὴν θεὸν σύμμαχον. Καὶ οὐδὲν ἴσως κωλύει προσθεῖναι †μικροῦ ἱστορίαν† ἐνταῦθα. C

[2] Μαθόντες γὰρ τὸν χρησμὸν στέλλουσιν οἱ τῆς θεοφιλοῦς οἰκήτορες Ῥώμης πρεσβείαν αἰτήσουσαν παρὰ τῶν Περγαμηνῶν βασιλέων, οἳ τότε ἐκράτουν τῆς Φρυγίας, καὶ παρ' αὐτῶν δὲ τῶν Φρυγῶν τῆς θεοῦ τὸ ἁγιώτατον ἄγαλμα· λα|βόντες δὲ ἦγον τὸν ἱερὸν φόρτον ἐνθέντες εὐρείᾳ φορτίδι πλεῖν εὐπετῶς δυναμένῃ τὰ D

tit. titulum in nullo codice servatum prima exhibet editio Petaviana **2** ἐξοίσομεν post ἀνέξοιστα add. Cobet ‖ **5** οὑτωσὶ: οὑτοσὶ Hertlein dubitanter in app. ‖ **10** τῆς θεοῦ Hertlein: τοῦ θ. U ‖ **14** τὴν add. Hertlein; obloquitur Ugenti, qui 6 infra p. 63,8 (τῶν γὰρ νοητῶν … δεξαμένη πάντων αἰτίας) et 16 infra p. 73,17 (τῶν γοῦν λαχάνων ὁρμένοις μὲν συγχωρεῖ χρῆσθαι, ῥίζαις δὲ ἀπαγορεύει) confert; vide etiam Boulenger[1] p. 191 **20** μικροῦ ἱστορίαν U: μικρὸν ἱστορίαν vet. vulg. („libet … narrationem paululum inserere" Petavii versio Latina): μικρὸν ἱστορίας Reiske: μικρόν Naber (deleto ἱστορίαν): μικρὰν ἱστορίαν Hertlein ‖ **22** Περγαμηνῶν U: Περγάμου vet. vulg. ‖ **24** τῆς θεοῦ vet. vulg.: τοῦ θ. U

τοσαῦτα πελάγη. Περαιωθεῖσα δὲ Αἰγαῖόν τε καὶ Ἰόνιον, εἶτα περιπλεύσασα Σικελίαν τε καὶ τὸ Τυρσηνὸν πέλαγος ἐπὶ τὰς ἐμβολὰς τοῦ Θύβριδος κατήγετο· καὶ δῆμος ἐξεχεῖτο τῆς πόλεως σὺν τῇ γερουσίᾳ, ὑπήντων γε μὴν πρὸ τῶν ἄλλων ἱερεῖς τε καὶ ἱέρειαι πᾶσαι καὶ πάντες ἐν κόσμῳ τῷ πρέποντι κατὰ τὰ πάτρια, 5
160A μετέωροι πρὸς τὴν ναῦν οὐριοδρο|μοῦσαν ἀποβλέποντες, καὶ περὶ τὴν τρόπιν ἀπεσκόπουν τὸ ῥόθιον σχιζομένων τῶν κυμάτων· εἶτα εἰσπλέουσαν ἐδεξιοῦντο τὴν ναῦν προσκυνοῦντες ἕκαστος ὡς ἔτυχε προσεστὼς πόρρωθεν.

Ἡ δὲ ὥσπερ ἐνδείξασθαι τῷ Ῥωμαίων ἐθέλουσα δήμῳ ὅτι μὴ 10 ξόανον ἄγουσιν ἀπὸ τῆς Φρυγίας ἄψυχον, ἔχει δὲ ἄρα δύναμίν τινα μείζω καὶ θειοτέραν ὃ δὴ παρὰ τῶν Φρυγῶν λαβόντες ἔφερον,
B ἐπειδὴ τοῦ Θύβριδος ἥψατο, τὴν ναῦν ἵστησιν | ὥσπερ ῥιζωθεῖσαν ἐξαίφνης κατὰ τοῦ Θύβριδος. Εἷλκον δὴ οὖν πρὸς ἀντίον τὸν ῥοῦν, ἡ δὲ οὐχ εἵπετο. ⟨Ὡς⟩ βραχέσι δὲ ἐντετυχηκότες ὠθεῖν ἐπειρῶντο 15 τὴν ναῦν, ἡ δὲ οὐκ εἶκεν ὠθούντων. Πᾶσα δὴ μηχανὴ προσήγετο τὸ ἐντεῦθεν, ἡ δὲ οὐχ ἧττον ἀμετακίνητος ἦν· ὥστε ἐμπίπτει κατὰ τῆς ἱερωμένης τὴν παναγεστάτην ἱερωσύνην παρθένου δεινὴ καὶ ἄδικος ὑποψία, καὶ τὴν Κλωδίαν ἠτιῶντο – τοῦτο γὰρ ὄνομα ἦν
C τῇ σεμνῇ παρθένῳ – μὴ παντάπασιν ἄ|χραντον μηδὲ καθαρὰν 20 φυλάττειν ἑαυτὴν τῇ θεῷ· ὀργίζεσθαι οὖν αὐτὴν καὶ μηνίειν ἐμφανῶς· ἐδόκει γὰρ ἤδη τοῖς πᾶσιν εἶναι τὸ χρῆμα δαιμονιώτερον.

Ἡ δὲ τὸ μὲν πρῶτον αἰδοῦς ὑπεπίμπλατο πρός τε τὸ ὄνομα καὶ τὴν ὑποψίαν, οὕτω πάνυ πόρρω ἐτύγχανε τῆς αἰσχρᾶς καὶ παρανόμου πράξεως· ἐπεὶ δὲ ἑώρα τὴν αἰτίαν ἤδη καθ’ ἑαυτῆς 25 ἐξισχύουσαν, περιελοῦσα τὴν ζώνην καὶ περιθεῖσα τῆς νεὼς τοῖς
D ἄκροις, ὥσπερ ἐξ ἐπιπνοίας τινὸς ἀποχωρεῖν ἐκέλευεν | ἅπαντας, εἶτα ἐδεῖτο τῆς θεοῦ μὴ περιιδεῖν αὑτὴν ἀδίκοις ἐνεχομένην βλασφημίαις, βοῶσα δὲ ὥσπερ τι κέλευσμα, φασί, ναυτικόν „Δέσποινα Μῆτερ, εἴπερ εἰμὶ σώφρων, ἕπου μοι“ ἔφη· καὶ δὴ τὴν 30

1 Αἰγαῖον U (cf. Ad Them. 2 supra p. 2,12): Αἴγαιόν vet. vulg. ‖ **3** ἐμβολὰς U (cf. Hdt. I 191,2 ἐξ ἐμβολῆς τοῦ ποταμοῦ; Xen. Eph. IV 2,7 εἰς τὰς ἐμβολὰς ... τὰς εἰς τὴν θάλασσαν τοῦ Νείλου): ἐκβ- Hertlein | Θύβριδος U: Τύ- vet. vulg. ‖ **8** ὡς Petavius in mg.: ὧν U ‖ **15** ὡς add. Petavius ‖ **16** δὴ U: δὲ vet. vulg. ‖ **28** αὑτὴν U: αὐ- Hertlein; vide praef. XXV

ναῦν οὐκ ἐκίνησε μόνον, ἀλλὰ καὶ εἵλκυσεν ἐπὶ πολὺ πρὸς τὸν ῥοῦν.

Καὶ δύο ταῦτα Ῥωμαίοις ἔδειξεν ἡ θεὸς οἶμαι κατ' ἐκείνην τὴν ἡμέραν· ὡς οὐδὲ μικροῦ τινος τίμιον ἀπὸ τῆς Φρυγίας ἐπῆγον τὸν
5 φόρτον, ἀλλὰ τοῦ παντὸς ἄξιον, οὐδὲ ὡς | ἀνθρώπινον τοῦτον, 161A
ἀλλὰ ὄντως θεῖον, οὐδὲ ἄψυχον γῆν, ἀλλὰ ἔμπνουν τι χρῆμα καὶ δαιμόνιον. Ἓν μὲν δὴ τοιοῦτον ἔδειξεν αὐτοῖς ἡ θεός· ἕτερον δέ, ὡς τῶν πολιτῶν οὐδὲ εἷς λάθοι ἂν αὐτὴν χρηστὸς ἢ φαῦλος ὤν. Κατωρθώθη μέντοι καὶ ὁ πόλεμος αὐτίκα Ῥωμαίοις πρὸς Καρχη-
10 δονίους, ὥστε τὸν τρίτον ὑπὲρ τῶν τειχῶν αὐτῆς μόνον Καρχηδόνος γενέσθαι.

Τὰ μὲν οὖν τῆς ἱστορίας, εἰ καί τισι⟨ν οὐ⟩ πιθανὰ δόξει καὶ φιλοσόφῳ προσήκειν οὐδὲν οὐδὲ | θεολόγῳ, λεγέσθω μὴ μεῖον, B
κοινῇ μὲν ὑπὸ πλείστων ἱστοριογράφων ἀναγραφόμενα,
15 σωζόμενα ⟨δὲ⟩ καὶ ἐπὶ χαλκῶν εἰκόνων ἐν τῇ κρατίστῃ καὶ θεοφιλεῖ Ῥώμῃ. Καίτοι με οὐ λέληθεν ὅτι φήσουσιν αὐτά τινες τῶν λίαν σοφῶν ὕθλους εἶναι γραϊδίων οὐκ ἀνεκτούς· ἐμοὶ δὲ δοκεῖ ταῖς πόλεσι πιστεύειν μᾶλλον τὰ τοιαῦτα ἢ τουτοισὶ τοῖς κομψοῖς, ὧν *τὸ ψυχάριον δριμὺ μέν*, ὑγιὲς δὲ οὐδὲ ἓν *βλέπει*.

20 **[3]** Ὑπὲρ δὲ ὧν εἰπεῖν ἐπῆλθέ μοι παρ' | αὐτὸν ἄρτι τὸν τῆς C
ἁγιστείας καιρόν, ἀκούω μὲν ἔγωγε καὶ Πορφυρίῳ τινὰ πεφιλοσοφῆσθαι περὶ αὐτῶν· οὐ μὴν οἶδά γε – οὐδὲ ⟨γὰρ⟩ ἐνέτυχον –, εἰ καὶ συνενεχθῆναί που συμβαίη τῷ λόγῳ. Τὸν Γάλλον δὲ ἐγὼ τουτονὶ καὶ τὸν Ἄττιν αὐτὸς οἴκοθεν ἐπινοῶ τοῦ γονίμου καὶ
25 δημιουργικοῦ νοῦ τὴν ἄχρι τῆς ἐσχάτης ὕλης ἅπαντα γεννῶσαν οὐσίαν εἶναι ἔχουσάν τε ἐν ἑαυτῇ πάντας τοὺς λόγους καὶ τὰς

19 cf. Plat. Rep. VII 519a (τῶν λεγομένων πονηρῶν μέν, σοφῶν δέ, ὡς δριμὺ μὲν βλέπει τὸ ψυχάριον)

1 μόνον vet. vulg.: -ην U ‖ **4–6** οὐδὲ — οὐδὲ — οὐδὲ U: οὔτε — οὔτε — οὔτε Hertlein: an οὐ — οὐδὲ — οὐδὲ scribendum? de iuncturis οὐδὲ — οὐδὲ sive οὐδὲ — οὔτε sive οὔτε — οὐδὲ pro οὔτε — οὔτε a Iuliano adhibitis vide praef. XXVI ‖ **4** ἐπῆγον τόν U: ἐπήγοντο Hertlein dubitanter in app. ‖ **12** τισι⟨ν οὐ⟩ πιθανὰ Petavius: τισι πειθανὰ U: τισι⟨ν ἀ⟩πίθανα Reiske: τισι ⟨μὴ⟩ πιθανὰ Ugenti ‖ **15** δὲ vet. vulg.: om. U | τῇ vet. vulg.: τῷ U ‖ **17** γραϊδίων U: γρᾳδ- Hertlein, sed cf. Misop. 10 infra p. 183,6 et epist. 89b p. 163,12 Bidez | ἀνεκτούς vet. vulg.: -τέον U: ἀνεκτῶν dubitanter Ugenti in app. ‖ **22** οὐδὲ ⟨γὰρ⟩ Reiske: οὐδὲ U: οὐ ⟨γὰρ⟩ Hertlein ‖ **25** γεννῶσαν vet. vulg.: -σαι U

αἰτίας τῶν ἐνύλων εἰδῶν· οὐ γὰρ δὴ πάντων ἐν πᾶσι τὰ εἴδη, οὔτε
D ἐν τοῖς ἀνωτάτω καὶ πρώτοις | αἰτίοις τὰ τῶν ἐσχάτων καὶ τελευ-
ταίων, μεθ' ἃ οὐδέν ἐστιν ἢ τὸ τῆς „στερήσεως“ ὄνομα μετὰ
ἀμυδρᾶς ἐπινοίας. Οὐσῶν δὴ πολλῶν οὐσιῶν καὶ πολλῶν πάνυ
δημιουργῶν, τοῦ τρίτου δημιουργοῦ, ὃς τῶν ἐνύλων εἰδῶν τοὺς 5
λόγους ἐξῃρημένους ἔχει καὶ συνεχεῖς τὰς αἰτίας, ἡ τελευταία καὶ
162A μέχρι γῆς ὑπὸ περιουσίας τοῦ γονίμου διὰ τῶν | ἄνωθεν παρὰ τῶν
ἄστρων καθήκουσα φύσις ὁ ζητούμενός ἐστιν Ἄττις.

Ἴσως δὲ ὑπὲρ οὗ λέγω χρὴ διαλαβεῖν σαφέστερον. Εἶναί τι
λέγομεν ὕλην, ἀλλὰ καὶ ἔνυλον εἶδος. Ἀλλὰ τούτων εἰ μή τις αἰτία 10
προτέτακται, λανθάνοιμεν ἂν ἑαυτοὺς εἰσάγοντες τὴν Ἐπικού-
ρειον δόξαν· ἀρχαῖν γὰρ ⟨τοῖν⟩ δυοῖν εἰ μηδέν ἐστι πρεσβύτερον,
αὐτόματός τις αὐτὰς φορὰ καὶ τύχη συνεκλήρωσεν. „Ἀλλ'
B ὁρῶμεν“ φησὶ Περιπατητικός τις ἀγχίνους ὥσ|περ ὁ Ξέναρχος
„τούτων αἴτιον ὂν τὸ πέμπτον καὶ κυκλικὸν σῶμα. Γελοῖος δὲ καὶ 15
Ἀριστοτέλης ὑπὲρ τούτων ζητῶν τι καὶ πολυπραγμονῶν, ὁμοίως
δὲ καὶ Θεόφραστος· ἠγνόησε γοῦν τὴν ἑαυτοῦ φωνήν. Ὥσπερ γὰρ
εἰς τὴν ἀσώματον οὐσίαν ἐλθὼν καὶ νοητὴν ἔστη μὴ πολυπραγμο-
νῶν τὴν αἰτίαν, ἀλλὰ φὰς οὕτω ταῦτα πεφυκέναι, χρῆν δὲ δήπου-
θεν καὶ ἐπὶ τοῦ πέμπτου σώματος τὸ πεφυκέναι ταύτῃ λαμβά- 20
C νοντα μηκέτι ζητεῖν | τὰς αἰτίας, ἵστασθαι δὲ μετ' αὐτῶν καὶ μὴ
πρὸς τὸ νοητὸν ἐκπίπτειν, ὂν μὲν οὐθὲν φύσει καθ' ἑαυτό, ἔχον δὲ
ἄλλως κενὴν ὑπόνοιαν.“

16–17 Theophr. fr. 158 Fortenbaugh

1 οὔτε U (cf. Boulenger[1] p. 191): οὐδὲ Hertlein ‖ **7** τῶν[1] τῶν Boulenger[2] („durch die oberen Gegenden“ iam vertit Mau): τῆς U ‖ **12** τοῖν add. Boulenger[2] (possis etiam ταῖν, cf. C. Heracl. 2 supra p. 19,9 ταῖν χεροῖν, Misop. 20 infra p. 190,9 ταῖν ζημίαιν) ‖ **13** αὐτὰς Hertlein: -ὰ U, quod defendit Ugenti, conferens 10 infra p. 67,27 (ἐσκέπασαν αὐτὰ [αὐτὰς Hertlein, quia ad praecedens τὰς αἰτίας referri debet] μύθοις); vide etiam Schwyzer GrGr II 604 ‖ **15** τούτων U: τούτου γ' Asmus[4] | γελοῖος Hertlein: -ον U ‖ **16** τι καὶ U (cf. C. Heracl. 2 supra p. 18,14: ἐπὶ τὸ μανθάνειν τι καὶ ζητεῖν καὶ πολυπραγμονεῖν): τε καί Hertlein ‖ **19** χρῆν U: χρὴ vet. vulg. δὲ del. Theiler ‖ **21** μετ' αὐτῶν U: ἐπὶ αὐτῶν vet. vulg.: ἐπὶ αὐτοῦ (scil. τοῦ πέμπτου σώματος) Asmus[4]

Τοιαῦτα γὰρ ἐγὼ μέμνημαι τοῦ Ξενάρχου λέγοντος ἀκηκοώς. Εἰ μὲν οὖν ὀρθῶς ἢ μὴ ταῦτα ἐκεῖνος ἔφη, τοῖς ἄγαν ἐφείσθω Περιπατητικοῖς ἐξονυχίζειν· ὅτι δὲ οὐ προσηνῶς ἐμοὶ παντί που δῆλον, ὅπου γε καὶ τὰς Ἀριστοτελικὰς ὑποθέσεις ἐνδεεστέρως
5 ἔχειν ὑπολαμβάνω, εἰ μή τις αὐτὰς ἐς ταὐ|τὸ τοῖς Πλάτωνος ἄγοι, D μᾶλλον δὲ καὶ ταῦτα ταῖς ἐκ θεῶν δεδομέναις προφητείαις.

[4] Ἐκεῖνο δὲ ἴσως ἄξιον πυθέσθαι, πῶς τὸ κυκλικὸν σῶμα δύναται τὰς ἀσωμάτους ἔχειν αἰτίας τῶν ἐνύλων εἰδῶν· ὅτι μὲν γὰρ δίχα τούτων ὑποστῆναι τὴν γένεσιν οὐκ ἐνδέχεται, πρόδηλόν
10 ἐστί που καὶ σαφές. Τοῦ χάριν γάρ ἐστι τοσαῦτα τὰ γιγνόμενα; Πόθεν δὲ ἄρρεν καὶ θῆλυ; Πόθεν δὲ ἡ κατὰ γένος τῶν ὄντων ἐν ὡρισμένοις εἴδεσι | διαφορά, εἰ μή τινες εἶεν προϋπάρχοντες καὶ 163A προεστῶτες λόγοι αἰτίαι τε ἐν παραδείγματος λόγῳ προϋφεστῶσαι; Πρὸς ἃς εἴπερ ἀμβλυώττομεν, ἔτι καθαιρώμεθα *τὰ ὄμματα*
15 *τῆς ψυχῆς*· κάθαρσις δὲ ὀρθὴ στραφῆναι πρὸς ἑαυτὸν καὶ κατανοῆσαι, πῶς μὲν ἡ ψυχὴ καὶ ὁ ἔνυλος νοῦς ὥσπερ ἐκμαγεῖόν τι τῶν ἐνύλων εἰδῶν καὶ εἰκών ἐστιν. Ἓν τοῦτο γὰρ οὐδέν ἐστι τῶν σωμάτων ἢ τῶν περὶ τὰ σώματα γινομένων τε καὶ θεωρουμένων | B ἀσωμάτων, οὗ τὴν φαντασίαν ὁ νοῦς οὐ δύναται λαβεῖν ἀσωμά-
20 τως· ὅπερ οὔποτ' ἂν ἐποίησεν, εἰ μή τι ξυγγενὲς εἶχεν αὐτοῖς φύσει.

14–15 cf. Plat. Rep. VII 533d τὸ τῆς ψυχῆς ὄμμα, Soph. 254a τὰ ... τῆς ... ψυχῆς ὄμματα, Albin. Epit. doctr. Plat. 27,3 ὥσπερ τι ὄμμα ψυχῆς ἐκκαθηραμένους, Greg. Nyss. Contra Eun. II 1,22 μεμυκότες τὰ ὄμματα τῆς ψυχῆς ἀμβλυώττουσι, Iambl. Comm. math. sc. 22 τὴν κάθαρσιν τοῦ τῆς ψυχῆς ὄμματος

2–3 Suda ε 3885 (ἐφείσθω τούτοις ἐξονυχίζειν)

1 τοιαῦτα γάρ U: τοιαῦτά γ' Asmus[4] ‖ **3** ἐξονυχίζειν Suda: ὀνυχ- U **9** ὑποστῆναι vet. vulg.: -σαι U ‖ **13** προεστῶτες U (cf. 5 infra p. 62,11 τὴν τελευταίαν ... αἰτίαν ἀσώματον, ἣ τῆς ὕλης προέστηκε, 7 infra p. 64,15 αἰτίαν ... τὴν προεστῶσαν τοῦ θερμοῦ καὶ πυρώδους, 14 infra p. 72,5 τῇ ... προεστώσῃ τῶν ψυχῶν ... αἰτίᾳ): προϋφεστῶτες Hertlein in app. **14** ἀμβλυώττομεν Hertlein (cf. Adv. Gal. p. 305D p. 219,4 Neumann: ἀμβλυώττοντα δεινῶς αὐτὸν ἀπελέγξω): ἀμβλώττομεν U (cf. Et. Gen. α 611) **17** ἓν τοῦτο γὰρ οὐδέν ἐστι U: ἓν {τοῦτο} γὰρ οὐδέν ἐστι Hertlein: ἓν τ⟨οι⟩οῦτο γὰρ οὐδέν ἐστι Prato: {ἓν τοῦτο} οὐδὲν γάρ ἐστι malim (sed cf. praef. XXVI) **18** θεωρουμένων vet. vulg.: θεωρημένων U

Ταῦτά τοι καὶ Ἀριστοτέλης τὴν ψυχὴν „τόπον εἰδῶν“ ἔφη, πλὴν οὐκ ἐνεργείᾳ, ἀλλὰ δυνάμει. Τὴν μὲν οὖν τοιαύτην ψυχὴν καὶ τὴν ἐπεστραμμένην πρὸς τὸ σῶμα δυνάμει ταῦτα ἔχειν ἀναγκαῖον· εἰ δέ τις ἄσχετος εἴη καὶ ἀμιγής, ταύτῃ τοὺς λόγους οὐκέτι C δυνάμει, πάντας δὲ ὑπάρχειν ἐνερ|γείᾳ νομιστέον. 5

Λάβωμεν δὲ αὐτὰ σαφέστερον διὰ τοῦ παραδείγματος, ᾧ καὶ Πλάτων ἐν τῷ Σοφιστῇ πρὸς ἕτερον μὲν λόγον, ἐχρήσατο δ' οὖν ὅμως· τὸ παράδειγμα δὲ οὐκ εἰς ἀπόδειξιν φέρω τοῦ λόγου – καὶ γὰρ οὐδὲ ἀποδείξει χρὴ λαβεῖν αὐτό –, ἀλλ' ἐπιβολῇ μόνῃ. Περὶ γὰρ τῶν πρώτων αἰτίων ἐστὶν ἢ τῶν γε ὁμοστοίχων τοῖς πρώτοις, 10 εἴπερ ἡμῖν ἐστιν, ὥσπερ οὖν ἄξιον νομίζειν, καὶ ὁ Ἄττις θεός. Τί D δὲ καὶ ποῖόν ἐστι τὸ παράδειγμα; | Φησί που Πλάτων τῶν περὶ τὴν μίμησιν διατριβόντων εἰ μὲν ἐθέλοι τις μιμεῖσθαι ὥστε καθυφεστάναι τὰ μιμητά, ἐργώδη τε εἶναι καὶ χαλεπὴν καὶ νὴ Δία γε τοῦ ἀδυνάτου πλησίον βάλλειν, εὔκολον δὲ καὶ ῥᾳδίαν καὶ 15 σφόδρα δυνατὴν τὴν διὰ τοῦ δοκεῖν τὰ ὄντα μιμουμένην· ὅταν οὖν τὸ *κάτοπτρον λαβόντες περιφέρωμεν*, ἐκ πάντων τῶν ὄντων ῥᾳδίως ἀπομαξάμενοι δείκνυμεν ἑκάστου τοὺς τύπους.

164A Ἐκ δὴ τούτου τοῦ παραδείγματος ἐπὶ | τὸ εἰρημένον διαβιβάσθω μὲν τὸ ὁμοίωμα, ἵν' ᾖ τὸ μὲν „κάτοπτρον“ ὁ λεγόμενος ὑπὸ 20 Ἀριστοτέλους δυνάμει „τόπος εἰδῶν“. Αὐτὰ δὲ χρὴ τὰ εἴδη πρότερον ὑφεστάναι πάντως ἐνεργείᾳ τοῦ δυνάμει. Τῆς τοίνυν ἐν ἡμῖν ψυχῆς, ὡς καὶ Ἀριστοτέλει δοκεῖ, δυνάμει τῶν ὄντων ἐχούσης τὰ εἴδη, ποῦ πρῶτον ἐνεργείᾳ θησόμεθα ταῦτα; Πότερον ἐν τοῖς ἐνύλοις; Ἀλλ' ἔστι γε ταῦτα φανερῶς τὰ τελευταῖα. Λείπεται δὴ 25 B λοιπὸν ἀΰλους αἰτίας ζη|τεῖν ἐνεργείᾳ προτεταγμένας τῶν ἐνύλων,

1 cf. Arist. De an. III 4 p. 429a27sq. ‖ **7** Plat. Soph. 233d (233b-236c) ‖ **17** cf. Plat. Rep. X 596de (εἰ 'θέλεις λαβὼν κάτοπτρον περιφέρειν πανταχῇ)

3 τὴν fort. delendum ‖ **4** comma ante ταύτῃ posuit Asmus[4] (probant Prato et Ugenti) ‖ **9** αὐτό U: „malim αὐτόν (sc. τόν λόγον)“ Hertlein ‖ **10** αἰτίων Prato, conferens verba nostro loco sequentia (τῶν γε ὁμοστοίχων τοῖς πρώτοις) et 3 supra p. 58,2 (τοῖς ἀνωτάτω καὶ πρώτοις αἰτίοις): αἰτιῶν U **14** μιμητά U in mg. (μικτά in textu) ‖ **15** βάλλειν U: μᾶλλον Hertlein **19** δὴ om. vet. vulg. ‖ **19–20** διαβιβάσθω μὲν U: διαβιβάσωμεν vet. vulg.: μεταβιβάσωμεν Hertlein ‖ **23** ἐχούσης Petavius in mg.: -σῃ U **25** τελευταῖα vet. vulg.: -αία U

αἷς παρυποστᾶσαν καὶ συμπροελθοῦσαν ἡμῶν τὴν ψυχὴν δέχεσθαι μὲν ἐκεῖθεν, ὥσπερ ἐξ ὄντων τινῶν τὰ ἔσοπτρα, τοὺς τῶν εἰδῶν ἀναγκαῖον λόγους, ἐνδιδόναι δὲ διὰ τῆς φύσεως τῇ τε ὕλῃ καὶ τοῖς ἐνύλοις τουτοισὶ σώμασιν.

5 Ὅτι μὲν γὰρ ἡ φύσις ἐστὶ δημιουργὸς τῶν σωμάτων – ἡ μὲν ὡς ὅλη τις οὖσα τοῦ παντός, ἡ δὲ καθ᾽ ἕκαστον ἑνὸς ἑκάστου τῶν ἐν μέρει –, πρόδηλόν ἐστί που καὶ σαφές· | ἀλλ᾽ ἡ φύσις ἐνεργείᾳ C δίχα φαντασίας ἐν ἡμῖν, ἡ δὲ ὑπὲρ ταύτης ψυχὴ καὶ τὴν φαντασίαν προσείληφεν. Εἰ τοίνυν ἡ φύσις καὶ ὧν οὐκ ἔχει τὴν φαντα-
10 σίαν ἔχειν ὅμως ὁμολογεῖται τὴν αἰτίαν, ἀνθ᾽ ὅτου, πρὸς θεῶν, οὐχὶ τοῦτο αὐτὸ μᾶλλον ἔτι καὶ πρεσβύτερον τῇ ψυχῇ δώσομεν, ὅπου καὶ φανταστικῶς αὐτὸ γιγνώσκομεν ἤδη καὶ λόγῳ καταλαμβάνομεν; Εἶτα τίς οὕτως ἐστὶ φιλόνεικος, ὡς τῇ φύσει μὲν ὑπάρχειν ὁμο|λογεῖν τοὺς ἐνύλους λόγους, εἰ καὶ μὴ πάντας καὶ D
15 κατὰ τὸ αὐτὸ ἐνεργείᾳ, ἀλλὰ δυνάμει γε πάντας, τῇ ψυχῇ δὲ μὴ δοῦναι τοῦτο αὐτό;

Οὐκοῦν εἰ δυνάμει μὲν ἐν τῇ φύσει καὶ οὐκ ἐνεργείᾳ τὰ εἴδη, δυνάμει δὲ ἔτι καὶ ἐν τῇ ψυχῇ καθαρώτερον καὶ διακεκριμένως μᾶλλον, ὥστε δὴ καὶ καταλαμβάνεσθαι καὶ γινώσκεσθαι, ἐνεργείᾳ
20 δὲ οὐδαμοῦ, πόθεν ἀναρτήσομεν τῆς ἀειγενεσίας τὰ πείσματα; Ποῦ δὲ ἑδράσομεν τοὺς ὑπὲρ τῆς ἀιδιότητος | κόσμου λόγους; Τὸ 165A γάρ τοι κυκλικὸν σῶμα ἐξ ὑποκειμένου καὶ εἴδους ἐστίν. Ἀνάγκη δὴ οὖν, εἰ καὶ μήποτε ἐνεργείᾳ ταῦτα δίχα ἀλλήλων, ἀλλὰ ταῖς γε ἐπινοίαις ἐκεῖνα πρῶτα ὑπάρχοντα εἶναί τε καὶ νομίζεσθαι
25 πρεσβύτερα.

[5] Οὐκοῦν ἐπειδὴ δέδοταί τις καὶ τῶν ἐνύλων εἰδῶν αἰτία προηγουμένη παντελῶς ἄϋλος ὑπὸ τὸν τρίτον δημιουργόν, ὃς ἡμῖν οὐ τούτων μόνον ἐστίν, ἀλλὰ καὶ τοῦ φαινομένου καὶ πέμπτου σώματος πατὴρ καὶ δεσπότης, ἀπο|διελόντες ἐκείνου τὸν B
30 Ἄττιν, τὴν ἄχρι τῆς ὕλης καταβαίνουσαν αἰτίαν, καὶ θεὸν γόνιμον Ἄττιν εἶναι καὶ Γάλλον πεπιστεύκαμεν· ὃν δή φησιν ὁ μῦθος ἀνθῆσαι μὲν ἐκτεθέντα παρὰ τοῦ Γάλλου ποταμοῦ ταῖς δίναις, εἶτα καλὸν φανέντα καὶ μέγαν ἀγαπηθῆναι παρὰ τῆς Μητρὸς

1 παρυποστᾶσαν U: προϋπο- Petavius in mg. ‖ **5** ἡ μὲν Asmus[4]: ἴσμεν U **18** καθαρώτερον U: καθαρώτερον ⟨δὲ⟩ Klimek: καθαρώτερόν ⟨γε⟩ Prato **21** τοὺς U: νοὸς vet. vulg. ‖ **31** ὃν δὴ Hertlein: ὃν δὲ U: τὸν δὲ Petavius in mg. ‖ **32** τοῦ om. vet. vulg.

τῶν θεῶν, τὴν δὲ τά τε ἄλλα πάντα ἐπιτρέψαι αὐτῷ καὶ τὸν ἀστερωτὸν ἐπιθεῖναι πῖλον. Ἀλλ' εἰ τὴν κορυφὴν σκέπει τοῦ
C Ἄττιδος ὁ φαινόμενος οὐρανὸς οὑτοσί, τὸν Γάλλον | ποταμὸν ἆρα μή ποτε χρὴ τὸν γαλαξίαν μαντεύεσθαι κύκλον; Ἐνταῦθα γάρ φασι μίγνυσθαι τὸ παθητὸν σῶμα πρὸς τὴν ἀπαθῆ τοῦ πέμπτου 5 κυκλοφορίαν. Ἄχρι τοι τούτων ἐπέτρεψεν ἡ Μήτηρ τῶν θεῶν σκιρτᾶν τε καὶ χορεύειν τῷ παγκάλῳ τούτῳ καὶ ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐμφερεῖ, τῷ νοερῷ θεῷ, τῷ Ἄττιδι· ὁ δὲ ἐπειδὴ προϊὼν ἦλθεν ἄχρι τῶν ἐσχάτων, ὁ μῦθος αὐτὸν εἰς τὸ ἄντρον κατελθεῖν ἔφη καὶ συγγενέσθαι τῇ νύμφῃ, τὸ δίυγρον αἰνιττόμενος τῆς ὕλης· 10
D καὶ οὐδὲ τὴν ὕλην | αὐτὴν νῦν ἔφη, τὴν τελευταίαν δὲ αἰτίαν ἀσώματον, ἣ τῆς ὕλης προέστηκε. Λέγεταί τοι καὶ πρὸς Ἡρακλείτου· „ψυχῇσιν θάνατος ὑγρῇσι γενέσθαι“.

τοῦτον οὖν τὸν Γάλλον, τὸν νοερὸν θεόν, τὸν τῶν ἐνύλων καὶ ὑπὸ σελήνην εἰδῶν συνοχέα, τῇ προτεταγμένῃ τῆς ὕλης αἰτίᾳ 15 συνιόντα, συνιόντα δὲ οὐχ ὡς ἄλλον ἄλλῃ, ἀλλ' οἷον αὐτὸ εἰς τοῦτο
166A 〈***〉 ὑποφερό|μενον.

13 cf. Heraclit. VS 22 B 36 (ψυχῇσιν θάνατος ὕδωρ γενέσθαι) et 77 (ψυχῇσι … τέρψιν ἢ θάνατον ὑγρῇσι γενέσθαι)

2 ἐπιθεῖναι U: περιθ- Hertlein, qui confert 8 infra p. 66,7 (περίκειται δὲ τὸν οὐρανὸν ἀντὶ τιάρας) et Salust. De diis et mundo 4,7 p. 6,27 Nock (τὴν Μητέρα τῶν Θεῶν φασι τὸν Ἄττιν … ἰδοῦσαν … ἐρασθῆναί τε καὶ λαβοῦσαν τὸν ἀστερωτὸν αὐτῷ περιθεῖναι πῖλον) ‖ **3** οὐρανὸς οὑτοσί vet. vulg.: οὐρανός, οὑτωσί U (quod defendere conatur Ugenti coll. Hom. σ 254s. et K.-G. II 463) | ἆρα U: ἄ- Hertlein ‖ **4** μαντεύεσθαι U: αἰνίττεσθαι Hertlein in app., coll. Salust. De diis et mundo 4,8 p. 8,6 Nock (ὁ γὰρ Γάλλος τὸν γαλαξίαν αἰνίττεται κύκλον), cf. etiam αἰνιττόμενος sex lineis infra **7** παγκάλῳ U: καλῷ vet. vulg. ‖ **8** τῷ[1] del. Hertlein ‖ **10** δίυγρον Friederich: δίυλον U ‖ **12** ἣ vet. vulg.: ἥ U | προέστηκε U: προϋφέστ- Hertlein in app. (vide supra ad 4 p. 59,13) ‖ **13** ψυχῇσιν Spanheim: -σι U **15** τὸν ante τῇ add. Asmus[4] ‖ **16** αὐτὸ εἰς τοῦτο U: αὐτὸ εἰς ταὐτὸ Asmus[4]: αὐτὸ εἰς ἑαυτὸ vel αὐτὸν εἰς ἑαυτὸν Shorey: αὐτὸ εἰς αὐτὸ Rochefort. τοῦτο in Iuliani codicibus saepius cum ταὐτό confundi monet Ugenti (coll. Or. 1,29 p. 36D7 [ταὐτὰ / ταῦτα]; C. Cyn. 9 infra p. 90,1 [ταὐτὰ / ταῦτα]) ‖ **17** ante ὑποφερόμενον lacunam stat. Hertlein („deest verbum, puta λέγομεν“ iam Petavius in mg.): ὑποφερόμενον 〈εἶναι πεπιστεύκαμεν〉 Asmus[4]: 〈ὑπολαμβάνομεν〉 ὑποφερόμενον Rochefort: post Γάλλον subaudiendum esse ὁ μῦθος ἔφη putat Prato

[6] Τίς οὖν ἡ Μήτηρ τῶν θεῶν; Ἡ τῶν κυβερνώντων τοὺς ἐμφανεῖς νοερῶν καὶ δημιουργικῶν θεῶν πηγή, ἡ καὶ τεκοῦσα καὶ συνοικοῦσα τῷ μεγάλῳ Διί, θεὸς ὑποστᾶσα μεγάλη μετὰ τὸν μέγαν καὶ σὺν τῷ μεγάλῳ δημιουργῷ, ἡ πάσης μὲν κυρία ζωῆς,
5 πάσης δὲ γενέσεως αἰτία, ἡ ῥᾷστα μὲν ἐπιτελοῦσα τὰ ποιούμενα, γεννῶσα δὲ δίχα πάθους καὶ δημιουργοῦσα τὰ ὄντα μετὰ τοῦ Πατρός· αὕτη γὰρ καὶ παρθένος ἀμήτωρ καὶ Διὸς σύν|θωκος καὶ B μήτηρ θεῶν ὄντως οὖσα πάντων. Τῶν γὰρ νοητῶν ὑπερκοσμίων ⟨τε⟩ θεῶν δεξαμένη πάντων αἰτίας ἐν ἑαυτῇ πηγὴ τοῖς νοεροῖς
10 ἐγένετο.

Ταύτην δὴ τὴν θεὸν οὖσαν καὶ πρόνοιαν ἔρως μὲν ὑπῆλθεν ἀπαθὴς Ἄττιδος· ἐθελούσια γὰρ αὐτῇ καὶ κατὰ γνώμην ἐστὶν οὐ τὰ ἔνυλα μόνον εἴδη, πολὺ δὲ πλέον τὰ τούτων αἴτια. Τὴν δὴ τὰ γινόμενα καὶ φθειρόμενα σώζουσαν Προμήθειαν ἐρᾶν ὁ μῦθος ἔφη
15 τῆς δημιουργικῆς τούτων αἰτίας καὶ | γονίμου, καὶ κελεύειν μὲν C αὐτὴν ἐν τῷ νοητῷ τίκτειν μᾶλλον καὶ βούλεσθαί γε πρὸς ἑαυτὴν ἐπεστράφθαι καὶ συνοικεῖν, ἐπίταγμα δὲ ποιεῖσθαι μηδενὶ τῶν ἄλλων, ἅμα μὲν τὸ ἑνοειδὲς σωτήριον διώκουσαν, ἅμα δὲ φεύγουσαν τὸ πρὸς τὴν ὕλην νεῦσαν· πρὸς ἑαυτήν τε βλέπειν ἐκέλευσεν,
20 οὖσαν {τε} πηγὴν μὲν τῶν δημιουργικῶν θεῶν, οὐ καθελκομένην δὲ εἰς τὴν γένεσιν οὐδὲ θελγομένην· οὕτω γὰρ | ἔμελλεν ὁ μέγας D Ἄττις καὶ κρεῖττον εἶναι δημιουργός, ἐπείπερ ἐν πᾶσιν ἡ πρὸς τὸ κρεῖττον ἐπιστροφὴ μᾶλλόν ἐστι δραστήριος τῆς πρὸς τὸ χεῖρον νεύσεως. Ἐπεὶ καὶ τὸ πέμπτον σῶμα τούτῳ δημιουργικώτερόν
25 ἐστι τῶν τῆδε καὶ θειότερον, τῷ μᾶλλον ἐστράφθαι πρὸς τοὺς θεούς, ἐπεί τοι τὸ σῶμα, κἂν αἰθέρος ᾖ τοῦ καθαρωτάτου, {καὶ} ψυχῆς ἀχράντου καὶ καθαρᾶς (ὁποίαν τὴν Ἡρακλέος ὁ δημιουρ-

7 αὕτη U: αὐτὴ Boulenger[2] | γὰρ om. vet. vulg. ‖ **8** μήτηρ: -τωρ U **8–9** ὑπερκοσμίων ⟨τε⟩ Hertlein in app.: ὑπερκοσμίων del. Friederich: τῶν ⟨τε⟩ γὰρ νοητῶν ⟨καὶ Kroll⟩ ὑπερκοσμίων θεῶν Asmus[1] ‖ **9** ⟨τὰς⟩ αἰτίας Hertlein in app. (et Asmus[1]) ‖ de ἐκροίας pro αἰτίας cog. Kroll ‖ **13** εἴδη Petavius in mg.: ἤδη U ‖ **16** βούλεσθαί γε U: βούλεσθαι μὲν dubitanter Hertlein in app. ‖ **20** οὖσαν {τε} Hertlein: οὖσάν γε Asmus[4] ‖ **22** κρεῖττον U: κρείττων Hertlein in app. ‖ **25** ἐστράφθαι U: ἐπεστρ- Asmus[4], obloquitur Ugenti coll. 4 supra p. 59,15 (στραφῆναι πρὸς ἑαυτόν) ‖ **26** ἐπεί τοι Hertlein: ἐπεί τῳ (sic) U: ἐπεί τε vet. vulg. | καὶ del. Hertlein, obloquitur Ugenti, conferens (perperam) C. Cyn. 1 infra p. 81,11 (οὐχὶ καὶ τῶν νοσούντων ἀθλιώτερον πράττει;)

γὸς ἐξέπεμψεν) οὐθεὶς ἂν εἰπεῖν κρεῖττον τολμήσειε. Τότε μέντοι
167A ἦν τε καὶ ἐδόκει μᾶλλον | δραστήριος ⟨ἢ⟩ ὅτε αὐτὴν ἔδωκεν ἐκείνη
σώματι, ἐπεὶ καὶ αὐτῷ νῦν Ἡρακλεῖ ὅλῳ πρὸς ὅλον κεχωρηκότι
τὸν πατέρα ῥᾴων ἡ τούτων ἐπιμέλεια καθέστηκεν ἢ πρότερον ἦν,
ὅτε ἐν τοῖς ἀνθρώποις σαρκία φορῶν ἐστρέφετο. Οὕτως ἐν πᾶσι 5
δραστήριος μᾶλλον ἡ πρὸς τὸ κρεῖττον ἀπόστασις τῆς ἐπὶ τὸ
χεῖρον στροφῆς· ὃ δὴ βουλόμενος ὁ μῦθος διδάξαι παραινέσαι φησὶ
τὴν Μητέρα τῶν θεῶν τῷ Ἄττιδι θεραπεύειν αὐτὴν καὶ μήτε ἀπο-
B |χωρεῖν μήτε ἐρᾶν ἄλλης.

[7] Ὁ δὲ προῆλθεν ἄχρι τῶν ἐσχάτων τῆς ὕλης κατελθών. 10
Ἐπεὶ δὲ ἐχρῆν παύσασθαί ποτε καὶ στῆναι τὴν ἀπειρίαν, Κορύβας
μὲν ὁ μέγας Ἥλιος, ὁ σύνθρονος τῇ Μητρὶ καὶ συνδημιουργῶν
αὐτῇ τὰ πάντα καὶ συμπρομηθούμενος καὶ οὐδὲν πράττων αὐτῆς
δίχα, πείθει τὸν Λέοντα μηνυτὴν γενέσθαι. Τίς δὲ ὁ Λέων;
Αἴθωνα δήπουθεν ἀκούομεν αὐτόν, αἰτίαν τοίνυν τὴν προεστῶσαν 15
C τοῦ θερμοῦ καὶ πυρώδους, ἣ | πολεμήσειν ἔμελλε τῇ νύμφῃ καὶ
ζηλοτυπήσειν αὐτὴν τῆς πρὸς τὸν Ἄττιν κοινωνίας· εἴρηται δὲ
ἡμῖν τίς ἡ νύμφη. Τῇ ⟨δὴ⟩ δημιουργικῇ προμηθείᾳ τῶν ὄντων
⟨αὐτὸν⟩ ὑπουργῆσαί φησι, δηλαδὴ τῇ Μητρὶ τῶν θεῶν, εἶτα
φωράσαντα καὶ μηνυτὴν γενόμενον αἴτιον γενέσθαι τῷ νεανίσκῳ 20
τῆς ἐκτομῆς. Ἡ δὲ ἐκτομὴ τίς; ἐποχὴ τῆς ἀπειρίας· ἔστη γὰρ δὴ
τὰ τῆς γενέσεως ἐν ὡρισμένοις τοῖς εἴδεσιν ὑπὸ τῆς δημιουργικῆς
D ἐπισχεθέντα προμηθείας, οὐκ ἄνευ τῆς τοῦ | Ἄττιδος λεγομένης

2 ⟨ἢ⟩ ὅτε Asmus[4] | αὐτὴν Hertlein: αὐ- U ‖ **5** ἐστρέφετο Hertlein: ἐτρ- U (cf. 16 infra p. 72,30: ἐνταῦθα … τὰ κακὰ στρέφεσθαι, epist. 136b p. 199,11f. Bidez: ἄλλος ἐπ' ἄλλῃ πράξει στρέφεται κατὰ τὴν πόλιν) | ἐν[2] ἐν Hertlein: ἦν U **7** στροφῆς U: ἐπιστροφῆς Asmus[4] (vide supra ad p. 63,25) ‖ **8** αὐτὴν U: αὐ- Hertlein ‖ **12** τῇ vet. vulg.: τῷ U ‖ **15** προεστῶσαν U: προϋφεστῶσαν Hertlein (in app. ad 165D, vide ad 4 supra p. 59,13) ‖ **18** τῇ ⟨δὴ⟩ Boulenger[2]: τῇ U: τῇ ⟨δὲ⟩ Hertlein dub. in app.: ⟨τοῦτον δὴ⟩ τῇ Ugenti in app. (reiecto αὐτὸν, quod Rochefort ante ὑπουργῆσαι supplevit) ‖ **19** αὐτόν add. Rochefort | φησι U: φησι⟨ν ὁ μῦθος⟩ Hertlein dub. in app.: φασι Rochefort (v. praef. XXV) ‖ **21** ἐκτομὴ τίς; ἐποχὴ Hertlein: ἐκτομή, τις [τίς vet. vulg.] ἐποχὴ U („est autem castratio quaedam infinitatis moderatio") ‖ **22** τοῖς del. Asmus[1]

παραφροσύνης, ἣ τὸ μέτριον ἐξισταμένη καὶ ὑπερβαίνουσα καὶ διὰ τοῦτο ὥσπερ ἐξασθενοῦσα καὶ οὐκέθ' αὑτῆς εἶναι δυναμένη, ὃ δὴ περὶ τὴν τελευταίαν ὑποστῆναι τῶν θεῶν αἰτίαν οὐκ ἄλογον. Σκόπει οὖν ἀναλλοίωτον κατὰ πᾶσαν ἀλλοίωσιν τὸ πέμπτον
5 θεώμενος σῶμα περὶ τοὺς φωτισμοὺς τῆς σελήνης, ἵνα λοιπὸν ὁ συνεχῶς γιγνόμενός τε καὶ ἀπολλύμενος κόσμος γειτνιᾷ τῷ πέμπτῳ σώματι· περὶ τοὺς φωτισμοὺς | αὐτῆς ἀλλοίωσίν τινα καὶ 168A πάθη συμπίπτοντα θεωροῦμεν.

[8] Οὐκ ἄτοπον οὖν εἰ καὶ τὸν Ἄττιν τοῦτον ⟨***⟩ ἡμίθεόν
10 τινα εἶναι – βούλεται γὰρ δὴ καὶ ὁ μῦθος τοῦτο –, μᾶλλον δὲ θεὸν μὲν τῷ παντί· πρόεισί τε γὰρ ἐκ τοῦ τρίτου δημιουργοῦ καὶ ἐπανάγεται πάλιν ἐπὶ τὴν Μητέρα τῶν θεῶν μετὰ τὴν ἐκτομήν· ἐπεὶ δὲ ὅλως ῥέπειν πῃ καὶ νεύειν εἰς τὴν ὕλην δοκεῖ, θεῶν μὲν ἔσχατον, ἔξαρχον δὲ τῶν θείων γενῶν ἁπάντων οὐκ ἂν ἁμάρτοι
15 τις αὐτὸν | ὑπολαβών. Ἡμίθεον δὲ διὰ τοῦτο ὁ μῦθός φησι, τὴν B

1 „deest alicubi verbum finitum" Hertlein: φαίνεται e.g. supplevit Wright, ἦλθεν ἄχρι τῶν ἐσχάτων post δυναμένη Asmus[4] (cf. supra p. 64,10): fortasse ⟨ἄχρι τῶν ἐσχάτων κατέβη⟩ post δυναμένη supplendum: nil mutandum esse censuit (post Rochefort) Ugenti, qui confert Ad Them. 6 p. 260B (sed cf. textum huius editionis, supra p. 8,13) ‖ **4** σκόπει οὖν ⟨·⟩ Asmus[1], qui tum θεώμενοι (pro –ος) σῶμα — σώματι, {περὶ τοὺς φωτισμοὺς αὐτῆς} ἀλλοίωσίν — θεωροῦμεν legere vult ‖ **5** θεώμενος post σκόπει supervacaneum videtur esse ‖ **9** οὖν εἰ καὶ U: εἰ del. Petavius: οὖν εἰκάσαι Friederich: νυνὶ καὶ Boulenger[2]: οὖν εἰ ⟨εἴποιμι⟩ καὶ Prato nihil curans de hiatu (qui confert ep. 107 p. 185,5 Bidez: ἄτοπον οὖν εἰ ταῦτα περιίδοιμι σφετερισαμένους ἀνθρώπους): οὖν εἰπεῖν Ugenti; ἄτοπον + εἰ ter invenitur in Iuliani scriptis (ep. 79 p. 86,5f. Bidez τί τοῦτο ἄτοπον, ἄνδρα ἀγαθὸν … εἰ θεραπεύουσιν;, ep. 89b p. 164,23 Bidez Ἄτοπον γὰρ εἰ τοὺς μὲν λίθους … ἀγαπήσομεν, …, ἄνδρα δὲ καθωσιωμένον τοῖς θεοῖς οὐκ οἰησόμεθα χρῆναι τιμᾶν, ep. 107 supra cit.) in hac lacuna e.g. οἰησόμεθα suppleri possit (cf. ep. 89b p. 165,3 Bidez); „possis etiam … φαμεν vel aliquid simile post εἶναι supplere" Ugenti, qui monet similes lacunas etiam alibi in V (U) inveniri (e.g. 5 supra p. 62,17) **11** μὲν ⟨ἐν⟩ τῷ παντί Petavius in mg. ‖ **12** ἐπανάγεται Petavius (cf. 11 infra p. 69,10 αὐτὸν … ἐπανάγει πρὸς ἑαυτὴν ἡ θεός, infra p. 69,15 ἐπαναγόμενος δὲ ὥσπερ ἐκ γῆς, 20 infra p. 78,15 τὸν Ἄττιν … περισωσαμένη καὶ πάλιν … ἐπανάγουσα, C. Heracl. 14 supra p. 33,25 ὃν [i.e. τὸν Ἡρακλέα] ὁ μέγας Ζεὺς … ἐπανήγαγε … πρὸς ἑαυτόν): ἐπισυνάγεται U ‖ **13** ῥέπειν πῃ καὶ Prato: ῥέπειν πέπεικε U: ῥέπειν καὶ Friederich: ῥέπειν τε καὶ Platt: τρέπεσθαί τε καὶ Asmus[4] (coll. infra p. 66,1 πρὸς τοὺς ἀτρέπτους … θεούς): ῥέπειν πέπεικε {νεύειν} εἰς τὴν ὕλην {δοκεῖ} legere voluit Mau

πρὸς τοὺς ἀτρέπτους αὐτοῦ θεοὺς ἐνδεικνύμενος διαφοράν. Δορυφοροῦσι γὰρ αὐτὸν παρὰ τῆς Μητρὸς δοθέντες οἱ Κορύβαντες, αἱ τρεῖς ἀρχικαὶ τῶν μετὰ θεοὺς κρεισσόνων γενῶν ὑποστάσεις. Ἄρχει δὲ καὶ τῶν Λεόντων, οἳ τὴν ἔνθερμον οὐσίαν καὶ πυρώδη κατανειμάμενοι μετὰ τοῦ σφῶν ἐξάρχου Λέοντος αἴτιοι 5 τῷ πυρὶ μὲν πρώτως, διὰ δὲ τῆς ἐνθένδε θερμότητος ἐνεργείας τε C κινητι|κῆς αἴτιοι καὶ τοῖς ἄλλοις εἰσὶ σωτηρίας· περίκειται δὲ τὸν οὐρανὸν ἀντὶ τιάρας, ἐκεῖθεν ὥσπερ ἐπὶ γῆν ὁρμώμενος.

[9] Οὗτος ὁ μέγας ἡμῖν θεὸς Ἄττις ἐστίν, αὗται τοῦ βασιλέως Ἄττιδος αἱ θρηνούμεναι τέως φυγαὶ καὶ κρύψεις καὶ ἀφανισμοὶ 10 καὶ αἱ δύσεις αἱ κατὰ τὸ ἄντρον· τεκμήρια δὲ ἔστω μοι τούτου ὁ χρόνος ἐν ᾧ γίνεται. Τέμνεσθαι γάρ φασι τὸ ἱερὸν δένδρον καθ' ἣν ἡμέραν ὁ ἥλιος ἐπὶ τὸ ἄκρον τῆς ἰσημερινῆς ἁψῖδος ἔρχεται· εἶθ' D ἑξῆς | περισαλπισμὸς παραλαμβάνεται· τῇ τρίτῃ δὲ τέμνεται τὸ ἱερὸν καὶ ἀπόρρητον θέρος τοῦ θεοῦ Γάλλου· ἐπὶ τούτοις Ἱλάρια, 15 φασί, καὶ ἑορταί. Ὅτι μὲν οὖν στάσις ἐστὶ τῆς ἀπειρίας ἡ θρυλλουμένη παρὰ τοῖς πολλοῖς ἐκτομή, πρόδηλον ἐξ ὧν ἡνίκα ὁ μέγας Ἥλιος ⟨ἔστη⟩, τοῦ ἰσημερινοῦ ψαύσας κύκλου, ἵνα τὸ μάλιστα ὡρισμένον ἐστί – τὸ μὲν γὰρ ἴσον ὡρισμένον ἐστί, τὸ δὲ ἄνισον ἄπειρόν τε καὶ ἀδιεξίτητον – κατὰ τὸν λόγον αὐτίκα τὸ 20 169A δένδρον τέμνεται· εἶθ' | ἑξῆς γίνεται τὰ λοιπά, τὰ μὲν διὰ τοὺς μυστικοὺς καὶ κρυφίους θεσμούς, τὰ δὲ καὶ ῥηθῆναι πᾶσι δυναμένους. Ἡ δὲ ἐκτομὴ τοῦ δένδρου· τοῦτο δὲ τῇ μὲν ἱστορίᾳ προσήκει τῇ περὶ τὸν Γάλλον, οὐδὲν δὲ τοῖς μυστηρίοις παραλαμβάνεται, διδασκόντων ἡμᾶς οἶμαι τῶν θεῶν συμβολικῶς ὅτι χρὴ τὸ κάλλι- 25 στον ἐκ γῆς δρεψαμένους, ἀρετὴν μετὰ εὐσεβείας, ἀπενεγκεῖν τῇ

3 τοὺς ante θεοὺς add. Asmus[1] ‖ **12** φασι vet. vulg.: φησι U, quod defenderunt Prato et Ugenti (v. praef. XXV), sed cf. infra l. 15-16 ἐπὶ τούτοις Ἱλάρια, φασί, καὶ ἑορταί ‖ **16** inde a verbo στάσις textum praebet V **17** ἐξ ὧν coniungendum cum τὸ δένδρον τέμνεται tribus lineis infra | ἐξ ὧν ἡνίκα U (ἡνίκα ἐξ ὧν V, sed signis transpositionis supra positis): ἐξ οὗ Asmus[4] ‖ **18** ἔστη hoc loco add. Rochefort (post Boulenger[2], qui ἔστη post ὡρισμένον ἐστί inserere voluit; iam Petavius hanc sententiam „mancam“ esse viderat): ἵστησι τῆς ἀπειρίας τὴν πρόοδον vel simile quid post ἀδιεξίτητον addere voluit Asmus[4], de verbis πλησιάζειν ἄρχεται (cf. 12 infra p. 69,22 ἄρχεται ... πλησιάζειν) vel πρόσεισι (cf. 13 infra p. 71,4 προσιόντος) supplendis cogitat Ugenti ‖ **22** καὶ[2] ⟨διὰ⟩ Hertlein in app. ‖ **24** μυστηρίοις V: μυστηρίοις, οἷς vet. vulg.

θεῷ, σύμβολον τῆς ἐνταῦθα χρηστῆς πολιτείας ἐσόμενον. Τὸ γάρ | B
τοι δένδρον ἐκ γῆς μὲν φύεται, σπεύδει δὲ ὥσπερ εἰς τὸν αἰθέρα,
καὶ ἰδεῖν τέ ἐστι καὶ ὀφθῆναι καλὸν καὶ σκιὰν παρασχεῖν ἐν
πνίγει, ἤδη δὲ καὶ καρπὸν ἐξ ἑαυτοῦ προβαλεῖν καὶ χαρίσασθαι·
5 οὕτως αὐτῷ πολύ τι γε τοῦ γονίμου περίεστιν.

Ἡμῖν οὖν ὁ θεσμὸς παρακελεύεται, τοῖς φύσει μὲν οὐρανίοις,
εἰς γῆν δὲ ἐνεχθεῖσιν, ἀρετὴν μετὰ εὐσεβείας ἀπὸ τῆς ἐν τῇ γῇ
πολιτείας ἀμησαμένους παρὰ τὴν προγονικὴν καὶ ζωογόνον
σπεύδειν θεόν. Εὐ|θὺς οὖν ἡ σάλπιγξ μετὰ τὴν ἐκτομὴν ἐκδίδωσι C
10 τὸ ἀνακλητικὸν τῷ Ἄττιδι καὶ τοῖς ὅσοι ποτὲ οὐρανόθεν ἔπτημεν
εἰς τὴν γῆν καὶ ἐπέσομεν. Μετὰ δὴ τὸ σύμβολον τοῦτο, ὅτε ὁ
βασιλεὺς Ἄττις ἵστησι τὴν ἀπειρίαν διὰ τῆς ἐκτομῆς ἡμῖν τε οἱ
θεοὶ κελεύουσιν ἐκτέμνειν καὶ αὐτοῖς τὴν ἐν ἡμῖν αὐτοῖς ἀπειρίαν
καὶ μιμεῖσθαι τοὺς ⟨ἡγεμόνας⟩ ἡμῶν, ἐπὶ δὲ τὸ ὡρισμένον καὶ
15 ἑνοειδὲς καί, εἴπερ οἷόν τε ἐστίν, αὐτὸ „τὸ Ἓν“ ἀνατρέχειν,
{οὗπερ γενομένου} πάντως ἕπεσθαι χρὴ τὰ | Ἱλάρια. Τί γὰρ D
εὐθυμότερον, τί δὲ ἱλαρώτερον γένοιτο ἂν ψυχῆς ἀπειρίαν μὲν καὶ
γένεσιν καὶ τὸν ἐν αὐτῇ κλύδωνα διαφυγούσης, ἐπὶ δὲ τοὺς θεοὺς
αὐτοὺς ἀναχθείσης; Ὧν ἕνα καὶ τὸν Ἄττιν ὄντα περιεῖδεν
20 οὐδαμῶς ἡ τῶν θεῶν Μήτηρ βαδίζοντα πρόσω πλέον ἢ χρῆν,
πρὸς ἑαυτὴν δὲ ἐπέστρεψε στῆσαι τὴν ἀπειρίαν προστάξασα.

[10] Καὶ μή τις ὑπολάβοι με λέγειν ὡς ταῦτα ἐπράχθη ποτὲ
καὶ γέγονεν, | ὥσπερ οὐκ εἰδότων τῶν θεῶν αὐτῶν ὅτι ποιήσουσιν, 170A
ἢ τὰ σφῶν αὐτῶν ἁμαρτήματα διορθουμένων· ἀλλὰ οἱ παλαιοὶ
25 τῶν ὄντων ἀεὶ τὰς αἰτίας ἤτοι τῶν θεῶν ὑφηγουμένων ⟨ἢ⟩ κατὰ
σφᾶς αὐτοὺς διερευνώμενοι (βέλτιον δὲ ἴσως εἰπεῖν, ζητοῦντες ὑφ’
ἡγεμόσι τοῖς θεοῖς) ἔπειτα εὑρόντες ἐσκέπασαν αὐτὰς μύθοις
παραδόξοις, ἵνα διὰ τοῦ παραδόξου καὶ ἀπεμφαίνοντος τὸ πλάσμα
φωραθὲν ἐπὶ τὴν ζήτησιν ἡμᾶς τῆς ἀληθείας προτρέψῃ, | τοῖς μὲν B

3 τέ fortasse delendum | καὶ ὀφθῆναι del. Friederich (sed cf. Caes. 8 infra p. 113,6: γέρων ὀφθῆναι καλός) | σκιὰν Petavius in mg.: -ὰ V ‖ **4** προβαλεῖν Friederich: -βάλλειν V ‖ **9** ἐκδίδωσι V: ἐν- Petavius (dubitanter) in mg.: δίδωσι Asmus[4] ‖ **12** τε del. Hertlein ‖ **14** μιμεῖσθαι τοὺς ⟨ἡγεμόνας⟩ ἡμῶν Platt (μιμ. τοὺς ἡγεμόνας Shorey, τοὺς ἡμῶν πρεσβυτέρους vel κρείττονας Asmus[1]): μιμ. τοὺς ἡμῶν V (μιμ. τί ἡμῶν U): μιμ. τὸ σημεῖον King: κινεῖσθαι ἐκ τούτων Rochefort ‖ **16** οὗπερ γενομένου delevi ‖ **22** ὑπολάβοι V: -η Hertlein (v. praef. XXVI) ‖ **25** ἢ add. Hertlein ‖ **27** αὐτὰς Hertlein: -ὰ V (cf. 3 supra p. 58,13)

ἰδιώταις ἀρκούσης, οἶμαι, τῆς ἀλόγου καὶ διὰ τῶν συμβόλων μόνων ὠφελείας, τοῖς δὲ περιττοῖς κατὰ τὴν φρόνησιν οὕτως ἂν μόνως ἐσομένης ὠφελίμου τῆς περὶ θεῶν ἀληθείας, εἴ τις ἐξετάζων αὐτὴν ὑφ' ἡγεμόσι τοῖς θεοῖς εὕροι καὶ λάβοι, διὰ μὲν τῶν αἰνιγμάτων ὑπομνησθεὶς ὅτι χρή τι περὶ αὐτῶν ζητεῖν, ἐς τέλος δὲ 5 καὶ ὥσπερ κορυφὴν τοῦ πράγματος διὰ τῆς σκέψεως {εὑρὼν} C πορευθείς, οὐκ αἰδοῖ καὶ πίστει μᾶλλον ἀλ|λοτρίας δόξης ἢ τῇ σφετέρᾳ κατὰ νοῦν ἐνεργείᾳ.

[11] Τί οὖν εἶναί φαμεν, ὡς ἐν κεφαλαίῳ; Κατανοήσαντες ἄχρι τοῦ πέμπτου σώματος οὐ τὸ νοητὸν μόνον, ἀλλὰ καὶ τὰ φαινόμενα 10 ταῦτα σώματα τῆς ἀπαθοῦς ὄντα καὶ θείας μερίδος, ἄχρι τούτου θεοὺς ἐνόμισαν ἀκραιφνεῖς εἶναι· τῇ γονίμῳ δὲ τῶν θεῶν οὐσίᾳ τῶν τῇδε παρυποστάντων, ἐξ ἀιδίου συμπροελθούσης τῆς ὕλης D τοῖς θεοῖς, παρ' αὐτῶν δὲ | καὶ δι' αὐτῶν διὰ τὸ ὑπέρπληρες αὐτῶν τῆς γονίμου καὶ δημιουργικῆς αἰτίας, ἡ τῶν ὄντων Προμήθεια, 15 συνουσιωμένη τοῖς θεοῖς ἐξ ἀιδίου, καὶ σύνθωκος μὲν οὖσα τῷ βασιλεῖ Διί, πηγὴ δὲ τῶν νοερῶν θεῶν, καὶ τὸ δοκοῦν ἄζωον καὶ ἄγονον καὶ σκύβαλον καὶ τῶν ὄντων, οἷον ἂν εἴποι τις, ἀποκάθαρμα καὶ τρύγα καὶ ὑποστάθμην διὰ τῆς τελευταίας ⟨αἰτίας⟩ τῶν θεῶν, εἰς ἣν αἱ πάντων οὐσίαι τῶν θεῶν ἀποτελευτῶσιν, ἐκόσμησέ 20 τε καὶ διωρθώσατο καὶ πρὸς τὸ κρεῖττον μετέστησεν.

171A Ὁ γὰρ Ἄττις οὗτος | ἔχων τὴν κατάστικτον τοῖς ἄστροις τιάραν εὔδηλον ὅτι τὰς πάντων τῶν θεῶν εἰς τὸν ἐμφανῆ κόσμον ὁρωμένας λήξεις ἀρχὰς ἐποιήσατο τῆς ἑαυτοῦ βασιλείας· ἐπ' αὐτῷ τὸ μὲν ἀκραιφνὲς καὶ καθαρὸν ἦν ἄχρι Γαλαξίου, περὶ τοῦτον δὲ 25 ἤδη τὸν τόπον μιγνυμένου πρὸς τὸ ἀπαθὲς τοῦ παθητοῦ καὶ τῆς ὕλης παρυφισταμένης ἐκεῖθεν ἡ πρὸς ταύτην κοινωνία κατάβασίς ἐστιν εἰς τὸ ἄντρον, οὐκ ἀκουσίως μὲν γενομένη τοῖς θεοῖς καὶ τῇ B τού|των Μητρί, λεγομένη δὲ ἀκουσίως γενέσθαι. Φύσει γὰρ ἐν

2 μόνων V: -ον vet. vulg. ‖ **2–3** aut ἂν delendum aut γενομένης scribendum censuit Hertlein, sed cf. K.-G. I 242 ‖ **6** τῆς vet. vulg.: τε V (ut videtur; etiam U) ‖ **6–7** {εὑρὼν} πορευθείς scripsi (εὑρὼν πορευθείς iam Klimek): εὑρ. -είη V ‖ **7–8** τῇ σφετέρᾳ Hertlein: τῆς ἐφ' ἑτέρᾳ V ‖ **9** εἶναί V: ⟨τὸν Ἄττιν⟩ εἶναι Asmus[1], εὑρηκέναι Asmus[4] ‖ **11** τούτου Hertlein: -ους V ‖ **18** εἴποι vet. vulg.: -ῃ V, sed Iulianus omnibus aliis locis ἄν cum optativi forma verbi εἰπεῖν coniungit, nusquam subiunctivi ‖ **19** τελευταίας ⟨αἰτίας⟩ τῶν θεῶν Hertlein: τελευταίας τῶν θεῶν ⟨λήξεως⟩ Asmus[4], fortasse recte **24** ὁρωμένας V: ὁρμω- Friederich (coll. 8 supra p. 66,8: ἐπὶ γῆν ὁρμώμενος)

κρείττονι τοὺς θεοὺς ὄντας οὐκ ἐκεῖθεν ἐπὶ τάδε καθέλκειν ἐθέλει τὰ βελτίω, ἀλλὰ διὰ τῆς τῶν κρειττόνων συγκαταβάσεως καὶ ταῦτα ἀνάγειν ἐπὶ τὴν ἀμείνονα καὶ θεοφιλεστέραν λῆξιν. Οὕτω τοι καὶ τὸν Ἄττιν οὐ κατεχθραίνουσα μετὰ τὴν ἐκτομὴν ἡ Μήτηρ
5 λέγεται, ἀλλὰ ἀγανακτεῖ μὲν οὐκέτι, ἀγανακτοῦσα δὲ λέγεται διὰ τὴν συγκατάβασιν, ὅτι κρείττων ὢν καὶ | θεὸς ἔδωκεν ἑαυτὸν τῷ C καταδεεστέρῳ· στήσαντα δὲ αὐτὸν τῆς ἀπειρίας τὴν πρόοδον καὶ τὸ ἀκόσμητον τοῦτο κοσμήσαντα διὰ τῆς πρὸς τὸν ἰσημερινὸν κύκλον συμπαθείας, ἵνα ὁ μέγας Ἥλιος τῆς ὡρισμένης κινήσεως
10 τὸ τελειότατον κυβερνᾷ μέτρον, ἐπανάγει πρὸς ἑαυτὴν ἡ θεὸς ἀσμένως, μᾶλλον δὲ ἔχει παρ' ἑαυτῇ.

Καὶ οὐδέποτε γέγονεν ὅτε μὴ ταῦτα τοῦτον ἔχει τὸν τρόπον ὅνπερ νῦν ἔχει, ἀλλ' ἀεὶ μὲν Ἄττις ἐστὶν ὑπουργὸς | τῇ Μητρὶ καὶ D ἡνίοχος, ἀεὶ δὲ ὀργᾷ εἰς τὴν γένεσιν, ἀεὶ δὲ ἀποτέμνεται τὴν
15 ἀπειρίαν διὰ τῆς ὡρισμένης τῶν εἰδῶν αἰτίας. Ἐπαναγόμενος δὲ ὥσπερ ἐκ γῆς τῶν ἀρχαίων αὖθις λέγεται δυναστεύειν σκήπτρων, ἐκπεσὼν μὲν αὐτῶν οὐδαμῶς οὐδὲ ἐκπίπτων, ἐκπεσεῖν δὲ αὐτῶν λεγόμενος διὰ τὴν πρὸς τὸ παθητὸν σύμμιξιν.

[12] Ἀλλ' ἐκεῖνο ἴσως ἄξιον προσαπορῆσαι· διττῆς γὰρ οὔσης
20 τῆς ἰσημερίας, οὐ | τὴν ἐν ταῖς Χηλαῖς, τὴν δὲ ἐν τῷ Κριῷ προτι- 172A μῶσιν. Τίς οὖν αἰτία τούτου, φανερὸν δήπουθεν· ἐπειδὴ γὰρ ἡμῖν ὁ ἥλιος ἄρχεται τότε πλησιάζειν ἀπὸ τῆς ἰσημερίας, αὐξομένης, οἶμαι, τῆς ἡμέρας, ἔδοξεν οὗτος ὁ καιρὸς ἁρμοδιώτερος. Ἔξω γὰρ τῆς αἰτίας, ᾗ φησι τοῖς θεοῖς εἶναι τὸ φῶς σύνδρομον, ἔχειν
25 οἰκείως πιστευτέον τοῖς ἀφεθῆναι τῆς γενέσεως σπεύδουσι τὰς ἀναγωγοὺς ἀκτῖνας ἡλίου. Σκόπει δὲ ἐναργῶς· ἕλκει μὲν ἀπὸ τῆς | γῆς πάντα καὶ προκαλεῖται καὶ βλαστάνειν ποιεῖ τῇ ζωπυρίδι B καὶ θαυμαστῇ θέρμῃ, διακρίνων, οἶμαι, πρὸς ἄκραν λεπτότητα τὰ σώματα, καὶ τὰ φύσει φερόμενα κάτω κουφίζει.

30 Τὰ δὴ τοιαῦτα τῶν ἀφανῶν αὐτοῦ δυνάμεων ποιητέον τεκμήρια· ὁ γὰρ ἐν τοῖς σώμασι διὰ τῆς σωματοειδοῦς θέρμης οὕτω

1 κρείττονι ⟨λήξει⟩ Asmus[4] dubitanter ‖ **10** ἐπανάγει vix legi potest in V (sed habet U) ‖ **12** ἔχει V: εἶχε Hertlein ‖ **14** ὀργᾷ εἰς Petavius in mg. (hiatum non curans): ὀργίζει V: -άζει vulg.: ὁρίζει Ugenti ‖ **20** τὴν[1] ⟨μὲν⟩ Rochefort ‖ **20–21** προτιμῶσιν Petavius („vel προστιμῶσιν"): προστόμωσιν V ‖ **25** πιστευτέον Hertlein: πιστεῦον V: πιστεύω Petavius dubitanter: πειστέον Ugenti in app. ‖ **27** προκαλεῖται Hertlein in app.: προσ- V

τοῦτο ἀπεργαζόμενος, πῶς οὐ διὰ τῆς ἀφανοῦς καὶ ἀσωμάτου
C πάντῃ καὶ θείας καὶ καθαρᾶς ἐν ταῖς ἀκτῖσιν ἱδρυμένης οὐσίας |
ἕλξει καὶ ἀνάξει τὰς εὐτυχεῖς ψυχάς; Οὐκοῦν ἐπειδὴ πέφηνεν
οἰκεῖον μὲν τοῖς θεοῖς τὸ φῶς τοῦτο καὶ τοῖς ἀναχθῆναι σπεύδου-
σιν, αὔξεται δὲ ἐν τῷ παρ' ἡμῖν κόσμῳ τὸ τοιοῦτον ὥστε εἶναι τὴν 5
ἡμέραν μείζω τῆς νυκτός, Ἡλίου τοῦ βασιλέως ἐπιπορεύεσθαι τὸν
Κριὸν ἀρξαμένου, δέδεικται δὴ καὶ ἀναγωγὸν φύσει τὸ τῶν
ἀκτίνων τοῦ θεοῦ διά τε τῆς φανερᾶς ἐνεργείας καὶ τῆς ἀφανοῦς,
D ὑφ' ἧς παμπληθεῖς ἀνήχθησαν ψυχαὶ τῶν αἰσθή|σεων ἀκολουθή-
σασαι τῇ φανοτάτῃ καὶ μάλιστα ἡλιοειδεῖ. Τὴν γὰρ τοιαύτην τῶν 10
ὀμμάτων αἴσθησιν οὐκ ἀγαπητὴν μόνον οὐδὲ χρήσιμον εἰς τὸν
βίον, ἀλλὰ καὶ πρὸς σοφίαν ὁδηγὸν ὁ δαιμόνιος ἀνύμνησε
Πλάτων. Εἰ δὲ καὶ τῆς ἀρρήτου μυσταγωγίας ἁψαίμην, ἣν ὁ
Χαλδαῖος περὶ τὸν ἑπτάκτινα θεὸν ἐβάκχευσεν ἀνάγων δι' αὐτοῦ
173A τὰς ψυχάς, ἄγνωστα ἐρῶ, καὶ μάλα γε ἄγνωστα τῷ συρφετῷ,| 15
θεουργοῖς δὲ τοῖς μακαρίοις γνώριμα· διόπερ αὐτὰ σιωπήσω
τανῦν.

[13] Ὅπερ δὲ ἔλεγον, ὅτι καὶ τὸν καιρὸν οὐκ ἀλόγως ὑπολη-
πτέον, ἀλλ' ὡς ἔνι μάλιστα μετὰ εἰκότος καὶ ἀληθοῦς λόγου παρὰ
τῶν παλαιῶν τῷ θεσμῷ προστεθεῖσθαι, σημεῖον δὴ τούτου ὅτι τὸν 20
ἰσημερινὸν κύκλον ἡ θεὸς αὐτὴ κατενείματο. Τελεῖται γὰρ περὶ
τὸν Ζυγὸν Δηοῖ καὶ Κόρῃ τὰ σεμνὰ καὶ ἀπόρρητα μυστήρια, καὶ
B τοῦτο εἰκότως γίνεται· χρὴ γὰρ καὶ | ἀπιόντι τῷ θεῷ τελεσθῆναι
πάλιν, ἵνα μηδὲν ὑπὸ τῆς ἀθέου καὶ σκοτεινῆς δυσχερὲς πάθωμεν
ἐπικρατούσης δυνάμεως. Δὶς γοῦν Ἀθηναῖοι τῇ Δηοῖ τελοῦσι τὰ 25
μυστήρια, ἐν αὐτῷ μὲν τῷ Κριῷ τὰ Μικρά, φασί, Μυστήρια, τὰ

15 ἄγνωστα²…συρφετῷ Suda σ 1672 (ταῦτα δὲ ἄγνωστα τῷ συρφετῷ) | ad συρφετῷ V habet scholion in margine (ἀγυρτώδης ὄχλος ἢ λόγος ἢ ἡ ἐξ ἀνέμου συλλεγομένη κόπρος καὶ φρυγανώδης ἤτοι κονιορτός. Μετακομιδῆς τινὲς δὲ χειμὼν ἢ συρμός = Suda σ 1672, ubi μετὰ κοπρίων legitur pro μετακομιδῆς et καὶ συρμός pro ἢ συρμός)

5 τοιοῦτον Hertlein (cf. 2 supra p. 57,7 ἓν μὲν δὴ τοιοῦτον ἔδειξεν, 18 infra p. 75,19 τοσοῦτον ὡς, or. 2[3] p. 109C κάλλος τοσοῦτον ὥστε): -ο V **7** δέδεικται δὴ Hertlein in app.: δέδ. δὲ V (δέ apodoticum interpretatus est Prato coll. Denniston, Greek Particles p. 179, prob. Ugenti: „anacoluthon servandum“): δέδ. Spanheim ‖ **20** δὴ Shorey: δὲ V ‖ **21** αὐτὴ Wright: αὕτη V ‖ **26** ἐν om. vet. vulg. | τὰ Μικρὰ φασὶ Μυστήρια V: ἃ Μ. φασι Μυστ. Hertlein 1847

Μεγάλα δὲ περὶ τὰς Χηλὰς ὄντος ἡλίου, δι' ἃς ἔναγχος ἔφην
αἰτίας. Μεγάλα δὲ ὠνομάσθαι καὶ Μικρὰ νομίζω καὶ ἄλλων
ἕνεκα, μάλιστα δέ, ὡς εἰκός, τούτου ἀποχωροῦντος τοῦ θεοῦ
μᾶλλον ἤπερ προσιόντος· διόπερ ἐν τούτοις ὅσον εἰς ὑπόμνησιν
5 μόνον, | ἅτε δὴ καὶ παρόντος τοῦ σωτῆρος καὶ ἀναγωγοῦ θεοῦ, τὰ C
προτέλεια κατεβάλλοντο τῆς τελετῆς, εἶτα μικρὸν ὕστερον ἁγνεῖαι
συνεχεῖς καὶ τῶν ἱερῶν ἁγιστεῖαι. Ἀπιόντος δὲ λοιπὸν τοῦ θεοῦ
πρὸς τὴν ἀντίχθονα ζώνην καὶ φυλακῆς ἕνεκα καὶ σωτηρίας αὐτὸ
τὸ κεφάλαιον ἐπιτελεῖται τῶν μυστηρίων. Ὅρα δέ· ὥσπερ
10 ἐνταῦθα τὸ τῆς γενέσεως αἴτιον ἀποτέμνεται, οὕτω δὲ καὶ παρὰ
Ἀθηναίοις οἱ τῶν ἀρρήτων ἁπτόμενοι παναγεῖς εἰσι, καὶ ὁ τούτων
ἐξάρχων ἱεροφάντης ἀπέστρα|πται πᾶσαν τὴν γένεσιν, ὡς οὐ D
μετὸν αὐτῷ τῆς ἐπ' ἄπειρον προόδου, τῆς ὡρισμένης δὲ καὶ ἀεὶ
μενούσης καὶ ἐν τῷ ἑνὶ συνεχομένης οὐσίας ἀκηράτου τε καὶ
15 καθαρᾶς. Ὑπὲρ μὲν δὴ τούτων ἀπόχρη τοσαῦτα.

[14] Λείπεται δὴ λοιπόν, ὡς εἰκός, ὑπέρ τε τῆς ἁγιστείας
αὐτῆς καὶ τῆς ἁγνείας διεξελθεῖν, ἵνα καὶ ἐντεῦθεν λάβωμεν εἰς
τὴν | ὑπόθεσιν εἴ τι συμβάλλεται. Γελοῖον δὲ αὐτίκα τοῖς πᾶσιν 174A
ἐκεῖνο φαίνεται· κρεῶν μὲν ἅπτεσθαι δίδωσιν ὁ ἱερὸς νόμος,
20 ἀπαγορεύει δὲ τῶν σπερμάτων. Οὐκ ἄψυχα μὲν ἐκεῖνα, ταῦτα δὲ
ἔμψυχα; Οὐ καθαρὰ μὲν ἐκεῖνα, ταῦτα δὲ αἵματος καὶ πολλῶν
ἄλλων οὐκ εὐχερῶν ὄψει τε καὶ ἀκοῇ πεπληρωμένα; Οὐ, τὸ
μέγιστον, ἐκείνοις μὲν πρόσεστι τὸ μηδένα ἐκ τῆς ἐδωδῆς ἀδικεῖ-
σθαι, τούτοις δὲ τὸ καταθύεσθαι καὶ κατασφάτ|τεσθαι τὰ ζῷα B
25 ἀλγοῦντά γε, ὡς εἰκός, καὶ τρυχόμενα; Ταῦτα πολλοὶ καὶ τῶν
περιττῶν εἴποιεν ἄν, ἐκεῖνα δὲ ἤδη κωμῳδοῦσι καὶ τῶν ἀνθρώπων
οἱ δυσσεβέστατοι· Τὰ μὲν ὄρμενά φησιν ἐσθίεσθαι τῶν λαχάνων,
παραιτεῖσθαι δὲ τὰς ῥίζας, ὥσπερ γογγυλίδας, καὶ σῦκα μὲν
ἐσθίεσθαί φησι, ῥοιὰς δὲ οὐκέτι καὶ μῆλα πρὸς τούτοις. Ταῦτα
30 ἀκηκοὼς μινυριζόντων πολλῶν πολλάκις, ἀλλὰ καὶ ⟨αὐτὸς⟩
εἰρηκὼς πρότερον, ἔοικα ἐγὼ μόνος ἐκ πάν|των πολλὴν εἴσεσθαι C

3 ὅτι post τούτου et τελεῖται post προσιόντος supplendum censuit Asmus[4]
7 ἱερῶν V: -έων Hertlein in app. ‖ 19 φαίνεται, ⟨ὡς⟩ Ugenti ‖ 22 οὐ Petavius: οὗ V ‖ 27 φησιν V: φα- Hertlein (v. praef. XXV) ‖ 29 φησι V: φα- Hertlein (v. praef. XXV) ‖ 30–31 ⟨αὐτὸς⟩ εἰρηκὼς Hertlein ‖ 31 εἴσεσθαι Hertlein (coll. C. Heracl. 18 supra p. 38,10: ἔοικα … γράψειν): εἴδεσθαι V: εἰδέναι Hertlein 1847

τοῖς δεσπόταις θεοῖς μάλιστα μὲν ἅπασι, πρὸ τῶν ἄλλων δὲ τῇ Μητρὶ τῶν θεῶν, ὥσπερ ἐν τοῖς ἄλλοις ἅπασιν, οὕτω δὲ καὶ ἐν τούτῳ χάριν ὅτι με μὴ περιεῖδεν ὥσπερ ἐν σκότῳ πλανώμενον, ἀλλά μοι πρῶτον μὲν ἐκέλευσεν ἀποκόψασθαι, οὔτι κατὰ τὸ σῶμα, κατὰ δὲ τὰς ψυχικὰς ἀλόγους ὁρμὰς καὶ κινήσεις τῇ νοερᾷ 5 καὶ προεστώσῃ τῶν ψυχῶν ἡμῶν αἰτίᾳ τὰ περιττὰ καὶ μάταια· D ἐπὶ νοῦν δὲ ἔδωκεν αὕτη λόγους τινὰς ἴσως οὐκ | ἀπᾴδοντας πάντῃ τῆς ὑπὲρ θεῶν ἀληθοῦς ἅμα καὶ εὐαγοῦς ἐπιστήμης.

Ἀλλ' ἔοικα γάρ, ὥσπερ οὐκ ἔχων ὅ τι φῶ, κύκλῳ περιτρέχειν· ἐμοὶ δὲ πάρεστι μὲν καὶ καθ' ἕκαστον ἐπιόντι σαφεῖς καὶ τηλαυ- 10 γεῖς αἰτίας ἀποδοῦναι, τοῦ χάριν ἡμῖν οὐ θέμις ἐστὶ προσφέρεσθαι ταῦτα ὧν ὁ θεῖος εἴργει θεσμός, καὶ ποιήσω γε αὐτὸ μικρὸν ὕστερον· ἄμεινον δὲ νῦν ὥσπερ τύπους τινὰς προθεῖναι καὶ κανόνας, οἷς ἑπόμενοι, κἄν τι πολλάκις ὑπὸ τῆς σπουδῆς παρέλθῃ τὸν λόγον, ἕξομεν ὑπὲρ τούτων κρῖναι. 15

175A **[15]** Προσήκει δὲ πρῶτον ὑπομνῆσαι διὰ βραχέων, | τίνα τε ἔφαμεν εἶναι τὸν Ἄττιν καὶ τί τὴν ἐκτομήν, τίνος τε εἶναι σύμβολα τὰ μετὰ τὴν ἐκτομὴν ἄχρι τῶν Ἱλαρίων γινόμενα καὶ τί βούλεσθαι τὴν ἁγνείαν.

Ὁ μὲν οὖν Ἄττις ἐλέγετο αἰτία τις οὖσα καὶ θεός, ὁ προσεχῶς 20 δημιουργῶν τὸν ἔνυλον κόσμον, ὃς μέχρι τῶν ἐσχάτων κατιὼν ἵσταται ὑπὸ τῆς ἡλίου δημιουργικῆς κινήσεως, ὅταν ἐπὶ τῆς B ἄκρως ὡρισμένης τοῦ παντὸς ὁ θεὸς γένηται πε|ριφερείας, ᾗ τῆς ἰσημερίας τοὔνομά ἐστι κατὰ τὸ ἔργον. Ἐκτομὴν δὲ ἐλέγομεν εἶναι τῆς ἀπειρίας τὴν ἐποχήν, ἣν οὐκ ἄλλως ἢ διὰ τῆς ἐπὶ τὰς 25 πρεσβυτέρας καὶ ἀρχηγικωτέρας αἰτίας ἀνακλήσεώς τε καὶ ἀναδύσεως συμβαίνειν. Αὐτῆς δὲ τῆς ἁγνείας φαμὲν τὸν σκοπὸν ἄνοδον τῶν ψυχῶν.

[16] Οὐκοῦν οὐκ ἐᾷ πρῶτον σιτεῖσθαι τὰ κατὰ γῆς δυόμενα σπέρματα· ἔσχατον μὲν γὰρ τῶν ὄντων ἡ γῆ. Ἐνταῦθα δέ φησιν 30

2 δὲ om. vet. vulg.: fort. δὴ scribendum ‖ **4** πρῶτον μὲν Hertlein: πρῶτόν γε V (quod nusquam alibi in Iuliani scriptis invenitur) ‖ **6** προεστώσῃ V: προϋφεστώσῃ Hertlein in app. (cf. ad 4 supra p. 59,13) ‖ **8** ἅμα Hertlein: ἀλλὰ V (quod defendit Ugenti, coll. 14 supra p. 71,29-31: ταῦτα ἀκηκοὼς ..., ἀλλὰ καὶ ⟨αὐτὸς⟩ εἰρηκώς) ‖ **11** ⟨τὰς⟩ αἰτίας Klimek ‖ **12** γε V: δὲ Hertlein dubitanter in app. ‖ **23** ᾗ Hertlein in app.: οὗ V

ἀπελαθέντα καὶ Πλάτων τὰ κακὰ στρέφεσθαι, καὶ διὰ τῶν λογίων | οἱ θεοὶ σκύβαλον αὐτὸ πολλαχοῦ καλοῦσι, καὶ φεύγειν ἐντεῦθεν C {πολλαχοῦ} παρακελεύονται.

Πρῶτον οὖν ἡ ζωογόνος καὶ προμηθὴς θεὸς οὐδὲ ἄχρι τῆς τῶν 5 σωμάτων τροφῆς ἐπιτρέπει τοῖς κατὰ γῆς δυομένοις χρῆσθαι, παραινοῦσά γε πρὸς τὸν οὐρανόν, μᾶλλον δὲ καὶ ὑπὲρ τὸν οὐρανὸν βλέπειν. Ἑνί τινες κέχρηνται σπέρματι, τοῖς λοβοῖς, οὐ σπέρμα μᾶλλον ἢ λάχανον αὐτὸ νομίζοντες εἶναι τῷ πεφυ|κέναι πως D ἀνωφερὲς καὶ ὀρθὸν καὶ οὐδὲ ἐρριζῶσθαι κατὰ τῆς γῆς· ἐρρίζωται 10 δέ, ὥσπερ οὖν ἐκ δένδρου κιττοῦ τινος ἢ καὶ ἀμπέλου καρπὸς ἤρτηται ἐκ κλήματος. Ἀπηγόρευται μὲν οὖν ἡμῖν σπέρματι χρῆσθαι διὰ τοῦτο φυτῶν, ἐπιτέτραπται δὲ χρῆσθαι καρποῖς καὶ λαχάνοις, οὐ τοῖς χαμαιζήλοις, ἀλλὰ τοῖς ἐκ γῆς αἰρομένοις ἄνω μετεώροις. Ταύτῃ τοι καὶ τῆς γογγυλίδος τὸ μὲν γεωχαρές, ὡς 15 χθόνιον, ἐπιτάττει παραιτεῖσθαι, τὸ δὲ ἀναδυόμενον | ἄνω καὶ εἰς 176A ὕψος αἰρόμενον, ὡς αὐτῷ τούτῳ καθαρὸν τυγχάνον, δίδωσι προσενέγκασθαι. Τῶν γοῦν λαχάνων ὀρμένοις μὲν συγχωρεῖ χρῆσθαι, ῥίζαις δὲ ἀπαγορεύει καὶ μάλιστα ταῖς ἐντρεφομέναις καὶ συμπαθούσαις τῇ γῇ. Καὶ μὴν καὶ τῶν δένδρων μῆλα μέν, ὡς 20 ἱερὰ καὶ χρυσᾶ καὶ τῶν ἀρρήτων ἄθλων καὶ τελεστικῶν εἰκόνας,

1 Plat. Theaet. 176a ‖ **2** cf. Plat. Theaet. 176a8–b1 (πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα)

7 ad λοβοῖς V habet scholion in margine (λοβοὶ τὰ ἄκρα πάντα. κυρίως δὲ τῶν ὤτων τὰ κάτω καὶ τὸ ἀγγεῖον ἐριβίνθου [sic] καὶ κυάμου καὶ ἐν θυτικῇ σημεῖον [sic] τι ἐν τῷ ἥπατι ≈ Suda λ 634 (brevius Hesych. λ 1187)

1 ⟨καὶ⟩ ἀπελαθέντα vet. vulg. ‖ **3** πολλαχοῦ del. Wyttenbach (ad Plat. Phaed. 111a): defendit Ugenti coll. C. Heracl. 24 supra p. 51,29 (πανταχοῦ πάντα ἐπειράθη τὰ μυστήρια τῶν θεῶν ἐποπτεῦσαι καὶ τελεσθῆναι παντοίας πανταχοῦ τελετάς) ‖ **10** οὖν Asmus[4] (verbis ὥσπερ οὖν Iulianus saepe etiam media in sententia utitur): οὐκ V, del. Petavius ‖ **11** ἐκ κλήματος Rochefort: τῆς καλάμης V (quod defendit Prato: „subaud. ἐκ"): καὶ καλάμης Hertlein („deesse nonnulla puto, quibus triticei seminis mentio fiat; quod quidem καλάμη sustinet" Petavius): ἢ καὶ καλάμης Boulenger[2]: ⟨κατὰ⟩ τῆς καλάμης (κατὰ καλάμης iam Asmus[4]) Ugenti, qui haec verba cum ἐρρίζωται δέ (scil. σπέρμα) coniungit ‖ **14** μετεώροις V (μεται-, sed ε supra αι scripto, et μετεώροις U): -ρως vet. vulg.: fortasse ut glossa delendum ‖ **16** αὐτῷ τούτῳ Hertlein: αὐτὸ τοῦτο V ‖ **20** χρυσᾶ V: -ῶν Asmus[4] (qui tum καὶ {τῶν} ἀρρήτων ἄθλων legebat) | τῶν om. Hertlein

καταφθείρειν οὐκ ἐπέτρεψε καὶ καταναλίσκειν, ἄξιά γε ὄντα τῶν
B ἀρχετύπων χάριν τοῦ σέβε|σθαί τε καὶ θεραπεύεσθαι· ῥοιὰς δέ, ὡς
φυτὸν χθόνιον, παρῃτήσατο καὶ τοῦ φοίνικος δὲ τὸν καρπόν, ἴσως
μὲν ἄν τις εἴποι διὰ τὸ μὴ γίνεσθαι περὶ τὴν Φρυγίαν, ἔνθα
πρῶτον ὁ θεσμὸς κατέστη· ἐμοὶ δὲ δοκεῖ μᾶλλον, ὡς ἱερὸν ἡλίου 5
τὸ φυτὸν ἀγήρων τε ὄν, οὐ συγχωρῆσαι καταναλίσκειν ἐν ταῖς
ἁγιστείαις εἰς τροφὴν σώματος. Ἐπὶ τούτοις ἀπηγόρευται ἰχθύσιν
ἅπασι χρῆσθαι· κοινὸν δέ ἐστι τοῦτο καὶ πρὸς Αἰγυπτίους τὸ πρό-
C |βλημα.

[17] Δοκεῖ δὲ ἔμοιγε δυοῖν ἕνεκεν ἄν τις ἰχθύων μάλιστα μὲν 10
ἀεί, πάντως δὲ ἐν ταῖς ἁγιστείαις ἀποσχέσθαι· ἑνὸς μέν, ὅτι
τούτων ἃ μὴ θύομεν τοῖς θεοῖς οὐδὲ σιτεῖσθαι προσῆκε. Δέος δὲ
ἴσως οὐδέν, μή πού τις ἐνταῦθα λίχνος καὶ γάστρις ἐπιλάβηταί
μου, ὥς που καὶ πρότερον ἤδη παθὼν αὐτὸ διαμνημονεύω, „Διὰ
τί δέ; οὐχὶ καὶ θύομεν αὐτῶν πολλάκις τοῖς θεοῖς;“ εἰπόντος 15
D ἀκούσας. Ἀλλ' ἔχομέν τι καὶ πρὸς τοῦτο εἰπεῖν· „Καὶ θύομέν γε“ |
ἔφην „ὦ μακάριε, ἔν τισι τελεστικαῖς θυσίαις, ὡς ἵππον Ῥωμαῖοι,
ὡς πολλὰ καὶ ἄλλα θηρία καὶ ζῷα, κύνας ἴσως Ἕλληνες Ἑκάτῃ
καὶ Ῥωμαῖοι δέ· καὶ πολλὰ παρ' ἄλλοις ἐστὶ τῶν τελεστικῶν, καὶ
δημοσίᾳ ταῖς πόλεσιν ἅπαξ τοῦ ἔτους ἢ δὶς τοιαῦτα θύματα, ἀλλ' 20
οὐκ ἐν ταῖς τιμητηρίοις, ὧν μόνον κοινωνεῖν ἄξιον καὶ τραπεζοῦν
θεοῖς. Τοὺς δὲ ἰχθύας ἐν ταῖς τιμητηρίοις οὐ θύομεν ὅτι μηδὲ
177A νέμομεν μηδὲ τῆς γενέσεως αὐτῶν ἐπι| μελούμεθα μήτε ἡμῖν εἰσιν
ἀγέλαι καθάπερ προβάτων καὶ βοῶν οὕτω δὲ καὶ τῶν ἰχθύων.
Ταῦτα μὲν γὰρ ὑφ' ἡμῶν βοηθούμενα τὰ ζῷα καὶ πληθύνοντα διὰ 25
τοῦτο δικαίως ἂν ἡμῖν εἴς τε τὰς ἄλλας χρείας ἐπικουροίη καὶ πρό
γε τῶν ἄλλων ἐς τιμητηρίους θυσίας.“

1 καταφθείρειν Petavius in mg.: μετα- V ‖ **2** τε Hertlein: γε V ‖ **6** ἀγήρων vet. vulg.: -ρω V ‖ **10** δυοῖν Hertlein: δοιοῖν V (quae vox poetica nusquam alibi in Iuliano invenitur) ‖ **12** προσῆκε V: -ήκει Hertlein ‖ **15** signum interrogationis posuit Hertlein ‖ **16** ἔχομεν V: εἴχ- Hertlein ‖ **18** θηρία καὶ del. Klimek ‖ **18–19** verba κύνας ἴσως — Ῥωμαῖοι δέ fortasse ut glossa delenda (ὡς πολλὰ — Ῥωμαῖοι δέ iam Asmus[4] delere volebat) ‖ **19** ἄλλοις vet. vulg.: ἀλλήλοις V ‖ **21** τιμητηρίοις V: -αις vet. vulg. (etiam una linea infra) | ὧν V: ἐφ' ὧν (tum τραπεζῶν pro τραπεζοῦν) Petavius | μόνον V: -ων Hertlein ‖ **22** μηδὲ — μηδὲ — μήτε V: μήτε — μήτε — μήτε Hertlein: μηδὲ — μήτε — μήτε Rochefort (v. praef. XXVI) ‖ **27** ἐς ⟨τάς⟩ Boulenger[2]

Εἷς μὲν δὴ λόγος οὗτος, δι' ὃν οὐκ οἶμαι δεῖν ἰχθῦν ἐν ἁγνείας καιρῷ προσφέρεσθαι τροφήν· ἕτερος δέ, ὃν καὶ μᾶλλον ἡγοῦμαι τοῖς προειρημένοις ἁρμόζειν, ὅτι τρόπον τινὰ καὶ | αὐτοὶ κατὰ τοῦ B βυθοῦ δεδυκότες εἶεν ἂν χθονιώτεροι τῶν σπερμάτων, ὁ δὲ ἐπιθυ-
5 μῶν ἀναπτῆναι καὶ μετέωρος ὑπὲρ τὸν ἀέρα πρὸς αὐτὰς ⟨τὰς⟩ οὐρανοῦ πτῆναι κορυφὰς δικαίως ἂν ἀποστρέφοιτο πάντα τὰ τοιαῦτα, μεταθέοι δὲ καὶ μετατρέχοι τὰ τεινόμενα πρὸς τὸν ἀέρα καὶ σπεύδοντα „πρὸς τὸ ἄναντες" καί, ἵνα τι καὶ ποιητικὸν εἴπω, πρὸς τὸν οὐρανὸν ὁρῶντα. Ὄρνισιν οὖν ἐπιτρέπει χρῆσθαι πλὴν
10 ὀλίγων, οὓς ἱεροὺς εἶναι πάντῃ συμβέβηκεν, καὶ τῶν τετραπόδων τοῖς συνήθεσιν, ἔξω τοῦ χοίρου. | Τοῦτον δὲ ὡς χθόνιον πάντῃ ⟨τῇ⟩ C μορφῇ τε καὶ τῷ βίῳ καὶ αὐτῷ τῷ τῆς οὐσίας λόγῳ, περιττωματικός τε γὰρ καὶ παχὺς τὴν σάρκα, τῆς ἱερᾶς ἀποκηρύττει τροφῆς. Φίλον γὰρ εἶναι πεπίστευται θῦμα τοῖς χθονίοις θεοῖς οὐκ ἀπεικό-
15 τως· ἀθέατον γάρ ἐστιν οὐρανοῦ τουτὶ τὸ ζῷον, οὐ μόνον οὐ βουλόμενον, ἀλλ' οὐδὲ πεφυκὸς ἀναβλέψαι ποτέ. Τοιαύτας μὲν δὴ αἰτίας ὑπὲρ τῆς ἀποχῆς ὧν ἀπέχεσθαι δεῖ εἴρη|κεν ὁ θεῖος θεσμός· D οἱ ξυνιέντες δὲ κοινούμεθα τοῖς ἐπισταμένοις θεούς.

[18] Ὑπὲρ δὲ ὧν ἐπιτρέπει χρῆσθαι λέγομεν τοσοῦτον ὡς οὐ
20 πᾶσιν ἅπαντας, τὸ δυνατὸν δὲ ὁ θεῖος νόμος τῇ ἀνθρωπίνῃ φύσει σκοπῶν ἐπέτρεψε χρῆσθαι τουτοισὶ τοῖς πολλοῖς, οὐχ ἵνα πᾶσι πάντες ἐξ ἀνάγκης χρησώμεθα (τοῦτο μὲν γὰρ ἴσως οὐκ εὔκολον), ἀλλ' ὅπως ἐκείνῳ, ὅτῳ ἄρα πρῶτον μὲν ἡ τοῦ σώματος συγχωροίη δύναμις, εἶτά τις περιουσία | συντρέχει καὶ τρίτον ἡ προαίρε- 178A
25 σις, ἣν ἐν τοῖς ἱεροῖς οὕτως ἄξιον ἐπιτείνειν, ὥστε καὶ ὑπὲρ τὴν τοῦ σώματος δύναμιν ὁρμᾶν καὶ προθυμεῖσθαι τοῖς θείοις ἀκολου-

9 Hom. Τ 257 (ἰδὼν εἰς οὐρανὸν εὐρύν) dubitanter confert Ugenti

1 ἰχθῦν V: -ὺν vet. vulg. (cf. ep. 4 p. 12,13 Bidez; sed forma ἰχθῦν satis frequens in posteriore Graecitate) ‖ **5** τὰς add. Boulenger[2], τὰς τοῦ iam Asmus[1] ‖ **8** τι καὶ ποιητικὸν V: τι καὶ ποιητικώτερον Naber coll. C. Heracl. 1 supra p. 16,9 (εἰ χρή τι καὶ νεανικώτερον εἰπεῖν): {τι καὶ} ποιητικώτερον Wright ‖ **9** ὁρῶντα V: ὁρμ- Naber (sed cf. infra l. 15-16: ἀθέατον ... οὐρανοῦ ..., οὐ μόνον οὐ βουλόμενον, ἀλλ' οὐδὲ πεφυκὸς ἀναβλέψαι) | ὄρνισιν Hertlein (τοῖς ὄρνισιν iam Petavius in mg.): θυήνησιν V: πτηνοῖς Spanheim **10** συμβέβηκεν V: -κε Hertlein ‖ **11** πάντῃ ⟨τῇ⟩ Boulenger[2] ‖ **17** ἀποχῆς U: -οῦ V ‖ **19** χρῆσθαι et hic et duabus lineis infra abesse mavult Hertlein in app. ‖ **20** ἅπαντας V: -α Hertlein in app. ‖ **23–24** συγχωροίη V: -ρεῖ Hertlein in app.

θεῖν θεσμοῖς. Ἔστι γὰρ δὴ τοῦτο μάλιστα μὲν ἀνυσιμώτερον αὐτῇ τῇ ψυχῇ πρὸς σωτηρίαν, εἰ μείζονα λόγον αὐτῆς, ἀλλὰ μὴ τοῦ σώματος τῆς ἀσφαλείας ποιήσαιτο· πρὸς δὲ καὶ αὐτὸ τὸ σῶμα μείζονος καὶ θαυμασιωτέρας φαίνεται λεληθότως τῆς ὠφελείας με-
B |ταλαγχάνον. 5

Ὅταν γὰρ ἡ ψυχὴ πᾶσαν ἑαυτὴν δῷ τοῖς θεοῖς, ὅλα τὰ καθ' ἑαυτὴν ἐπιτρέψασα τοῖς κρείττοσιν, ἑπομένης, οἶμαι, τῆς ἁγιστείας καὶ πρό γε ταύτης τῶν θείων θεσμῶν ἡγουμένων, ὄντος οὐδενὸς λοιπὸν τοῦ ἀπείργοντος καὶ ἐμποδίζοντος – πάντα γάρ ἐστιν ἐν τοῖς θεοῖς καὶ πάντα περὶ αὐτοὺς ὑφέστηκε καὶ *πάντα τῶν* 10 *θεῶν ἐστι πλήρη* –, αὐτίκα μὲν αὐταῖς ἐλλάμπει τὸ θεῖον φῶς,
C θεωθεῖσαι δὲ αὗται τόνον τινὰ καὶ ῥώμην | ἐπιτιθέασι τῷ συμφύτῳ πνεύματι, τοῦτο δὲ ὑπ' αὐτῶν *στομούμενον* ὥσπερ καὶ *κρατυνόμενον* σωτηρίας ἐστὶν αἴτιον ὅλῳ τῷ σώματι. Τὸ δὲ ὅτι μάλιστα μὲν πάσας τὰς νόσους, εἰ δὲ μὴ ὅτι τὰς πλείστας καὶ μεγίστας, ἐκ τῆς 15 τοῦ πνεύματος εἶναι τροπῆς καὶ παραφορᾶς συμβέβηκεν, οὐδεὶς ὅστις, οἶμαι, τῶν Ἀσκληπιαδῶν οὐ φήσειεν· οἱ μὲν γὰρ καὶ πάσας φασίν, οἱ δὲ τὰς πλείστας καὶ μεγίστας καὶ ἰαθῆναι χαλεπωτάτας.
D Μαρτυρεῖ δὲ τούτοις καὶ | τὰ τῶν θεῶν λόγια, φημὶ δὲ ὅτι διὰ τῆς ἁγιστείας οὐχ ἡ ψυχὴ μόνον, ἀλλὰ καὶ τὰ σώματα βοηθείας 20

10–11 cf. Plat. Leg. X 899b (ἔσθ' ὅστις ταῦτα ὁμολογῶν ὑπομενεῖ μὴ θεῶν εἶναι πλήρη πάντα;); Arist. De an. I 5 p. 411a8 (Θαλῆς [VS 11 A 22] ᾠήθη πάντα πλήρη θεῶν εἶναι); Michael Eph. in Arist. part. an. p. 22,32 Hayduck (τὸ γὰρ 'πάντα πλήρη θεῶν' Ἡρακλείτειόν ἐστι δόγμα [VS 22 A 9]); Iambl. Myst. I 9 (πάντα γὰρ αὐτῶν [scil. τῶν θεῶν] ἐστι πλήρη) ‖ **13–14** cf. Plut. Lyc. 16,2 (στομοῦσθαι καὶ κρατύνεσθαι τὴν ἕξιν)

1 ἀνυσιμώτερον V (defendit Ugenti, coniungens μάλιστα μὲν cum πρὸς δὲ καὶ et conferens 20 infra p. 78,21 μάλιστα μὲν ἀποτρίψασθαι τῆς ἀθεότητος τὴν κηλῖδα, πρὸς δὲ καὶ κτλ.): -τατον Klimek (vide praef. p. XXVII) **2** αὐτῆς Hertlein: αὐ- V ‖ **13–14** κρατυνόμενον Hertlein: κρατούμενον V **17** φήσειεν V: aut φήσει scribendum aut ἂν addendum esse censet Hertlein in app. (cf. or. 1,14 p. 18CD οὐκ ἔστιν οὐδεὶς ..., ὃς οὐκ ... φήσει, or. 2[3],4 p. 109A οὐδὲ ἔστιν ὅστις ... φήσει, 9 p. 115D οὐκ ἔστιν ὅστις ... φήσει,), sed cf. C. Cyn. 9 infra p. 89,22 (εἰ γοῦν ἔροιτό τις τὸν σοφὸν Πλάτωνα ... εὖ οἶδα ὅτι ... φήσειε): φῆσαι ἂν Hertlein 1856

πολλῆς καὶ σωτηρίας ἀξιοῦται· σώζεσθαι γάρ σφισι καὶ τὸ *πικρᾶς ὕλης περίβλημα βρότειον* οἱ θεοὶ τοῖς ὑπεράγνοις παρακελευόμενοι τῶν θεουργῶν κατεπαγγέλλονται.

[19] Τίς οὖν ἡμῖν ὑπολείπεται λόγος, ἄλλως τε καὶ ἐν βραχεῖ
5 νυκτὸς μέρει ταῦτα *ἀπνευστὶ ξυνεῖραι* συγχωρηθεῖσιν, οὐθὲν οὔτε προανεγνωκόσιν οὔτε | σκεψαμένοις περὶ αὐτῶν, ἀλλ᾽ οὐδὲ 179A προελομένοις ὑπὲρ τούτων εἰπεῖν πρὶν ἢ τὰς δέλτους ταύτας αἰτῆσαι; μάρτυς δὲ ἡ θεός μοι τοῦ λόγου. Ἀλλά, ὅπερ ἔφην, τί τὸ λειπόμενον ἡμῖν; ὑμνῆσαι τὴν θεὸν μετὰ τῆς Ἀθηνᾶς καὶ τοῦ
10 Διονύσου, ὧν δὴ καὶ τὰς ἑορτὰς ἐν ταύταις ἔθετο ταῖς ἁγιστείαις ὁ νόμος, ὁρῶν μὲν τῆς Ἀθηνᾶς πρὸς τὴν Μητέρα τῶν θεῶν διὰ τῆς προνοητικῆς ἐν ἑκατέραις ταῖς οὐσίαις ὁμοιότη|τος τὴν συγγέ- B νειαν, ἐπισκοπῶν δὲ καὶ τὴν Διονύσου μεριστὴν δημιουργίαν, ἣν ἐκ τῆς ἑνοειδοῦς καὶ μονίμου ζωῆς τοῦ μεγάλου Διὸς ὁ μέγας
15 Διόνυσος παραδεξάμενος, ἅτε καὶ προελθὼν ἐξ ἐκείνου, τοῖς φαινομένοις ἅπασιν ἐγκατένειμεν, ἐπιτροπεύων καὶ βασιλεύων τῆς μεριστῆς συμπάσης δημιουργίας; Προσήκει δὲ σὺν τούτοις ὑμνῆσαι καὶ τὸν Ἐπαφρόδιτον Ἑρμῆν· καλεῖται γὰρ οὕτως ὑπὸ τῶν μυστῶν ὁ θεὸς | οὗτος, ὅσοι λαμπάδας φασὶν ἀνάπτειν Ἄττιδι C

1–2 cf. Orac. Chald. 129 (Σώζετε καὶ τὸ πικρᾶς ὕλης περίβλημα βρότειον) **5** cf. Dem. or. 18,308 (λόγους συνείρει … ἀπνευστεί); C. Cyn. 20 infra p. 106,5 (ἀπνευστί, τὸ δὴ λεγόμενον, συνείραντες)

1 σώζεσθαι γάρ σφισι Hertlein: σώζεται γάρ, φησὶ V (sed tum haud facile apparet, quomodo οἱ θεοὶ — κατεπαγγέλλονται cum antecedentibus coniungi possint) | πικρᾶς V: μι- Talbot, sed cf. Plot. Enn. II 3,17 (ἐξ ὕλης χείρονος οἷον ὑποστάθμης τῶν προηγουμένων πικρᾶς) et Orac. Chald. 129 **4** ad ἄλλως τε καὶ in margine μάλιστα adscriptum habet V ‖ **7** πρὶν ἢ Hertlein: πρινὴ V vet. vulg. (πρινὴς U) ‖ **8** ἀλλά V: ἀλλ᾽ vet. vulg. **9** signum interrogationis post ἡμῖν posuit Asmus[1] (sed cf. iam Petavii versionem Latinam: „quid igitur reliquum nobis est?“): εἰ μὴ ante ὑπομνῆσαι (v. adn. sequ.) add. Rochefort (hiatum non curans), πλὴν Boulenger[2], de ἢ cog. Ugenti | ὑμνῆσαι Hertlein (v. infra l. 18, sed etiam p. 78,9 ὕμνος): ὑπομνῆσαι V (sed Iulianus nusquam alibi ὑπομνῆσαι cum accusativo rei coniungere videtur) ‖ **11** ὁρῶν Petavius in mg.: -ῶ V ‖ **13** ἐπισκοπῶν V: -ῶ Hertlein ‖ **18** ὑμνῆσαι Hertlein: ὑπομνῆσαι V (v. supra l. 9) ‖ **19** ὅσοι λαμπ. φασὶν ἀνάπτειν Petavius in mg.: ὅς οἱ λαμπ. φησὶν ἀνάπτειν V: ὃς τὰς λαμπ. φησὶν ἀνάπτειν Rochefort: ὅσος (= ὃς) λαμπ., φησίν, ἀνάπτει (-ει Ugenti) Prato: ὃς {οἱ} λαμπ., φησίν, ἀνάπτει Ugenti

τῷ σοφῷ. Τίς οὖν οὕτως παχὺς τὴν ψυχὴν ὃς οὐ συνίησιν ὅτι δι' Ἑρμοῦ μὲν καὶ Ἀφροδίτης ἀνακαλεῖται πάντα πανταχοῦ τὰ τῆς γενέσεως, ἔχοντα τὸ ἕνεκά του πάντη καὶ πάντως, ὃ τοῦ λόγου μάλιστα ἴδιόν ἐστιν; Ἄττις δὲ οὐχ οὗτός ἐστιν ὁ μικρῷ πρόσθεν ἄφρων, νῦν δὲ ἀκούων διὰ τὴν ἐκτομὴν σοφός; Ἄφρων μὲν ὅτι τὴν ὕλην εἵλατο καὶ τὴν γένεσιν ἐπιτροπεύει, σοφὸς δὲ ὅτι τὸ σκύβαλον | τοῦτο εἰς κάλλος ἐκόσμησε καὶ τοσοῦτον μετέστησεν ὅσον οὐδεμία μιμήσαιτο ἀνθρώπων τέχνη καὶ σύνεσις. Ἀλλὰ τί πέρας ἔσται μοι τῶν λόγων; ἢ δῆλον ὡς ὁ τῆς Μεγάλης ὕμνος Θεοῦ;

[20] Ὦ *θεῶν καὶ ἀνθρώπων Μῆτερ*, ὦ τοῦ μεγάλου Σύνθωκε καὶ Σύνθρονε Διός, ὦ Πηγὴ τῶν νοερῶν θεῶν, ὦ τῶν νοητῶν ταῖς ἀχράντοις οὐσίαις συνδραμοῦσα καὶ τὴν κοινὴν ἐκ πάντων αἰτίαν παραδεξαμένη καὶ τοῖς νοεροῖς ἐνδι|δοῦσα, Ζωογόνε Θεὰ καὶ Μῆτις καὶ Πρόνοια καὶ τῶν ἡμετέρων ψυχῶν Δημιουργέ, ὦ τὸν μέγαν Διόνυσον ἀγαπῶσα καὶ τὸν Ἄττιν ἐκτεθέντα περισωσαμένη καὶ πάλιν αὐτὸν εἰς τὸ γῆς ἄντρον καταδυόμενον ἐπανάγουσα, ὦ πάντων μὲν ἀγαθῶν τοῖς νοεροῖς ἡγουμένη θεοῖς, πάντων δὲ ἀποπληροῦσα τὸν αἰσθητὸν κόσμον, πάντα δὲ ἡμῖν ἐν πᾶσιν ἀγαθὰ χαρισαμένη, δίδου πᾶσι μὲν ἀνθρώποις εὐδαιμονίαν, ἧς τὸ κεφάλαιον | ἡ τῶν θεῶν γνῶσίς ἐστι, κοινῇ δὲ τῷ Ῥωμαίων δήμῳ μάλιστα μὲν ἀποτρίψασθαι τῆς ἀθεότητος τὴν κηλῖδα, πρὸς δὲ καὶ τὴν Τύχην εὐμενῆ συνδιακυβερνῶσαν αὐτῷ τὰ τῆς ἀρχῆς πολλὰς χιλιάδας ἐτῶν, ἐμοὶ δὲ καρπὸν γενέσθαι τῆς περὶ σὲ θεραπείας ἀλήθειαν ἐν τοῖς περὶ θεῶν δόγμασιν, ἐν θεουργίᾳ τελειότητα, πάντων ἔργων, οἷς προσερχόμεθα περὶ τὰς πολιτικὰς καὶ στρατιωτικὰς πράξεις, ἀρετὴν μετὰ | τῆς Ἀγαθῆς Τύχης καὶ

10 cf. Hom. hymn. 14,1 (Μητέρα μοι πάντων τε θεῶν πάντων τ' ἀνθρώπων), Ar. Av 875 (μεγάλῃ Μητρὶ θεῶν καὶ ἀνθρώπων)

1 οὕτως V: -ω vet. vulg. (sed cf. or. 2[3],8 p. 112C οὕτως περί, Ep. Ath. 6 p. 275C οὕτως τά, Ep. 89b p. 161,13s. Bidez οὕτως καί) ‖ **3** ἕνεκά του Shorey: ἕνεκα τοῦ V: εἶναι κάτω temptavit Asmus[4] ‖ **6** εἵλατο V: εἵλετο Petavius in mg. (v. praef. XXVII) ‖ **7** καὶ τοσοῦτον V: τοσ. καί Hertlein (εἰς κάλλος {ἐκόσμησε καὶ} τοσοῦτον μετέστησεν Hertlein 1856) ‖ **8** οὐδεμία V: οὐδεμί' ἂν Hertlein ‖ **26** πράξεις Hertlein (cf. Plut. Cor. 1,6: τὸ περὶ τὰς πολεμικὰς καὶ στρατιωτικὰς … πράξεις, Herodian. II 1,4: ἐν … πολλαῖς στρατιωτικαῖς τε καὶ πολιτικαῖς εὐδοκιμήσας πράξεσι, VI 1,4: τάς … πράξεις ἁπάσας …, τὰς μὲν πολιτικὰς …, τὰς δὲ στρατιωτικάς): τάξεις V

τὸ τοῦ βίου πέρας ἄλυπόν τε καὶ εὐδόκιμον μετὰ τῆς Ἀγαθῆς Ἐλπίδος τῆς ἐπὶ τῇ παρ᾽ ὑμᾶς πορείᾳ.

Ἰουλιανοῦ Αὐτοκράτορος Εἰς τοὺς ἀπαιδεύτους κύνας

180D [1] *Ἄνω ποταμῶν*, τοῦτο δὴ τὸ τῆς παροιμίας· ἀνὴρ Κυνικὸς Διογένη φησὶ κενόδοξον, καὶ ψυχρολουτεῖν οὐ βούλεται, σφόδρα
181A ἐρρωμένος τὸ σῶμα καὶ σφριγῶν καὶ τὴν ἡλικίαν ἀ|κμάζων, ὡς ἂν μή τι κακὸν λάβῃ, καὶ ταῦτα τοῦ θεοῦ ταῖς θεριναῖς τροπαῖς ἤδη προσιόντος. Ἀλλὰ καὶ τὴν ἐδωδὴν τοῦ πολύποδος κωμῳδεῖ καί 5 φησι τὸν Διογένη τῆς ἀνοίας καὶ κενοδοξίας ἐκτετικέναι δίκας ὥσπερ ὑπὸ κωνείου τῆς τροφῆς διαφθαρέντα. Οὕτω *πόρρω* που *σοφίας ἐλαύνει* ὥστε ἐπίσταται σαφῶς ὅτι κακὸν ὁ θάνατος. Τοῦτο δὲ ἀγνοεῖν ὑπελάμβανεν ὁ σοφὸς Σωκράτης, ἀλλὰ καὶ μετ' ἐκεῖνον
B Διογένης. Ἀρρωστοῦν|τι γοῦν, φασίν, Ἀντισθένει μακρὰν καὶ 10 δυσανάκλητον ἀρρωστίαν ξιφίδιον ἐπέδωκεν ὁ Διογένης εἰπών· „Εἰ φίλου χρῄζεις ὑπουργίας ...“· οὕτως οὐθὲν ᾤετο δεινὸν ἐκεῖνος οὐδὲ ἀλγεινὸν τὸν θάνατον.

Ἀλλ' ἡμεῖς οἱ τὸ σκῆπτρον ἐκεῖθεν παραλαβόντες ὑπὸ μείζονος σοφίας ἴσμεν ὅτι χαλεπὸν ὁ θάνατος, καὶ τὸ νοσεῖν δεινότερον 15 αὐτοῦ φαμεν τοῦ θανάτου, τὸ ῥιγοῦν δὲ χαλεπώτερον καὶ τοῦ

1 Eur. Med. 410, vid. Radt ad Aeschyl. fr. 335 (adde Galen. De usu part. XI 7 [I p. 130,15 Helmr.], Alex. Aphr. in Arist. Meteor. p. 76,17 Hayduck) et cf. Com. adesp. fr. 488 K.-A. | Zenob. vulg. 2,56; Diogenian. 1,27; Greg. Cypr. 1,28; Macar. 2,7; Apost. 2,92 ‖ **7–8** cf. Plat. Euthyphr. 4b (πόρρω που ἤδη σοφίας ἐλαύνοντος), Cratyl. 410e (Πόρρω ἤδη οἶμαι {φαίνομαι del. Wilamowitz, Platon[1] II 340} σοφίας ἐλαύνειν), Aristid. or. 28,3 Keil (ἄνδρα οὕτω σεμνὸν καὶ πόρρω σοφίας ἐλαύνοντα ὥστε κτλ.) ‖ **9** cf. Plat. Apol. 40bc (οὐκ ἔσθ' ὅπως ἡμεῖς ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα κακὸν εἶναι τὸ τεθνάναι)

10–13 Suda α 2723 (ἀρρωστοῦντι Ἀντισθένει μακρὰν καὶ δυσανάκλητον ἀρρωστίαν ὁ Διογένης ξιφίδιον ἐπιδέδωκεν εἰπών· εἰ φίλου χρῄζεις ὑπουργίας. οὕτως ᾤετο ἐκεῖνος οὐδὲν ἀλγεινὸν τὸν θάνατον)

6 ἱκανὰς ante δίκας inser. Naber ‖ **8** post ἐλαύνει desinit V ‖ **9** καὶ μετ' ἐκεῖνον U: fortasse μετ' ἐκ. καί scribendum ‖ **10** Διογένης Petavius: Ἀντισθένη καὶ Διογένη U ‖ **11** δυσανάκλητον Suda (cf. Galen. in Hippocr. aphor. XVIIIa p. 40,3 Kühn = Erasistr. fr. 253: δυσανάκλητον ἐχόντων τὴν ἀσθένειαν): δυσανάληπτον U | ξιφίδιον ἐπέδωκεν ὁ Διογένης U: ὁ Διογ. ξιφ. ἐπιδέδωκεν Suda ‖ **16** φαμεν Hertlein in app.: φασι U (quod ut in parenthesi dictum defendit Prato 1986[2]) | καὶ U: om. vet. vulg., Hertlein, Wright

νοσεῖν· ὁ μὲν γὰρ νοσῶν μαλακῶς ἔσθ' ὅτε θεραπεύεται, ὥστε αὐτοῦ γίνεσθαι τρυφὴν αὐτόχρημα τὴν ἀρρωστίαν, ἄλλως τε κἂν | B=C ᾖ πλούσιος. Ἐθεασάμην τοι καὶ αὐτὸς νὴ Δία τρυφῶντάς τινας ἐν ταῖς νόσοις μᾶλλον ἢ τούτους αὐτοὺς ὑγιαίνοντας· καίτοι γε καὶ 5 τότε λαμπρῶς ἐτρύφων. Ὅθεν μοι καὶ παρέστη πρός τινας τῶν ἑταίρων εἰπεῖν ὡς τούτοις ἄμεινον ἦν οἰκέταις γενέσθαι μᾶλλον ἢ δεσπόταις, καὶ πένεσθαι τοῦ κρίνου γυμνοτέροις οὖσιν ἢ πλουτεῖν ὥσπερ νῦν· ἦ γὰρ ἂν ἐπαύσαντο νοσοῦντες ἅμα καὶ τρυφῶντες. Τὸ μὲν δὴ νοσοτροφεῖν καὶ νοσηλεύεσθαι τρυφηλῶς οὑτωσί τινες | ἐν C=D 10 καλῷ ποιοῦνται· ἀνὴρ δὲ τοῦ κρύους ἀνεχόμενος καὶ θάλπος καρτερῶν οὐχὶ καὶ τῶν νοσούντων ἀθλιώτερον πράττει; ἀλγεῖ γοῦν ἀπαραμύθητα.

[2] Δεῦρο οὖν ἡμεῖς ὑπὲρ τῶν Κυνικῶν ὁπόσα τῶν διδασκάλων ἠκούσαμεν ἐν κοινῷ καταθῶμεν σκοπεῖν τοῖς ἐπὶ τὸν βίον ἰοῦσι 15 τοῦτον· οἷς εἰ μὲν πεισθεῖεν, εὖ οἶδα ὡς οὐθὲν οἵ γε νῦν ἐπιχειροῦντες κυνίζειν ἔ|σονται χείρους· ἀπειθοῦντες δὲ εἰ μέν τι λαμπρὸν καὶ 182A σεμνὸν ἐπιτηδεύσειαν, ὑπερφωνοῦντες τὸν λόγον τὸν ἡμέτερον, οὔτι τοῖς ῥήμασιν ἀλλὰ τοῖς ἔργοις, οὐθὲν ἐμπόδιον ὅ γε ἡμέτερος οἴσει λόγος· εἰ δὲ ὑπὸ λιχνείας ἢ μαλακίας ἤ – τὸ κεφάλαιον ἵν' 20 εἴπω ξυνελὼν ἐν βραχεῖ – τῆς σωματικῆς ἡδονῆς δεδουλωμένοι τῶν λόγων ὀλιγωρήσειαν προσκαταγελάσαντες, ὥσπερ | ἐνίοτε B τῶν παιδευτηρίων καὶ τῶν δικαστηρίων οἱ κύνες τοῖς προπυλαίοις προσουροῦσιν, *οὐ φροντὶς Ἱπποκλείδῃ*· καὶ γὰρ οὐδὲ τῶν κυνιδίων ἡμῖν μέλει τὰ τοιαῦτα πλημμελούντων. Δεῦρο οὖν ἄνωθεν ἐν 25 κεφαλαίοις διεξέλθωμεν ἐφεξῆς τὸν λόγον, ἵνα ὑπὲρ ἑκάστου τὸ προσῆκον ἀποδιδόντες αὐτοί τε εὐκολώτερον ἀπεργασώμεθα τοῦθ' ὅπερ διενοήθημεν καὶ σοὶ ποιήσωμεν εὐπαρακολούθητον.

23 Hdt. VI 129,4; cf. Hermipp. fr. 16 K.-A.; Luc. Apol. 15, Herc. 8; Hesych. ο 1920; Phot. p. 363,6; Suda ο 978; Zenob. vulg. 5,31; Diogen. 7,21; Apost. 13,70

1–2 Suda α 2723 (ὥστε γίνεσθαι τὴν ἀρρωστίαν τρυφὴν αὐτόχρημα)

2 αὐτοῦ U: ἑαυ- vet. vulg., del. Hertlein in textu (aut αὐτοῦ vel αὐτῷ scribendum cens. in app.): om. Suda | τρυφὴν αὐτόχρημα τὴν ἀρρωστίαν U: τὴν ἀρρ. τρ. αὐτ. Suda ‖ **3** τοι U: γέ τοι Reiske ‖ **9** νοσοτροφεῖν U: -τυφεῖν edd. priores praeter Rochefort ‖ **15** πεισθεῖεν Hertlein: πείθειν U: πείθονται Petavius in adn. (Latine vertit: „quibus si quidem persuadere possumus …“) **21** προσκαταγελάσαντες Hertlein: προκατα- U ‖ **27** καὶ σοὶ U (coni. Hertlein): καί σοι vet. vulg.

C Οὐκοῦν ἐπειδὴ τὸν Κυνισμὸν εἶδός τι | φιλοσοφίας εἶναι συμβέβηκεν, οὔτι φαυλότατον οὐδὲ ἀτιμότατον, ἀλλὰ τοῖς κρατίστοις ἐνάμιλλον, ὀλίγα πρότερον ὑπὲρ αὐτῆς ῥητέον ἡμῖν ἐστι τῆς φιλοσοφίας.

[3] Ἡ *τῶν θεῶν εἰς ἀνθρώπους δόσις ἅμα φανοτάτῳ πυρὶ διὰ* 5 *Προμηθέως* ἐξ ἡλίου μετὰ τῆς Ἑρμοῦ μερίδος οὐχ ἕτερόν ἐστι παρὰ *τὴν τοῦ* λόγου καὶ *νοῦ διανομήν*· ὁ γάρ τοι Προμηθεύς, ἡ πάντα ἐπιτροπεύουσα τὰ θνητὰ πρόνοια, πνεῦμα ἔνθερμον ὥσπερ D ὄργανον ὑπο|βάλλουσα τῇ φύσει, ἅπασι μετέδωκεν ἀσωμάτου λόγου· μετέσχε δὲ ἕκαστον οὗπερ ἠδύνατο, τὰ μὲν ἄψυχα σώματα 10 τῆς ἕξεως μόνον, τὰ φυτὰ δὲ ἤδη καὶ τῆς ζωῆς, τὰ ζῷα δὲ ψυχῆς, ὁ δὲ ἄνθρωπος καὶ λογικῆς ψυχῆς. Εἰσὶ μὲν οὖν οἳ μίαν οἴονται διὰ τούτων πάντων ἥκειν φύσιν, εἰσὶ δὲ οἳ καὶ κατ' εἶδος ταύτας διαφέρειν. Ἀλλὰ μήπω τοῦτο, μᾶλλον δὲ μηδὲ ἐν τῷ νῦν λόγῳ 183A τοῦτο ἐξεταζέσθω, πλὴν ἐ|κείνου χάριν, ὅτι τὴν φιλοσοφίαν εἴθ', 15 ὥσπερ τινὲς ὑπολαμβάνουσι, *τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν*, εἴτε *ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατόν*, εἴθ', ὅπερ ὁ Πύθιος ἔφη,

5–6 cf. Plat. Phileb. 16c (Θεῶν μὲν εἰς ἀνθρώπους δόσις, ὥς γε καταφαίνεται ἐμοί, ποθὲν ἐκ θεῶν ἐρρίφη διά τινος Προμηθέως ἅμα φανοτάτῳ τινὶ πυρί) **7** cf. Plat. Leg. IV 714a (τὴν τοῦ νοῦ διανομὴν ἐπονομάζοντας νόμον, citatum ab Iuliano Ad Them. 5 supra p. 6,22); Clem. Strom. I 94,2 (τίς ὁ τούτου πατὴρ καὶ τῆς κατὰ "τὴν τοῦ νοῦ διανομὴν" δικαιοσύνης σκοπήσωμεν); Iambl. Protr. p. 98,14 Pistelli (τὴν τοῦ νοῦ διανομὴν ἣν καλοῦμεν νόμον); Hermias in Plat. Phaedr. p. 31,13 Couvreur (ὅπερ ὁ λόγος καὶ ἡ τοῦ νοῦ διανομὴ ἐν ἐμοὶ λέγει) ‖ **16–17** cf. Philo Spec. leg. IV 156 (πραγμάτων ἰδιωτικῶν τε καὶ δημοσίων καὶ ἱερῶν ἐπιμέλειαν, ἣν οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τέχνην τεχνῶν εἶναι καὶ ἐπιστήμην ἐπιστημῶν); Ammon. in Porph. isag., CAG IV 3 p. 6,27 Busse (τῆς φιλοσοφίας ὁρισμὸς Ἀριστοτέλους ... λέγων "φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν") ‖ **17** cf. Plat. Theaet. 176b; Albin. Didasc. 28,1; Hierocl. In aureum carm. 24,7; Iambl. Protr. p. 76,10 Pistelli

5 φανοτάτῳ U (coni. Hertlein): φανω- vet. vulg. ‖ **6** de καταχθεῖσα vel καταπεμφθεῖσα (cf. Suda δ 1476: τὴν διὰ Προμηθέως τινὸς ἅμα φανοτάτῳ πυρὶ καταπεμφθεῖσαν διαλεκτικήν) post Προμηθέως inserendo cog. Reiske **10** σώματα delere voluit Klimek ‖ **11** τῆς ζωῆς Wright: σώματος U (τοῦ σώμ. Rochefort): „videtur mendosa lectio" Petavius in mg.: φύσεως Guenther ‖ **13** ταύτας U (defendit Asmus[5]: „scil. τὰς ψυχάς "; τὰς φύσεις audit Criscuolo[3]): ταῦτα Hertlein dubitanter in app. ‖ **15** ἐκείνου χάριν U: fortasse ἐκεῖνο {χάριν} (cf. Wrightiae versionem Anglicam) ‖ **17** θεῷ Cobet: θεῶν U (sed iunctura ὁμοίωσις θεῶν nusquam alibi invenitur, et cf. infra 4 p. 84,5)

τὸ *Γνῶθι σαυτὸν* ὑπολάβοι τις, οὐδὲν διοίσει πρὸς τὸν λόγον· ἅπαντα γὰρ ταῦτα φαίνεται προσάλληλα καὶ μάλα οἰκείως ἔχοντα.

[4] Ἀρξώμεθα δὲ πρῶτον ἀπὸ τοῦ *Γνῶθι σαυτόν*, ἐπειδὴ καὶ
5 θεῖόν ἐστι τοῦτο τὸ παρακέλευσμα. Οὐκοῦν ὁ γιγνώσκων | αὐτὸν B
εἴσεται μὲν περὶ ψυχῆς, εἴσεται δὲ καὶ περὶ σώματος, καὶ τοῦτο οὐκ ἀρκέσει μόνον ὡς ἔστιν ἄνθρωπος ψυχὴ χρωμένη σώματι μαθεῖν, ἀλλὰ καὶ αὐτῆς τῆς ψυχῆς ἐπελεύσεται τὴν οὐσίαν, ἔπειτα ἀνιχνεύσει τὰς δυνάμεις· καὶ οὐδὲ τοῦτο μόνον ἀρκέσει αὐτῷ, ἀλλὰ
10 καὶ εἴ τι τῆς ψυχῆς ἐν ἡμῖν ἐστι κρεῖττον καὶ θειότερον, ὅπερ δὴ πάντες ἀδιδάκτως πειθόμενοι θεῖόν τι εἶναι νομίζομεν, | καὶ τοῦτο C ἐνιδρῦσθαι πάντες οὐρανῷ κοινῶς ὑπολαμβάνομεν. Ἐπιὼν δὲ αὖθις τὰς ἀρχὰς τοῦ σώματος σκέψαιτο, εἴτε σύνθετον εἴτε ἁπλοῦν ἐστιν, εἶτα ὁδῷ προβαίνων ὑπέρ τε ἁρμονίας αὐτοῦ καὶ παθῶν καὶ
15 δυνάμεων καὶ πάντων ἁπλῶς ὧν δεῖται πρὸς διαμονήν. Ἐπιβλέψει δὲ τὸ μετὰ τοῦτο καὶ ἀρχαῖς τεχνῶν ἐνίων, ὑφ᾽ ὧν βοηθεῖται πρὸς διαμονὴν τὸ σῶμα, οἷον ἰατρικῆς, γεωργίας, ἑτέρων τοιούτων. Οὐ μὴν οὐδὲ τῶν ἀχρήστων καὶ περιττῶν τι | παντάπασιν D ἀγνοήσει, ἐπεὶ καὐτὰ πρὸς κολακείαν τοῦ παθητικοῦ τῆς ψυχῆς
20 ἡμῶν ἐπινενόηται. Προσλιπαρῆσαι μὲν γὰρ τούτοις ἀποκνήσει αἰσχρὸν οἰόμενος τὸ τοιοῦτον τό τε δοκοῦν ἐργῶδες ἐν αὐτοῖς φεύγων· τὸ δ᾽ ὅλον ὁποῖα ἄττα δοκεῖ καὶ οἷστισιν ἁρμόττει τῆς ψυχῆς μέρεσιν οὐκ ἀγνοήσει.

Σκόπει δὴ εἰ μὴ τὸ „ἑαυτὸν γνῶναι“ πάσης μὲν ἐπιστήμης,
25 πάσης δὲ τέχνης ἡγεῖται τε ἅμα καὶ τοὺς καθόλου λόγους συνείληφε· τά τε γὰρ θεῖα διὰ τῆς ἐνούσης ἡμῖν θεί|ας μερίδος, τά 184A

1 γνῶθι σαυτὸν iam a Platone compluriens citatum (Phileb. 48c, Charm. 164e. 165a, Prt. 343b)

5 αὐτὸν Petavius: αὐ- U ‖ **6** τοῦτο U: fortasse τούτῳ (cf. duabus lineis infra καὶ οὐδὲ τοῦτο μόνον ἀρκέσει αὐτῷ) ‖ **11** τοῦτο (post ὅπερ) fortasse delendum ‖ **13** σκέψαιτο U (def. Boulenger[2] coll. Ad Salust. 1 p. 240B: τίς … ἢ … μιμήσεται … ἢ … ἀντηχήσει … ἢ … ἐξεύροι …;): σκέψεται Horkel **14–15** παθῶν καὶ δυνάμεων U: -ους καὶ -εως vet. vulg. ‖ **19** καὐτὰ Boulenger[2] (καὶ αὐτὰ Rochefort): καὶ τὰ U (τὰ cum πρὸς κολακείαν coniungit Criscuolo[3]): καί τινα vel καὶ ταῦτα Hertlein in app. ‖ **21** τό τε δοκοῦν Boulenger[2]: τὸ δοκοῦν U

τε θνητὰ διὰ τῆς θνητοειδοῦς μοίρας †πρὸς τούτοις ἔφη τὰ μεταξὺ τοῦ ζῷον εἶναι τὸν ἄνθρωπον†, τῷ μὲν καθ' ἕκαστον θνητόν, τῷ παντὶ δὲ ἀθάνατον, καὶ μέντοι καὶ τὸν ἕνα καὶ τὸν καθ' ἕκαστον συγκεῖσθαι ἐκ θνητῆς καὶ ἀθανάτου μερίδος.

[5] Ὅτι μέν τοι καὶ τὸ τῷ θεῷ κατὰ δύναμιν ὁμοιοῦσθαι οὐκ 5 B ἄλλο τί ἐστιν ἢ τὸ τὴν ἐφικτὴν ἀνθρώποις γνῶσιν τῶν | ὄντων περιποιήσασθαι, πρόδηλον ἐντεῦθεν. Οὐ γὰρ ἐπὶ πλούτῳ χρημάτων τὸ θεῖον μακαρίζομεν οὐδὲ ἐπ' ἄλλῳ τινὶ τῶν νομιζομένων ἀγαθῶν, ἀλλ' ὅπερ Ὅμηρός φησι, *θεοὶ δέ τε πάντα ἴσασι*, καὶ μέντοι καὶ περὶ τοῦ Διός, „*Ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα* 10 *ᾔδει*“· ἐπιστήμῃ γὰρ ἡμῶν οἱ θεοὶ διαφέρουσιν. Ἡγεῖται γὰρ ἴσως C καὶ αὐτοῖς τῶν | καλῶν τὸ αὐτοὺς γινώσκειν· ὅσῳ δὴ κρείττονες ἡμῶν εἰσι τὴν οὐσίαν, τοσούτῳ γνόντες ἑαυτοὺς ἴσχουσι τῶν βελτιόνων ἐπιστήμην.

Μηδεὶς οὖν ἡμῖν τὴν φιλοσοφίαν εἰς πολλὰ διαιρείτω μηδὲ εἰς 15 πολλὰ τεμνέτω, μᾶλλον δὲ μὴ πολλὰς ἐκ μιᾶς ποιείτω. Ὥσπερ γὰρ ἀλήθεια μία, οὕτω δὲ καὶ φιλοσοφία· θαυμαστὸν δὲ οὐδέν, εἰ κατ' ἄλλας καὶ ἄλλας ὁδοὺς ἐπ' αὐτὴν πορευόμεθα. Ἐπεὶ καί, ἄν D τις θέλῃ τῶν ξένων ἢ | ναὶ μὰ Δία τῶν πάλαι πολιτῶν ἐπανελθεῖν εἰς Ἀθήνας, δύναιτο μὲν καὶ πλεῖν καὶ βαδίζειν, ὁδεύων δὲ οἶμαι 20

9 Hom. *δ* 379 et 468 ‖ **10–11** Hom. N 355

1–2 μοίρας πρὸς τούτοις ἔφη τὰ μεταξὺ τοῦ ζῷον εἶναι τὸν ἄνθρωπον U („mendosus locus“ Petavius, προσήκειν [ab Hertlein post πρὸς τούτοις additum in app., v. infra] — ἄνθρωπον inter cruces pos. Wright, def. Criscuolo[3], qui etiam de τοῦ ζῴου pro τοῦ ζῷον cogitat): μοίρας πρὸς τούτοις· ἔφη γὰρ μετ. τού⟨των⟩ ζ. ε. τ. ἄ. Boulenger[2]: μοίρας ⟨τῆς ἐνούσης⟩ πρὸς τούτοις [scil. τοῖς θείοις] ἔφη [scil. ὁ θεὸς ἐν τῷ „Γνῶθι σαυτόν“] ⟨διὰ⟩ τὸ μετ. τού⟨των⟩ ζ. ε. τ. ἄ. Reiske: μοίρας πρὸς τούτοις ⟨προσήκειν⟩ ἔφη τὸ μετ. τού⟨των⟩ ζ. εἰδέναι, τ. ἄ. Hertlein in app.: μοίρας, ὡς Πλωτῖνος ἔφη τὸ μεταξὺ τοῦ ζῴου ⟨καὶ θεοῦ⟩ εἶναι τ. ἄ. Asmus[5]: μοίρας ⟨καὶ⟩ πρὸς τούτοις σαφῆ τὰ μεταξὺ τῷ ζῷον εἶναι τ. ἄ. Praechter: μοίρας· πρὸς τούτοις, ἔφη, τὰ μετ. τού⟨των⟩ ζ. ε. τ. ἄ. Rochefort: fortasse γὰρ ante θεῖα delendum, post μοίρας lacuna statuenda, tum πρὸς τούτοις ἔφη τι μετ. τού⟨των⟩ ζῷον εἶναι τὸν ἄνθρωπον legendum ‖ **9** πάντα ex Homero vet. vulg. (πάντ' Petavius): πάντες U ‖ **11** ᾔδει U: ᾔδη Hom. ‖ **13** τῶν del. Hertlein ‖ **17** μία post φιλοσοφία add. Hertlein ‖ **18–19** καὶ ἄν τις θέλῃ U: κἄν, εἴ τις θέλοι Hertlein ‖ **19** ναὶ vet. vulg.: καὶ U

διὰ γῆς ἢ ταῖς πλατείαις χρῆσθαι λεωφόροις ἢ ταῖς ἀτρίπτοις καὶ συντόμοις ὁδοῖς· καὶ πλεῖν μέντοι δυνατὸν παρὰ τοὺς αἰγιαλοὺς καὶ δὴ ⟨καὶ⟩ κατὰ τὸν Πύλιον γέροντα *τέμνοντα πέλαγος μέσον*. Μὴ δὲ τοῦτό τις ἡμῖν προφερέτω, εἴ τινες τῶν κατ' αὐτὰς ἰόντων
5 τὰς ὁδοὺς ἀπεπλανήθησαν καὶ ἀλλαχοῦ που | γενόμενοι, καθάπερ 185A ὑπὸ τῆς Κίρκης ἢ τῶν Λωτοφάγων ἡδονῆς ἢ δόξης ἤ τινος ἄλλου δελεασθέντες, ἀπελείφθησαν τοῦ πρόσω βαδίζειν καὶ ἐφικνεῖσθαι τοῦ τέλους, ⟨τοὺς⟩ πρωτεύσαντας δὲ ἐν ἑκάστῃ τῶν αἱρέσεων σκοπείτω, καὶ πάντα εὑρήσει σύμφωνα.

10 Οὐκοῦν ὁ μὲν ἐν Δελφοῖς θεὸς τὸ „Γνῶθι σαυτὸν" προαγορεύει, Ἡράκλειτος δὲ „ἐδιζησάμην ἐμωυτόν", ἀλλὰ καὶ Πυθαγόρας οἵ τε ἀπ' ἐκείνου μέχρι Θεο|φράστου τὸ κατὰ δύναμιν ὁμοιοῦ- B σθαι θεῷ φασι, καὶ γὰρ ⟨καὶ⟩ Ἀριστοτέλης· ὃ γὰρ ἡμεῖς ποτέ, τοῦτο ὁ θεὸς ἀεί. Γελοῖον δὴ τὸν θεὸν ἑαυτὸν μὴ εἰδέναι· κομιδῇ
15 γὰρ οὐθὲν εἴσεται τῶν ἄλλων, εἴπερ ἑαυτὸν ἀγνοοίη· πάντα γὰρ αὐτός ἐστιν, εἴπερ ἐν ἑαυτῷ καὶ παρ' ἑαυτῷ ἔχοι τῶν ὁπωσοῦν ὄντων τὰς αἰτίας, εἴτε ἀθανάτων ἀθανάτους, εἴτε ἐπικήρων οὐ θνητὰς οὐδὲ ἐπικήρους, ἀιδίους δὲ καὶ μενούσας ἀεὶ καὶ ⟨αἳ⟩ | C τούτοις εἰσὶν αἴτιαι τῆς ἀειγενεσίας. Ἀλλ' οὗτος μὲν ὁ λόγος ἐστὶ
20 μείζων.

3 cf. Hom. γ 174s. (πέλαγος μέσον … / τέμνειν) ‖ **11** Heraclit. VS 22 B 101 (cf. Plut. Adv. Colot. 1118C: ὁ δ' Ἡράκλειτος … „ἐδιζησάμην" φησίν „ἐμεωυτόν", καὶ τῶν ἐν Δελφοῖς γραμμάτων θειότατον ἐδόκει τό „γνῶθι σαυτόν")

1 ἀτρίπτοις U (def. Prato coll. C. Heracl. 22 supra p. 45,20: ὁδοῦ … ἀτρίπτου, cf. Callim. fr. 1,27sq. Pfeiffer (κελεύθους / ἀτρίπτο]υς, cf. etiam Antipater AP VII 409,5 ἄτριπτον καὶ ἀνέμβατον ἀτραπὸν, Opp. Hal. IV 68 ἀτρίπτοισι κελεύθοις, Ael. VH XII 64 κρυπταῖς ὁδοῖς καὶ ἀτρίπτοις): ἀτραποῖς vet. vulg. ‖ **3** καὶ δὴ ⟨καὶ⟩ Hertlein ‖ **8** τοὺς add. Reiske ‖ **11** ἐμωῦτόν U (cf. Schol. Hom. A 271a): ἐμεωυτόν Hertlein ‖ **13** καὶ γὰρ ⟨καὶ⟩ vet. vulg. ‖ **14** γελοῖον δὴ scripsi (cf. Ad Salust. 6 p. 250A: Οὐ δὴ δίκαιον ἐπαινεῖν κτλ., C. Heracl. 22 supra p. 44,8: καὶ ἄξιον δὴ ἐρέσθαι. cf. iam Plat. Phaedr. 229e: οὐ δύναμαί πω … γνῶναι ἐμαυτόν· γελοῖον δή μοι φαίνεται … τὰ ἀλλότρια σκοπεῖν, Leg. X 887b: γελοῖον δὴ καὶ φαῦλον τὸ πρὸ τῶν βελτίστων τὰ βραχύτερα αἱρουμένους φαίνεσθαι): γελοῖον εἰ U: γελοῖον εἴ⟨η⟩ Petavius: γελοῖον τό Russell: γελοῖον ⟨οὖν ἂν⟩ εἴ⟨η⟩ Reiske: aut Petavii εἴη accipiendum aut εἰ delendum censet Prato 1986[2] ‖ **16** ἔχοι U: -ει Hertlein ‖ **18** καὶ ⟨αἳ⟩ Hertlein: καὶ U: ⟨αἳ⟩ καὶ Petavius ‖ **19** αἴτιαι U (def. Prato coll. cap. 15 infra p. 99,20: αἳ μυρίων κακῶν αἴτιαι γίνονται): αἰτίαι edd.

[6] Ὅτι δὲ μία τέ ἐστιν ἀλήθεια καὶ φιλοσοφία μία καὶ ταύτης εἰσὶν ἐρασταὶ ξύμπαντες ὧν τε ὑπεμνήσθην μικρῷ πρότερον ὧν τε ἐν δίκῃ νῦν εἴποιμι ἂν τοὔνομα – τοὺς τοῦ Κιτιέως ὁμιλητὰς λέγω, οἳ τὰς πόλεις ἰδόντες ἀποδιδρασκούσας τὸ λίαν ἀκραιφνὲς καὶ καθαρὸν τῆς ἐλευθερίας τοῦ κυνός, ἐσκέπασαν αὐτὸν ὥσπερ 5
D οἶμαι παρα|πετάσμασιν οἰκονομίᾳ καὶ τῇ χρηματιστικῇ καὶ τῇ πρὸς τὴν γυναῖκα συνόδῳ καὶ παιδοτροφίᾳ, ἵν᾽ οἶμαι ταῖς πόλεσιν αὐτὸν ἐγγύθεν ἐπιστήσωσι φύλακα – ὅτι τε τὸ „Γνῶθι σαυτὸν“ κεφάλαιον τίθενται φιλοσοφίας, οὐ μόνον ἐξ ὧν κατεβάλλοντο ξυγγραμμάτων ὑπὲρ αὐτοῦ τούτου πεισθείης ἄν, εἴπερ ἐθέλοις, 10 ἀλλὰ πολὺ πλέον ἀπὸ τοῦ τῆς φιλοσοφίας τέλους· τὸ γὰρ ὁμολο-
186A γουμένως ζῆν τῇ φύσει τέλος | ἐποιήσαντο, οὗπερ οὐχ οἷόν τε τυχεῖν τὸν ἀγνοοῦντα τίς καὶ ὁποῖος πέφυκεν. Ὁ γὰρ ἀγνοῶν ὅστις ἐστίν, οὐκ εἴσεται δήπουθεν ὅτι πράττειν ἑαυτῷ προσ.ήκει, ὥσπερ οὐδ᾽ ὁ τὸν σίδηρον ἀγνοῶν εἴσεται, εἴτε αὐτῷ τέμνειν εἴτε 15 μὴ προσήκει, καὶ ὅτου δεῖ τῷ σιδήρῳ πρὸς τὸ δύνασθαι τὸ ἑαυτοῦ πράττειν. Ἀλλ᾽ ὅτι μὲν ἡ φιλοσοφία μία τέ ἐστι καὶ πάντες, ὡς
B ἔπος εἰπεῖν, ἑνός τινος ἐφιέμενοι ὁδοῖς ἐπὶ τοῦτο διαφόροις ἦλ|θον, ἀπόχρη τοσαῦτα νῦν εἰπεῖν· ὑπὲρ δὲ τοῦ Κυνισμοῦ σκεπτέον ἐστίν. 20

[7] Εἰ μὲν οὖν ἐπεποίητο τοῖς ἀνδράσι μετά τινος σπουδῆς, ἀλλὰ μὴ μετὰ παιδιᾶς, τὰ συγγράμματα, τούτοις ἐχρῆν ἑπόμενον ἐπιχειρεῖν ἕκαστα ὧν διανοούμεθα περὶ τοῦ πράγματος ἐξετάζειν τὸν ἐναντίον καί, εἰ μὲν ἐφαίνετο τοῖς παλαιοῖς ὁμολογοῦντα, μήτοι ψευδομαρτυριῶν ἡμῖν ἐπισκήπτειν, εἰ δὲ μή, τότε ἐξορίζειν 25 αὐτὰ τῆς ἀκοῆς, ὥσπερ Ἀθηναῖοι τὰ ψευδῆ γράμματα τοῦ

5 αὐτὸν U (ad τοῦ κυνός referendum): fortasse αὐτὸ (ad τὸ λίαν ἀκραιφνὲς καὶ καθαρὸν) vel αὐτὴν (ad τῆς ἐλευθερίας) scribendum ‖ **8** τε scripsi: δὲ U **11** πλέον Reiske („sed etiam evidentius“ vertit Petavius)): -ονα U ‖ **15** οὐδ᾽ ὁ Hertlein dubitanter in app.: οὐδὲ U ‖ **19** σκεπτέον ⟨αὐτοῦ, ὅστις⟩ Asmus[1] **20** ἐστίν U: ἔτι Hertlein in app. (ἤδη Reiske; sed Iulianus compluries ἐστίν cum gerundivo coniungit: *or.* 3 [2],23 p. 79D ὁμολογητέον ἐστὶ, C. Heracl. 13 supra p. 32,16 ἐστὶ ... ῥητέον, C. Cyn. 2 supra p. 82,3 ῥητέον ... ἐστι, Contra Gal. p. 228,21 Neumann ἐπαναληπτέον ἐστί. Gerundivi cum ἔτι iuncturam invenimus In Sol. 16 infra p. 152,14: ἔτι δὲ προσεκτέον τοῖς ἀΰλοις εἴδεσι) **24** τὸν ἐναντίον καί Hertlein: τὸ ἐναντίον δέ U (sed τὸ ἐναντίον contra Iuliani usum, qui alibi semper τοὐναντίον scribit)

Μητρῴου. Ἐπεὶ δὲ οὐθέν ἐστιν, | ὡς ἔφην, τοιοῦτον – αἵ τε γὰρ C
θρυλλούμεναι Διογένους τραγῳδίαι Φιλίσκου τινὸς Αἰγινήτου
λέγονται εἶναι, καὶ εἰ Διογένους δὲ εἶεν, οὐθὲν ἄτοπόν ἐστι τὸν
σοφὸν παίζειν, ἐπεὶ καὶ τοῦτο πολλοὶ φαίνονται ⟨τῶν⟩ φιλοσόφων
5 ποιήσαντες· ἐγέλα τοι, φησί, καὶ Δημόκριτος ὁρῶν σπουδάζοντας
τοὺς ἀνθρώπους –, μὴ δὴ πρὸς τὰς παιδιὰς αὐτῶν ἀποβλέπωμεν,
ὥσπερ οἱ μανθάνειν τι σπουδαῖον ἥκιστα ἐρῶντες, ⟨οἳ⟩ πόλει
παραβάλλοντες εὐδαίμονι πολλῶν μὲν ἱερῶν, πολλῶν | δὲ ἀπορρή- D
των τελετῶν πλήρει καὶ μυρίων ἔνδον ἱερέων ἁγνῶν ἐν ἁγνοῖς
10 μενόντων χωρίοις αὐτοῦ τε ἕνεκα πολλάκις τούτου (λέγω δὲ τοῦ
καθαρεύειν τὰ εἴσω) πάντα τὰ περιττὰ καὶ βδελυρὰ καὶ φαῦλα τῆς
πόλεως ἀπεληλακότων (λουτρὰ δημόσια καὶ χαμαιτυπεῖα καὶ
καπηλεῖα καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα), εἶτα ἄχρι τούτου
γενόμενοι εἴσω {δὲ} μὴ παρίασιν. Ὁ μὲν γὰρ τοῖς τοιούτοις
15 ἐντυχών, εἶτα τοῦτο οἰη|θεὶς εἶναι τὴν πόλιν ἄθλιος μὲν ἀποφυ- 187A
γών, ἀθλιώτερος δὲ κάτω μείνας, ἐξὸν ὑπερβάντα μικρὸν ἰδεῖν τὸν
Σωκράτη· χρήσομαι γὰρ ἐκείνοις ἐγὼ τοῖς ῥήμασιν οἷς Ἀλκιβιά-
δης, ἐπαινῶν Σωκράτη. *Φημὶ γὰρ δὴ* τὴν Κυνικὴν φιλοσοφίαν
ὁμοιοτάτην εἶναι τοῖς Σιληνοῖς τούτοις τοῖς ἐν τοῖς ἑρμογλυφείοις
20 *καθημένοις, οὕστινας ἐργάζονται οἱ δημιουργοὶ σύριγγας ἢ αὐλοὺς*
ἔχοντας· | οἱ δὲ *διοιχθέντες ἔνδον φαίνονται ἀγάλματα ἔχοντες θεῶν*. B
Ὡς ἂν οὖν μὴ τοιοῦτόν τι πάθωμεν, ὅσα ἔπαιξε ταῦτα αὐτὸν
ἐσπουδακέναι νομίσαντες – ἔστι μὲν γάρ τι καὶ ἐν ἐκείνοις οὐκ
ἄχρηστον, ὁ Κυνισμὸς δέ ἐστιν ἕτερον, ὡς αὐτίκα μάλα δεῖξαι

1–3 TrGF 88 T 3; 89 T 2 ‖ **18–21** cf. Plat. Symp. 215a6–b3 (φημὶ γὰρ δὴ ὁμοιότατον αὐτὸν εἶναι τοῖς Σιληνοῖς τούτοις τοῖς ἐν τοῖς ἑρμογλυφείοις καθημένοις, οὕστινας ἐργάζονται οἱ δημιουργοὶ σύριγγας ἢ αὐλοὺς ἔχοντας, οἳ διχάδε διοιχθέντες φαίνονται ἔνδοθεν ἀγάλματα ἔχοντες θεῶν)

2 Φιλίσκου Petavius in mg.: -στου U ‖ **3** δὲ U: δὴ Hertlein ‖ **4** τῶν add. Hertlein ‖ **5** φησί U: φα- Hertlein (v. praef. XXV) ‖ **6** ἀποβλέπωμεν Hertlein: -βλέπων U ‖ **7** οἳ addidi ‖ **9** ἱερέων Petavius in mg.: ἱερῶν U **10** τε U: δὲ Hertlein ‖ **12** ἀπεληλακότων scripsi: -λάκασι U: -λακόσι Naber **14** γενόμενοι Reiske: -μένοις U | δὲ post εἴσω del. Reiske | παρίασιν Reiske (citatum ut -ιᾶσιν ap. Hertlein et Rochefort): -ιοῦσιν U ‖ **19** Σιληνοῖς U, Plato: Σει- Iuliani edd. ‖ **21** οἱ δὲ U: οἳ διχάδε Hertlein (ex Plat.) in app. **22** αὐτὸν Petavius in mg.: αὐτοῦ U

πειράσομαι –, δεῦρο ἴωμεν ἐφεξῆς ἀπὸ τῶν ἔργων, ὥσπερ αἱ ἐξιχνεύουσαι κύνες μεταθέουσι τὰ θηρία.

[8] Ἡγεμόνα μὲν οὐ ῥᾴδιον εὑρεῖν, ἐφ' ὃν ἀνενέγκαι χρὴ
C πρῶτον αὐτό, εἰ καί | τινες ὑπολαμβάνουσιν Ἀντισθένει τοῦτο καὶ Διογένει προσήκειν. Τοῦτο γοῦν ἔοικεν Οἰνόμαος οὐκ ἀτόπως 5 λέγειν· „ὁ Κυνισμὸς οὔτε Ἀντισθενισμός ἐστιν οὔτε Διογενισμός." Λέγουσι μὲν γὰρ οἱ γενναιότεροι τῶν κυνῶν ὅτι καὶ ὁ μέγας Ἡρακλῆς, ὥσπερ οὖν τῶν ἄλλων ἀγαθῶν ἡμῖν {τις} αἴτιος κατέστη, οὕτω δὲ καὶ τούτου τοῦ βίου παράδειγμα τὸ μέγιστον {οὗτος} κατέλιπεν ἀνθρώποις. Ἐγὼ δὲ ὑπὲρ τῶν θεῶν καὶ τῶν εἰς 10
D θείαν λῆξιν πορευθέντων εὐφημεῖν ἐθέλων πείθομαι μὲν | καὶ πρὸ τούτου τινὰς οὐκ ἐν Ἕλλησι μόνον, ἀλλὰ καὶ βαρβάροις ⟨***⟩· αὕτη γὰρ ἡ φιλοσοφία κοινή πως ἔοικεν εἶναι καὶ φυσικωτάτη καὶ δεῖσθαι οὔθ' ἡστινοσοῦν πραγματείας, ἀλλὰ ἀπόχρη μόνον ἑλέσθαι τὰ σπουδαῖα ἀρετῆς ἐπιθυμίᾳ καὶ φυγῇ κακίας, καὶ οὔτε 15 βίβλους ἀνελίξαι δεῖ μυρίας – „πολυμαθία γάρ", φασί, „νόον οὐ διδάσκει" – οὔτε ἄλλο τι τῶν τοιούτων παθεῖν, ὅσα καὶ οἷα
188A πάσχουσιν οἱ διὰ τῶν ἄλλων αἱρέσεων ἰόντες, ἀλλὰ ἀ|πόχρη μόνον δύο ταῦτα τοῦ Πυθίου παραινοῦντος ἀκοῦσαι, τὸ „Γνῶθι σαυτὸν"

5 Oenom. fr. 17 Hammerstaedt ‖ **16–17** Heraclitus VS 22 B 40 (πολυμαθίη νόον ἔχειν οὐ διδάσκει) ‖ **19–89,1** γνῶθι σαυτὸν et παραχάραξον τὸ νόμισμα coniuncta sunt et παραγγέλματα Πυθικά appellantur Suda γ 334; cf. Iul. C. Heracl. 7 supra p. 24,16-25,2

1 ἴωμεν U: ἴδ- Hertlein, coll. C. Heracl. 24 supra p. 51,23-25 (Τίς οὖν ἡ τῶν Πυθαγορικῶν εὐλάβεια ... ; Ἆρ' οὐκ ἄξιον αὐτὸ ἰδεῖν;), In Sol. 20 infra p. 154,22 (ὅσα καὶ περὶ τῶν δυνάμεων αὐτοῦ καὶ ἐνεργειῶν ἐφεξῆς σκοποῦμεν), C. Heracl. 10 supra p. 29,4 (περὶ τοῦ ποδαποὺς εἶναι χρὴ τοὺς πλαττομένους τὸν μῦθον ἐφεξῆς σκοπῶμεν); sed cf. etiam C. Cyn. 2 supra p. 81,24 (Δεῦρο οὖν ἄνωθεν ἐν κεφαλαίοις διεξέλθωμεν ἐφεξῆς τὸν λόγον), Epist. 89b p. 164,16 Bidez (ἄξιον ... διελθεῖν ἐφεξῆς) ‖ **3** μὲν οὐ U: μὲν ⟨οὖν⟩ οὐ Reiske ‖ **4** αὐτό U: -όν (scil. τὸν Κυνισμόν) Klimek ‖ **8** τις del. Cobet ‖ **10** οὗτος del. Cobet **12** lacunam post βαρβάροις iam Petavii versio Latina („nonnullos eiusdem ante illum instituti fuisse arbitror tam apud Graecos ipsos, quam barbaros") indicare videtur: οὕτω φιλοσοφῆσαι („vel tale quid") suppl. Reiske, γενέσθαι τοιούτους Barigazzi ‖ **14** οὔθ' (v. praef. XXVs.) ἡστινοσοῦν scripsi: οὐθηστινοσοῦν U: οὐδ' ἡστινοσοῦν Hertlein et Cobet ‖ **16** πολυμαθία U: πουλυμαθίη Athen. XIII 610B, πολυμαθίη Diog. Laert. IX 1, Schol. Plat. Theaet. 179e | νόον U: νόον ἔχειν Athen. XIII 610B

καὶ „Παραχάραξον τὸ νόμισμα“. Πέφηνε γοῦν ἡμῖν ἀρχηγὸς τῆς φιλοσοφίας ὅσπερ, οἶμαι, τοῖς Ἕλλησι κατέστη τῶν καλῶν ἁπάντων αἴτιος, ὁ τῆς Ἑλλάδος κοινὸς ἡγεμὼν καὶ νομοθέτης καὶ βασιλεύς, ὁ ἐν Δελφοῖς θεός, ὃν ἐπειδὴ μὴ θέμις ἦν τι διαλαθεῖν,
5 οὐδὲ ἡ Διογένους ἐπιτηδειότης ἔλαθε. Προύτρεψε δὲ αὐτὸν οὐχ ὥσπερ τοὺς ἄλλους ἔπεσιν ἐντείνων τὴν παραίνεσιν, ἀλλ' | ἔργῳ B διδάσκων ὅτι βούλεται συμβολικῶς διὰ δυοῖν ὀνομάτοιν, „Παραχάραξον“ εἰπών „τὸ νόμισμα“· τὸ γὰρ „Γνῶθι σαυτὸν“ οὐκ ἐκείνῳ πρῶτον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἔφη καὶ λέγει, πρόκειται
10 γὰρ οἶμαι τοῦ τεμένους.

Εὑρήκαμεν δὴ τὸν ἀρχηγέτην τῆς φιλοσοφίας, ὥς που καὶ ὁ δαιμόνιός φησιν Ἰάμβλιχος, ἀλλὰ καὶ τοὺς κορυφαίους ἐν αὐτῇ, Ἀντισθένη καὶ Διογένη καὶ Κράτητα, οἷς τοῦ βίου σκοπὸς ἦν καὶ τέλος αὑτοὺς οἶμαι γνῶναι καὶ τῶν κενῶν ὑπεριδεῖν δοξῶν,
15 *ἀληθείας δέ, ἣ πάντων ⟨μὲν⟩ ἀγαθῶν θεοῖς, πάντων δὲ ἀνθρώποις ἡγεῖται*, ὅλῃ, φα|σίν, ἐπιδράξασθαι τῇ διανοίᾳ, ἧς οἶμαι καὶ C Πλάτων καὶ Πυθαγόρας καὶ Σωκράτης οἵ τε ἐκ τοῦ Περιπάτου καὶ Ζήνων ἕνεκα πάντα ὑπέμειναν πόνον, αὑτούς τε ἐθέλοντες γνῶναι καὶ μὴ κεναῖς ἕπεσθαι δόξαις, ἀλλὰ τὴν ἐν τοῖς οὖσιν
20 ἀλήθειαν ἀνιχνεῦσαι.

[9] Φέρε οὖν, ἐπειδὴ πέφηνεν οὐκ ἄλλο μὲν ἐπιτηδεύσας Πλάτων, ἕτερον δὲ Διογένης, ἓν δέ τι καὶ ταὐτόν – εἰ γοῦν ἔροιτό τις τὸν σοφὸν Πλάτωνα „τὸ ‘Γνῶθι σαυτὸν’ πόσου νενόμικας ἄξιον;“, εὖ οἶδα ὅτι „τοῦ παντὸς“ φήσειε, καὶ λέγει δὲ ἐν Ἀλκιβι-
25 άδῃ –, δεῦρο | δὴ τὸ μετὰ τοῦτο· „φράσον ἡμῖν, ὦ δαιμόνιε D Πλάτων καὶ θεῶν ἔκγονε, τίνα τρόπον χρὴ πρὸς τὰς τῶν πολλῶν

15–16 Plat. Leg. V 730C (ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις) ‖ **23–24** cf. Plat. Alc. I 129a (Πότερον οὖν δὴ ῥᾴδιον τυγχάνει τὸ γνῶναι ἑαυτόν … ἤ χαλεπόν τι καὶ οὐχὶ παντός;), 133c-134a

1 πέφηνε γοῦν U: -νεν οὖν Hertlein ‖ **2** ὅσπερ Hertlein: ὥσ- U ‖ **6** ἔπεσιν Hertlein 1850 et ed. (prob. Criscuolo[2]): ἔπεισεν U: ἔπειθεν Prato | de ἔργῳ dubitari licet propter quae sequuntur (συμβολικῶς διὰ δυοῖν ὀνομάτοιν) **9** πρῶτον U: μόνον Hertlein in app. ‖ **14** αὑτοὺς vet. vulg.: αὐ- U ‖ **15** δέ Helferich: μέν U | μὲν add. Wyttenbach (ex Platone) | ἀνθρώποις Petavius in mg. (ex Platone): -πων U ‖ **16** ἐπιδράξασθαι Petavius in mg.: ἐπιπρ- U **18** αὑτούς Petavius: αὐ- U ‖ **23** πόσου Hertlein: ὁπό- U ‖ **24** ἂν post παντός add. Hertlein

διακεῖσθαι δόξας;“ ταὐτά τε ἐρεῖ καὶ ἔτι πρὸς τούτοις ὅλον ἡμῖν ἐπιτάξει διαρρήδην ἀναγνῶναι τὸν Κρίτωνα διάλογον, οὗ φαίνεται παραινῶν Σωκράτης μηδὲν φροντίζειν ἡμᾶς τῶν τοιούτων· φησὶ γοῦν· „Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω τῆς τῶν
189A πολλῶν | δόξης μέλει;“ 5

Εἶτα ἡμεῖς, τούτων ὑπεριδόντες, ἀποτειχίζειν ἁπλῶς οὑτωσὶ καὶ ἀποσπᾶν ἄνδρας ἀλλήλων ἐθέλομεν, οὓς ὁ τῆς ἀληθείας συνήγαγεν ἔρως ἥ τε δόξης ὑπεροψία καὶ ἡ πρὸς τὸν ζῆλον τῆς ἀρετῆς ξύμπνοια; εἰ δὲ Πλάτωνι μὲν ἔδοξε καὶ διὰ τῶν λόγων αὐτὰ ἐργάζεσθαι, Διογένει δὲ ἀπόχρη τὰ ἔργα, διὰ τοῦτο ἄξιός 10 ἐστιν ὑφ' ἡμῶν ἀκούειν κακῶς; Ὅρα δὲ μὴ καὶ τοῦτο αὐτὸ τῷ παντὶ κρεῖττόν ἐστιν, ἐπεὶ καὶ Πλάτων ἐξομνύμενος φαίνεται τὰ ξυγγράμματα· „Οὐ γάρ ἐστι Πλάτωνος“, φησί, „ξύγγραμμα
B οὐθὲν οὔτ' ἔσται, τὰ | δὲ νῦν φερόμενά ἐστι Σωκράτους, ἀνδρὸς καλοῦ καὶ νέου.“ Τί οὖν ἡμεῖς οὐκ ἐκ τῶν ἔργων τοῦ Διογένους 15 σκοποῦμεν αὐτὸν τὸν Κυνισμὸν ὅστις ἐστιν;

[10] Οὐκοῦν ἐπειδὴ σώματος μέρη μέν ἐστιν, οἷον ὀφθαλμοί, πόδες, χεῖρες, ἄλλα δὲ ἐπισυμβαίνει, τρίχες, ὄνυχες, ῥύπος, τοιούτων περιττωμάτων γένος, ὧν ἄνευ σῶμα ἀνθρώπινον ἀμήχανον
C εἶναι, πότερον οὐ γελοῖός ἐστιν ⟨ὁ⟩ μέρη νομίσας ὄνυχας ἢ τρί|χας 20 ἢ ῥύπον καὶ τὰ δυσώδη τῶν περιττωμάτων, ἀλλ' οὐ τὰ τιμιώτατα καὶ σπουδαῖα, πρῶτον μὲν τὰ αἰσθητήρια καὶ τούτων αὐτῶν ἅττα συνέσεως ἡμῖν ἐστι μᾶλλον αἴτια, οἷον ὀφθαλμούς, ἀκοάς; Ὑπουρ-

4–5 Plat. Crit. 44c ‖ **13–15** haec verba leviter mutata ex Plat. Epist. 2, 314c citantur (οὐδ' ἔστιν σύγγραμμα Πλάτωνος οὐδὲν οὐδ' ἔσται, τὰ δὲ νῦν λεγόμενα Σωκράτους ἐστὶν καλοῦ καὶ νέου γεγονότος)

1 ταὐτά Reiske (praeeunte Petavio in versione Latina: „Ad haec eadem ille repetet“): ταῦτα U ‖ **4** οὕτω vet. vulg. (ex Platone): -ως U ‖ **8** δόξης U: τῆς δ. vet. vulg. (ad Iuliani inconcinnitatem sermonis cf. praef. XXVII) **10** ἀπόχρη U: ἀπέ- Hertlein | ἄξιός Reiske: -όν U ‖ **11** ὑφ' Reiske: ἐφ' U ἡμῶν Reiske: ὑμῶν U ‖ **13** οὐ γάρ ἐστι Πλάτ. … ξύγγρ. U: οὐδ' ἔστιν σύγγρ. Πλάτ. Plat. Epist. 2, 314c ‖ **14** φερόμενά ἐστι Σωκρ. U: λεγόμενα Σωκρ. ἐστὶν Plat. Epist. 2, 314c ‖ **14–15** ἀνδρὸς κ. κ. ν. U: κ. κ. ν. γεγονότος Plat. Epist. 2, 314c ‖ **16** post hanc sententiam lacunam (in qua nonnulla de partibus philosophiae tamquam corporis dicta essent) statuit Asmus[2] ‖ **17** „post ἐπειδὴ σώματος μέρη μέν ἐστιν debebat sequi οὕτω καὶ ψυχῆς (vel φιλοσοφίας) ἐστι μέρη“ Reiske ‖ **18** ἄλλα δέ Petavius in mg.: ἀλλά γε U: ἄλλα τε Prato ‖ **20** ἐστιν ⟨ὁ⟩ Hertlein: ἐστι U

γεῖ γὰρ ταῦτα πρὸς φρόνησιν εἴτε ἐγκατορωρυγμένῃ τῇ ψυχῇ, ὡς
ἂν θᾶττον καθαρθεῖσα δύναιτο τῇ καθαρᾷ χρῆσθαι καὶ ἀκινήτῳ
τοῦ φρονεῖν δυνάμει, εἴτε, ὥσπερ τινὲς οἴονται, καθάπερ δι'
ὀχετῶν τοιούτων εἰσφερούσης τῆς ψυχῆς. | Συλλέγουσα γάρ, φησί, D
5 τὰ κατὰ μέρος αἰσθήματα καὶ συνέχουσα τῇ μνήμῃ γεννᾷ τὰς
ἐπιστήμας. Ἐγὼ δέ, εἰ μή τι τοιοῦτον ⟨ἦν⟩ – ἢ ἐνδέον ἢ τέλειον,
ἐμποδιζόμενον ⟨δ'⟩ ὑπ' ἄλλων πολλῶν καὶ ποικίλων –, ὃ τῶν
ἐκτὸς ποιεῖται τὴν ἀντίληψιν, οὐδὲν δυνατὸν οἶμαι γενέσθαι τῶν
αἰσθητῶν ἀντίληψιν. Ἀλλ' οὗτος μὲν ὁ λόγος οὐ τοῖς νῦν προσή-
10 κει, διόπερ ἐπαναχτέον ἐπὶ τὰ μέρη τῆς | φιλοσοφίας τῆς Κυνικῆς. 190A

[11] Φαίνονται μὲν δὴ καὶ οὗτοι διμερῆ τὴν φιλοσοφίαν
νομίσαντες, ὥσπερ ὁ Ἀριστοτέλης καὶ Πλάτων, θεωρηματικήν τε
καὶ πρακτικήν, αὐτὸ τοῦτο συνέντες δηλονότι καὶ νοήσαντες, ὡς
οἰκεῖόν ἐστιν ἄνθρωπος φύσει πράξει καὶ ἐπιστήμῃ. Εἰ δὲ τῆς
15 φυσικῆς πρὸς τὴν θεωρίαν ἐξέκλιναν, οὐδὲν τοῦτο πρὸς τὸν λόγον,
ἐπεὶ καὶ Σωκράτης καὶ πλείονες ἄλλοι θεωρίᾳ μὲν φαίνονται
χρησάμενοι πολλῇ, ταύτῃ δὲ οὐκ ἄλλου χάριν ἀλλὰ τῆς πράξεως·
ἐπεὶ καὶ τὸ ἑαυτὸν γνῶναι τοῦτο ἐνόμισαν, τὸ μαθεῖν ἀκριβῶς, τί
μὲν ἀπο|δοτέον ψυχῇ, τί δὲ σώματι, ἀπέδοσάν τε εἰκότως ἡγεμο- B

1–3 εἴτε ἐγκατορωρυγμένης τῆς ψυχῆς, ἕως ἂν θ. κ. δύναιτο ⟨αὐ⟩τῇ ⟨χρῆσθαι⟩ ὡς ἀρχῇ καὶ ἀκινήτῳ τοῦ φρονεῖν δυνάμει, εἴτε κτλ. temptavit Criscuolo[3] ‖ **1** ἐγκατορωρ. Petavius in mg.: ἐν κατορωρ. U (cf. Hippol. Haer. VI 25,4: Λέγει δὲ Πυθαγόρας … τὰς ψυχὰς … εἶναι … οἱονεὶ ἐγκατορωρυγμένας) ‖ **2** καθαρθεῖσα U: -θῆναι Friederich, qui etiam καὶ post τῇ γε ὡς ἀρχῇ (quae verba servat; v. notam sequentem) delet | τῇ καθαρᾷ χρῆσθαι Hertlein („locus corruptus") dubitanter in app.: τῇ γε ὡς ἀρχῇ U (quae verba inter cruces ponit Prato): τῇ ⟨ἡγεμονικῇ χρῆσθαι⟩ γε ὡς ἀρχῇ Barigazzi ap. Prato | καί del. Rochefort (qui τῇ γε ὡς ἀρχῇ et ut Friederich antea καθαρθῆναι legit) ‖ **4** εἰσφερούσης τῆς ψυχῆς U: -ούσῃ τῇ ψυχῇ Hertlein dub. in app. (ego hoc loco rem desidero quam εἰσφέρει anima) φησί: φα- Hertlein (v. praef. XXV) ‖ **5** μνήμῃ Petavius in mg.: φήμῃ U **6** ⟨ἦν⟩ ἢ Rochefort: ἦν pro ἢ Hertlein („for[t]. ἦ" Petavius in mg.) ‖ **7** δ' add. Rochefort, δὲ iam Hertlein (in app.), γ' Boulenger[2] ‖ **8** οὐδὲν U: οὐδ' ἂν Hertlein (οὐδὲ iam Petavius in mg.) ‖ **9** τὴν ante ἀντίληψιν add. Klimek[1] **13** αὐτὸ τοῦτο Hertlein in app.: αὐτοῦ U (def. Prato 1986[2], perperam coll. K.-G. I 358 et parum apte conferens or. 2[3] p. 70C συνιέντα … αὐτοῦ et Caes. 14 infra p. 117,20 ξυνίει κάμνοντος ἑαυτοῦ): αὐτοί Reiske ‖ **13–14** aut οἰκεῖός pro οἰκεῖόν reponere aut ὡς οἰκεῖόν ἀνθρώποις φύσει πρᾶξις καὶ ἐπιστήμη scribere malit Reiske ‖ **15** πρὸς τὴν θεωρίαν U: θεωρίας Petavius in mg.: τὴν θεωρίαν Hertlein in app., fort. recte ‖ **19** τε U: δὲ Hertlein in app.

νίαν μὲν τῇ ψυχῇ, τὴν ὑπηρεσίαν δὲ τῷ σώματι. Φαίνονται δὴ οὖν ἀρετὴν ἐπιτηδεύσαντες, ἐγκράτειαν, ἀτυφίαν, ἐλευθερίαν, ἔξω γενόμενοι παντὸς φθόνου, δειλίας, δεισιδαιμονίας.

Ἀλλ' οὐχ ἡμεῖς ταῦτα ὑπὲρ αὐτῶν διανοούμεθα, παίζειν δὲ αὐτοὺς καὶ *κυβεύειν περὶ τοῖς φιλτάτοις* ὑπολαμβάνομεν, οὕτως 5
C ὑπεριδόντας τοῦ | σώματος, ὡς ὁ Σωκράτης ἔφη, λέγων ὀρθῶς, *μελέτην εἶναι θανάτου τὴν φιλοσοφίαν*. Τοῦτο ἐκεῖνοι καθ' ἑκάστην ἡμέραν ἐπιτηδεύοντες οὐ ζηλωτοὶ μᾶλλον ἡμῖν, ἄθλιοι δέ τινες καὶ παντελῶς ἀνόητοι δοκοῦσιν. Ἀνθ' ὅτου δὴ τοὺς πόνους ὑπέμειναν τούτους; Ὡς αὐτὸς εἶπας· „κενοδοξίας ἕνεκα"; Καίτοι πῶς ὑπὸ 10 τῶν ἄλλων ἐπῃνοῦντο ὠμὰ προσφερόμενοι σαρκία; Καὶ γὰρ οὐδὲ
D αὐτὸς ἐπαινέτης εἶ. Τὸν γοῦν τοιούτου τρίβωνα καὶ | τὴν κόμην – ὥσπερ αἱ γραφαὶ τῶν ἀνδρῶν – ἀπομιμούμενος εἶθ' ὃ μηδὲ αὐτὸς ἀξιάγαστον ὑπολαμβάνεις, τοῦτο εὐδοκιμεῖν οἴει παρὰ τῷ πλήθει; Καὶ εἷς μὲν ἢ δύο ἐπῄνει τότε, πλεῖν δ' οὖν ἢ δέκα μυριάδες ὑπὸ 15 τῆς ναυτίας καὶ βδελυρίας διεστράφησαν τὸν στόμαχον καὶ ἀπόσιτοι γεγόνασιν, ἄχρις αὐτοὺς οἱ θεράποντες ἀνέλαβον ὀσμαῖς καὶ
191A μύροις καὶ πέμμασιν· οὕτως ὁ κλεινὸς ἥρως ἔργῳ κατε|πλήξατο γελοίῳ μὲν ἀνθρώποις τοιούτοις, *οἷοι νῦν βροτοί εἰσιν*, οὐκ ἀγεννεῖ δέ, νὴ τοὺς θεούς, εἴ τις αὐτὸ κατὰ τὴν Διογένους ἐξηγήσαιτο 20

5 Plat. Prt. 314a (μὴ περὶ τοῖς φιλτάτοις κυβεύῃς) ‖ **7** Iambl. Protr. p. 119,21 (μελέτη γὰρ θανάτου … ἡ φιλοσοφία); cf. Plat. Phaed. 81a ‖ **19** Hom. E 304 (et al.)

1 τὴν ὑπηρεσίαν U: τὴν del. edd. praeter Prato (ad Iuliani inconcinnitatem sermonis cf. praef. XXVII) ‖ **4** ταῦτα U: ταὐτὰ Boulenger[2] | αὐτῶν Petavius in mg.: ἑαυ- U ‖ **10** signum interrogationis pos. Reiske | ὡς U: ⟨οὐχ⟩ ὡς Reiske | signum interrogationis pos. Kassel | καίτοι U: καὶ γὰρ Reiske **11** ὠμὰ Petavius in mg.: ὡς μὴ U | καὶ γὰρ scripsi: καίτοι U (de ordine καίτοι πῶς ... καὶ γάρ cf. Contra Gal. p. 189,9–12 Neum.) ‖ **12** τὸν γοῦν τοιούτου τρίβωνα Spanheim: τοῦ γ. τοιούτου τρίβ. U: τὸν γ. τοιοῦτον τρίβ. Reiske ‖ **15** δύο U: δεύτερος Cobet (cf. Alex. Aphr. De fato p. 199,16s. οἱ πλεῖστοι κακοί, μᾶλλον δὲ ἀγαθὸς μὲν εἷς ἢ δεύτερος = Chrys. SVF III 658). Verborum sequentia εἷς ἢ δύο invenitur Dem. or. 14,20, Gal. Loc. aff. VIII p. 305,15 Kühn, Synops. libr. IX p. 503,12 Kühn, Meth. med. X p. 426,4. 543,5 Kühn, Theophil. Ad Autolyc. II 9, Synes. Dion 14, Epiphan. Panar. I p. 226,20 Holl | πλεῖν (Wyttenbach) δ' οὖν Hertlein: πλὴν γοῦν U: πλεῖν γοῦν Prato **20** νὴ U: μὰ Hertlein (v. praef. XXV) | ἐξηγήσαιτο Hertlein: -σατο U

σύνεσιν. Ὅπερ γὰρ ὁ Σωκράτης ὑπὲρ αὑτοῦ φησιν ὅτι *τῷ θεῷ* *νομίζων λατρείαν* ἐκτελεῖν ἐν τῷ τὸν δοθέντα χρησμὸν ὑπὲρ αὑτοῦ κατὰ πάντα σκοπὸν ἐξετάζειν τὸν ἐλεγκτικὸν ἠσπάσατο βίον, τοῦτο καὶ Διογένης, οἶμαι, συνειδὼς | ἑαυτῷ, πυθόχρηστον οὖσαν B
5 τὴν φιλοσοφίαν, ἔργοις ᾤετο δεῖν ἐξελέγχειν πάντα καὶ μὴ δόξαις ἄλλων, τυχὸν μὲν ἀληθέσι, τυχὸν δὲ ψευδέσι, προσπεπονθέναι. Οὔκουν, οὐδὲ εἴ τι Πυθαγόρας ἔφη οὐδὲ εἴ τις ἄλλος τῷ Πυθαγόρᾳ παραπλήσιος, ἀξιόπιστος ἐδόκει τῷ Διογένει· τὸν γὰρ θεόν, ἀνθρώπων οὐδένα τῆς φιλοσοφίας ἀρχηγὸν ἐπεποίητο. Τί δῆτα
10 τοῦτο, ἐρεῖς, πρὸς τὴν τοῦ πο|λύποδος ἐδωδήν; Ἐγώ σοι φράσω. C

[12] Τὴν σαρκοφαγίαν οἱ μὲν ἀνθρώποις ὑπολαμβάνουσι κατὰ φύσιν, οἱ δὲ ἥκιστα τοῦτο ἐργάζεσθαι προσήκειν ἀνθρώπῳ διανοοῦνται, καὶ πολὺς ὁ περὶ τούτου διήνυσται λόγος· ἐθέλοντι οὖν σοι μὴ ῥᾳθυμεῖν ἑσμοὶ περὶ τοῦ τοιούτου βίβλων φανήσονται. Τούτους
15 Διογένης ἐξελέγχειν ᾤετο δεῖν. Διενοήθη γοῦν ὧδε· εἰ μὲν ἀπραγματεύτως ἐσθίων τις σάρκας – ὥσπερ οἶμαι τῶν ἄλλων ἕκα|στον D θηρίων, οἷς τοῦτο ἔνειμεν ἡ φύσις – ἀβλαβῶς αὐτὸ καὶ ἀνεπαχθῶς, μᾶλλον δὲ καὶ μετὰ τῆς τοῦ σώματος ὠφελείας ἐργάζοιτο, κατὰ φύσιν εἶναι πάντως τὴν σαρκοφαγίαν {ὑπέλαβεν}· εἰ δέ τις ἐντεῦ-
20 θεν γένοιτο βλάβη, οὐχὶ τοῦτο ἀνθρώπου τὸ ἔργον ἴσως ἐνόμισεν, ἀλλ᾽ ἀφεκτέον εἶναι κατὰ κράτος αὐτοῦ.

Εἷς μὲν οὖν ἂν εἴη τοιοῦτος ὑπὲρ τοῦ πράγματος ἴσως βιαιότερος λόγος, ἕτερος δὲ οἰκειότερος τῷ Κυνισμῷ, εἰ περὶ τοῦ τέλους αὐτοῦ πρότερον ἔτι σα|φέστερον διέλθοιμι. Ἀπάθειαν γὰρ ποιοῦν- 192A

1–3 cf. Plat. Apol. 23c (διὰ τὴν τοῦ θεοῦ λατρείαν), 30a (τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν), 21e (σκοποῦντι τὸν χρησμὸν τί λέγει), 38a (ὁ δὲ ἀνεξέταστος βίος οὐ βιωτὸς ἀνθρώπῳ)

1 αὑτοῦ vet. vulg.: αὐ- U ‖ **3** σκοπὸν U: -ῶν Hertlein ‖ **7** οὔκουν Hertlein: οὐκοῦν U: οὐχ vet. vulg. ‖ **9** ἀνθρώπων U: ἀνθρ. ⟨δέ⟩ Hertlein dubitanter in app.: ἄνθρωπον Rochefort ‖ **13** διήνυσται U (ut videtur; quod Reiske coni.): δείκνυται vet. vulg. (quod Petavius ita vertit: „deque ea re varii sermones ultro citroque iactantur“): „malim ἀνάλωται, ut [Epist. 89b p. 160,13 Bidez] 292D [ὅσοι παρὰ τῶν ἔμπροσθεν ἀνάλωνται λόγοι] aut διήντληται (cf. Athenae. V p. 185A)“ Hertlein ‖ **15** διενοήθη γοῦν ὧδε· scripsi („Quare ita apud se statuit“ vertit iam Petavius): δ. γ. ὡς (... κατὰ φύσιν εἶναι ... ὑπέλαβεν) U: δ. γ. οὕτως· Reiske: δ. γ. ὥς [= οὕτως]· Prato (sed istud ὥς apud Iulianum solum in iunctura οὐδ(ὲ) ὣς [Misop. 7 infra p. 180,4, Epist. 111 p. 188,13 Bidez] invenitur) ‖ **19** ὑπέλαβεν ut post διενοήθη otiosum delevi

ται τὸ τέλος· τοῦτο δὲ ἴσον ἐστὶ τῷ θεὸν γενέσθαι. Αἰσθανόμενος οὖν ἴσως αὐτοῦ Διογένης ἐν μὲν τοῖς ἄλλοις ἅπασιν ἀπαθοῦς, ὑπὸ δὲ τῆς τοιαύτης ἐδωδῆς μόνον θραττομένου καὶ ναυτιῶντος καὶ δόξῃ κενῇ μᾶλλον ἢ λόγῳ δεδουλωμένου – σάρκες γάρ εἰσιν οὐδὲν ἧττον, κἂν μυριάκις αὐτὰς ἑψήσῃ κἂν ὑποτρίμμασι μυρίοις τις 5
B αὐτὰς καρυκεύσῃ – καὶ ταύτης αὐτὸν ἀφελέσθαι καὶ καταστῆ|σαι παντάπασιν ἐξάντη τῆς δειλίας ᾠήθη χρῆναι· δειλία γάρ ἐστιν, εὖ ἴσθι, τὸ γοῦν τοιοῦτο.

Ἐπεὶ πρὸς τῆς Θεσμοφόρου {Δήμητρος} εἰ σαρκῶν ἑψημένων ἁπτόμεθα, τοῦ χάριν οὐχὶ καὶ ἁπλῶς αὐτὰς προσφερόμεθα; 10 φράσον ἡμῖν. Οὐ γὰρ ἔχεις ἕτερον εἰπεῖν ἢ ὅτι οὕτω νενόμισται καὶ οὕτω συνειθίσμεθα· οὐ γὰρ δὴ πρὶν μὲν ἑψηθῆναι βδελυρὰ πέφυκεν, ἑψηθέντα δὲ γέγονεν αὐτῶν ἁγνότερα. Τί δῆτα ἐχρῆν
C πράττειν | τόν γε παρὰ θεοῦ ταχθέντα καθάπερ στρατηγοῦ πᾶν μὲν ἐξελεῖν τὸ νόμισμα, λόγῳ δὲ καὶ ἀληθείᾳ κρῖναι τὰ 15 πράγματα; Περιιδεῖν αὐτὸν ὑπὸ ταύτης τῆς δόξης ἐνοχλούμενον, ὡς νομίζειν ὅτι κρέας μέν ἐστιν ἑψηθὲν ἁγνὸν καὶ ἐδώδιμον, μὴ κατεργασθὲν δὲ ὑπὸ τοῦ πυρὸς μυσαρὸν ἴσως καὶ βδελυρόν; Οὕτως εἶ μνήμων; Οὕτως εἶ σπουδαῖος, ὃς τοῦτο ὀνειδίζων τῷ κενοδόξῳ,
D κατὰ σὲ φάναι, Διογένει, κατ' ἐμὲ δὲ τῷ | σπουδαιοτάτῳ 20 θεράποντι καὶ ὑπηρέτῃ τοῦ Πυθίου, τὴν τοῦ πολύποδος ἐδωδήν, κατεδήδοκας μυρίους ταρίχους, *ἰχθῦς ὄρνιθάς τε φίλας θ' ὅτι χεῖρας ἵκοιτο*, Αἰγύπτιός γε ὤν, οὐ τῶν ἱερέων, ἀλλὰ τῶν παμφάγων, οἷς πάντα ἐσθίειν νόμος ὡς *λάχανα χόρτου*; Γνωρίζεις, οἶμαι, τῶν Γαλιλαίων τὰ ῥήματα. 25

22–23 Hom. μ 331 ‖ **24** LXX Gen. 9,3 (ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα); cf. Iul. Contra Gal. p. 208,14f. Neum. (μόνον δ' ἐκτήσασθε τὸ πάντα ἐσθίειν ὡς λάχανα χόρτου) et 220,9 (πάντα δὲ ἐσθίειν ὡς λάχανα χόρτου δεῖν φατε)

4 μᾶλλον ἢ (vel μόνον, οὐ) Reiske: μόνον ἢ U ‖ **5** τις post μυριάκις addendum censuit Klimek[3] ‖ **6** αὐτὸν Hertlein: αὐ- U ‖ **8** τοιοῦτο U: -ον Hertlein ‖ **9** πρὸς Reiske: πρὸ U | Δήμητρος iam Reiskio suspectum excl. Hertlein | ἑψημένων U: ἡψ- Hertlein ‖ **14** γε Wyttenbach: γὰρ U, secl. vet. vulg. ‖ **18** ἴσως U: πως Hertlein in app. ‖ **19** ὃς τοῦτο Prato: ὡς ὁ τοῦτο U: ὃς τοσοῦτον Hertlein: ὡς {ὁ} τοῦτο Rochefort ‖ **22** θ' varia lectio in versu Homerico ‖ **23** γε Reiske: τε U

Μικροῦ με παρῆλθεν εἰπεῖν ὅτι καὶ πάντες ἄνθρωποι πλησίον οἰκοῦντες θα|λάττης, ἤδη δέ τινες καὶ τῶν πόρρω, οὐδὲ θερμήναντες καταρροφοῦσιν ἐχίνους, ὄστρεα καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα· εἶτα ἐκείνους μὲν ὑπολαμβάνεις ζηλωτούς, ἄθλιον δὲ καὶ βδελυρὸν 5 ἡγῇ Διογένη, καὶ οὐκ ἐννοεῖς ὡς οὐθὲν μᾶλλον ταῦτα ἐκείνων ἐστὶ σαρκία, πλὴν ἴσως ταῦτα ἐκείνων διαφέρει τῷ τὰ μὲν εἶναι μαλθακά, τὰ δὲ σκληρότερα; Ἄναιμος γοῦν ἐστι καὶ ὁ πολύπους ὥσπερ ἐκεῖνα, ἔμψυχα δέ ἐστι καὶ τὰ ὀστρακό|δερμα καθάπερ καὶ οὗτος· ἥδεται οὖν καὶ λυπεῖται, ὃ τῶν ἐμψύχων ἐστὶ μάλιστα ἴδιον 10 (ἐνοχλείτω δὲ μηθὲν ἡμᾶς ἡ Πλατωνικὴ τανῦν δόξα ἔμψυχα ὑπολαμβάνουσα καὶ τὰ φυτά). 193A B

Ἀλλ' ὅτι μὲν οὐ χαλεπὸν οὐδὲ παράνομον οὐδὲ ἀσύνηθες ὑμῖν ὁ γενναῖος εἰργάσατο Διογένης, εἰ μὴ τῷ σκληροτέρῳ καὶ μαλακωτέρῳ, ἡδονῇ τε λαιμοῦ καὶ ἀηδίᾳ τὰ τοιαῦτά τις ἐξετάζοι, 15 πρόδηλον οἶμαι τοῖς ὁπωσοῦν ἕπεσθαι λόγῳ | δυναμένοις. Οὐκ ἄρα τὴν ὠμοφαγίαν βδελύττεσθε οἱ τὰ παραπλήσια δρῶντες οὐκ ἐπὶ τῶν ἀναίμων μόνον ζῴων, ἀλλὰ καὶ ἐπὶ τῶν αἷμα ἐχόντων. Καὶ τούτῳ δὲ ἴσως διαφέρεσθε πρὸς ἐκεῖνον, ὅτι ὁ μὲν ἁπλῶς ταῦτα καὶ κατὰ φύσιν ᾠήθη χρῆναι προσφέρεσθαι, ἁλσὶ δὲ ὑμεῖς 20 καὶ πολλοῖς ἄλλοις ἀρτύσαντες ἡδονῆς ἕνεκα, τὴν φύσιν ὅπως βιάσησθε. Καὶ δὴ τοῦτο μὲν ἐπὶ τοσοῦτον ἀπόχρη. | C

[13] Τῆς Κυνικῆς δὲ φιλοσοφίας σκοπὸς μέν ἐστι καὶ τέλος, ὥσπερ δὴ καὶ πάσης φιλοσοφίας, τὸ εὐδαιμονεῖν· τὸ δὲ εὐδαιμονεῖν ἐν τῷ ζῆν κατὰ φύσιν, ἀλλὰ μὴ πρὸς τὰς τῶν πολλῶν δόξας. 25 Ἐπεὶ καὶ τοῖς φυτοῖς εὖ πράττειν συμβαίνει καὶ μέντοι καὶ ζῴοις πᾶσιν, ὅταν τοῦ κατὰ φύσιν ἕκαστον ἀνεμποδίστως τυγχάνῃ τέλους· ἀλλὰ καὶ ἐν τοῖς θεοῖς τοῦτό ἐστιν εὐδαιμονίας ὅρος, τὸ ἔχειν αὐτοὺς ὥσπερ πεφύκασι καὶ ἑαυτῶν εἶναι. | Οὐκοῦν καὶ τοῖς ἀνθρώποις οὐχ ἑτέρωθί που τὴν εὐδαιμονίαν ἀποκεκρυμμένην 30 προσήκει πολυπραγμονεῖν· οὐδὲ ἀετὸς οὐδὲ πλάτανος οὐδὲ ἄλλο τι τῶν ὄντων ζῴων ἢ φυτῶν χρυσᾶ περιεργάζεται πτερὰ καὶ D 194A

1 μικροῦ Hertlein: -όν U: ⟨παρὰ⟩ μικρόν Boulenger[2] | με vet. vulg.: μέν U **6** διαφέρει Hertlein: -ειν U ‖ **7** ὁ πολύπους U: ὁ om. vet. vulg. ‖ **9** οὗτος (scil. ὁ πολύπους) Hertlein: τοῦτο U (def. Prato, coll. K.-G. I 60s.) | οὖν U: γοῦν Hertlein | ἐστὶ μάλιστα U: μάλιστά ἐστιν vet. vulg. ‖ **12** οὐ U: οὔτι Hertlein in app. | ἄλογον vel ἄτοπον pro χαλεπόν mavult Hertlein in app. ‖ **14** ⟨καὶ⟩ ἡδονῇ Reiske: ⟨κρίνων⟩ ἡδονῇ Russell ‖ **26** τυγχάνῃ vet. vulg.: -ει U

φύλλα, οὐδὲ ὅπως ἀργυροῦς ἕξει τοὺς βλαστοὺς ἢ τὰ πλῆκτρα καὶ κέντρα σιδηρᾶ, μᾶλλον δὲ ἀδαμάντινα, ἀλλ' οἷς αὐτὰ ἐξ ἀρχῆς ἡ φύσις ἐκόσμησε, ταῦτα εἰ ῥωμαλέα καὶ πρὸς τάχος αὐτοῖς ἢ πρὸς B ἀλ|κὴν ὑπουργοῦντα προσγένοιτο, μάλιστα ἂν εὖ πράττειν νομίζοι καὶ εὐθηνεῖσθαι. 5

Πῶς οὖν οὐ γελοῖον εἴ τις ἄνθρωπος γεγονὼς ἔξω που τὴν εὐδαιμονίαν περιεργάσαιτο, πλοῦτον καὶ γένος καὶ φίλων δύναμιν καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα τοῦ παντὸς ἄξια νομίζων; Εἰ μὲν οὖν ἡμῖν ἡ φύσις, ὥσπερ τοῖς ζῴοις, αὐτὸ τοῦτο ἀπέδωκε μόνον, τὸ σώματα καὶ ψυχὰς ⟨ἔχειν⟩ ἐκείνοις παραπλησίας, ὥστε μηθὲν 10 C πλέον πολυπραγμονεῖν, ἤρ|κει λοιπόν, ὥσπερ τὰ λοιπὰ ζῷα, τοῖς σωματικοῖς ἀρκεῖσθαι πλεονεκτήμασιν, ἐνταῦθά που τὸ εὐδαιμονεῖν πολυπραγμονοῦσιν. Ἐπεὶ δὲ ἡμῖν οὐδέν τι παραπλησία ψυχὴ τοῖς ἄλλοις ἐνέσπαρται ζῴοις, ἀλλ' εἴτε κατ' οὐσίαν διαφέρουσα εἴτε οὐσίᾳ μὲν ἀδιάφορος, ἐνεργείᾳ δὲ μόνῃ κρείττων, ὥσπερ οἶμαι 15 τὸ καθαρὸν ἤδη χρυσίον τοῦ συμπεφυρμένου τῇ ψάμμῳ (λέγεται γὰρ καὶ οὗτος ὁ λόγος περὶ τῆς ψυχῆς ὡς ἀληθὴς ὑπό τινων), D ἡμεῖς | δὴ οὖν, ἐπειδὴ σύνισμεν αὐτοῖς οὖσι τῶν ζῴων ξυνετωτέροις (κατὰ γὰρ τὸν Πρωταγόρου μῦθον ἐκείνοις μὲν ἡ φύσις ὥσπερ μήτηρ ἄγαν φιλοτίμως καὶ μεγαλοδώρως προσηνέχθη, 20 ἡμῖν δὲ ἀντὶ πάντων ἐκ Διὸς ὁ νοῦς ἐδόθη), τὴν εὐδαιμονίαν ἐνταῦθα θετέον, ἐν τῷ κρατίστῳ καὶ σπουδαιοτάτῳ τῶν ἐν ἡμῖν.

[14] Σκόπει δὴ ταύτης εἰ μὴ μάλιστα τῆς προαιρέσεως ἦν Διογένης, ὃς τὸ μὲν σῶμα τοῖς πόνοις ἀνέδην παρεῖχεν, ἵνα αὐτὸ 195A {τὸ} τῆς φύ|σεως ῥωμαλεώτερον καταστήσῃ, πράττειν δὲ ἠξίου 25 μόνον ὁπόσα ἂν φανῇ τῷ λόγῳ πρακτέα, τοὺς δὲ ἐκ τοῦ σώματος ἐμπίπτοντας τῇ ψυχῇ θορύβους – οἷα πολλάκις ἡμᾶς ἀναγκάζει τουτὶ τὸ περικείμενον αὐτοῦ χάριν πολυπραγμονεῖν – οὐδὲ ἐν μέρει προσίετο. Ὑπὸ δὲ ταύτης τῆς ἀσκήσεως ὁ ἀνὴρ οὕτω μὲν

19 Plat. Prt. 320c-322d

7 περιεργάσαιτο Hertlein: -σοιτο U ‖ **9** ἄλλοις ante ζῴοις add. Klimek[3], fortasse recte (cf. ὥσπερ τὰ λοιπὰ ζῷα et τοῖς ἄλλοις … ζῴοις in C) | τὸ … ⟨ἔχειν⟩ Horkel: τά U ‖ **12** πλεονεκτήμασιν U (quod coni. Reiske): πλέον κτήμασιν vet. vulg. ‖ **18** ἡμεῖς aut pro anacolutho accipiendum aut in ἡμῖν mutandum et cum θετέον in D (l. 22) coniungendum mihi videtur (iunctura ἐπει(δή) — δή invenitur etiam 9 supra p. 89,21-25 et or. 3[2] 7 p. 57B) ‖ **25** τὸ del. Friederich, def. Prato post Barigazzi

ἔσχεν ἀνδρεῖον τὸ σῶμα ὡς οὐδεὶς οἶμαι τῶν τοὺς στεφανίτας ἀγωνισαμέ|νων, οὕτω δὲ διετέθη τὴν ψυχήν, ὥστε εὐδαιμονεῖν, B ὥστε βασιλεύειν οὐθὲν ἔλαττον, εἰ μὴ καὶ πλέον, ὡς οἱ τότε εἰώθεσαν λέγειν Ἕλληνες, τοῦ Μεγάλου Βασιλέως, τὸν Πέρσην λέγον-
5 τες. Ἆρά σοι μικρὰ φαίνεται ἀνὴρ *ἄπολις, ἄοικος, πατρίδος ἐστερημένος*, οὐκ ὀβολόν, οὐ δραχμήν, οὐκ οἰκέτην ἔχων – ἀλλ᾽ οὐδὲ μάζαν, ἧς Ἐπίκουρος εὐπορῶν οὐδὲ τῶν θεῶν φησιν εἰς εὐδαι-|μονίας λόγον ἐλαττοῦσθαι –, πρὸς μὲν τοὺς θεοὺς οὐκ ἐρίζων, τοῦ C δοκοῦντος δὲ τοῖς ἀνθρώποις εὐδαιμονεστάτου ζῶν καὶ ἔλεγε ζῆν
10 εὐδαιμονέστερον; Εἰ δὲ ἀπιστεῖς, ἔργῳ πειραθεὶς ἐκείνου τοῦ βίου καὶ οὐ τῷ λόγῳ αἰσθήσῃ. Φέρε δὴ πρῶτον αὐτὸν διὰ τῶν λόγων ἐλέγξωμεν.

[15] Ἆρά σοι δοκεῖ τῶν πάντων ἀγαθῶν ἀνθρώποις ἡγεῖσθαι, τούτων δὴ τῶν πολυθρυλλήτων, ἐλευθερίαν; „Πῶς γὰρ οὐ;"
15 φήσεις. Ἐπεὶ καὶ τὰ χρήματα καὶ πλοῦτος | καὶ γένος καὶ σώματος ἰσχὺς καὶ κάλλος καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα δίχα τῆς D ἐλευθερίας οὐ τοῦ δοκοῦντος εὐτυχηκέναι, τοῦ κτησαμένου δὲ αὐτόν ἐστιν ἀγαθά. Τίνα οὖν ὑπολαμβάνομεν τὸν δοῦλον; Ἆρα μή ποτε ἐκεῖνον, ὃν ⟨ἂν⟩ πριώμεθα δραχμῶν ἀργυρίου τόσων, ἢ μναῖν
20 δυοῖν ἢ χρυσίου στατήρων δέκα; Ἐρεῖς δήπουθεν τοῦτον εἶναι ἀληθῶς δοῦλον. Ἆρα δι᾽ αὐτὸ τοῦτο, ὅτι τὸ ἀργύριον ὑπὲρ αὐτοῦ τῷ πωλοῦντι καταβεβλήκαμεν; Οὕτω μεντἂν εἶεν οἰκέται καὶ ὁπόσους | τῶν αἰχμαλώτων λυτρούμεθα· καίτοι καὶ οἱ νόμοι 196A τούτοις ἀποδεδώκασι τὴν ἐλευθερίαν σωθεῖσιν οἴκαδε, καὶ ἡμεῖς

5–6 TrGF 88 (Diog. Sinop.) F 4,1; citatur ab Iuliano etiam Ad Them. 4 supra p. 4,20, ubi vide

6 ἔχων post δραχμήν transp. (et οὐδ᾽ pro οὐκ maluit) Kaibel (Philol. Anz. 4, 1872, 59) ut trimetrum iambicum efficeret ‖ **8** post ἐλαττοῦσθαι lacunam statuit Petavius (servato subsequenti τοῦτο) | τοῦ Reiske: τοῦτο U **9** εὐδαιμονεστάτου ⟨εὐδαιμονέστερον⟩ Reiske | καὶ ἔλεγε ζῆν U: κατ᾽ ἐμέ γε Platt: fortasse delendum ‖ **14** ἐλευθερίαν U: „fort. ἐλευθερία" Hertlein **14–15** „Πῶς γὰρ οὐ;" φήσεις Kassel: Π. γ. οὐ φ.; U ‖ **17** εὐτυχηκέναι U: ηὐτ- Hertlein (sed cf. iam Isocr. Panath. [or. 12] 7 εὐτυχηκόσιν et, e.g., Lib. or. 1,18 εὐτυχηκέναι) ‖ **19** ⟨ἂν⟩ πριώμεθα Hertlein (πριώμεθα iam vet. vulg.): πριόμεθα U: ἐπριάμεθα Barigazzi | τόσων ⟨καὶ τόσων⟩ Platt ‖ **24** σωθεῖσιν Reiske: σωθεῖσι καὶ U (def. Prato in adn. ad Misop. 1 infra p. 174,18, perperam)

αὐτοὺς ἀπολυτρούμεθα, οὐχ ἵνα δουλεύσωσιν, ἀλλ' ἵνα ὦσιν ἐλεύθεροι.

Ὁρᾷς ὡς οὐχ ἱκανόν ἐστιν ἀργύριον καταβαλεῖν ἐς τὸ ἀποφῆναι τὸν λυτρωθέντα δοῦλον, ἀλλ' ἐκεῖνός ἐστιν ὡς ἀληθῶς δοῦλος, οὗ κύριός ἐστιν ἕτερος προσαναγκάσαι πράττειν ὅτι ἂν κελεύῃ, καὶ μὴ βουλόμενον κόλασαι καί, τὸ λεγόμενον ὑπὸ τοῦ ποιητοῦ, *κακαῖς ὀδύνησι πελάζειν*; | Ὅρα δὴ τὸ μετὰ τοῦτο, εἰ μὴ κύριοι πάντες ἡμῶν εἰσιν, οὓς ἀναγκαῖον ἡμῖν θεραπεύειν, ἵνα μηθὲν ἀλγῶμεν μηδὲ λυπώμεθα κολαζόμενοι παρ' αὐτῶν. Ἢ τοῦτο οἴει κόλασιν μόνον, εἴ τις ἐπανατεινόμενος τὴν βακτηρίαν καθίκοιτο τοῦ οἰκέτου; Καίτοι γε τοιοῦτον οὐδὲ οἱ τραχύτατοι τῶν δεσποτῶν ἐπὶ πάντων ποιοῦσι τῶν οἰκετῶν, ἀλλὰ καὶ λόγος ἀρκεῖ πολλάκις καὶ ἀπειλή. Μήποτε οὖν, | ὦ φίλε, νομίσῃς εἶναι ἐλεύθερος, ἄχρις οὗ γαστὴρ ἄρχει σου καὶ τὰ ἔνερθεν γαστρὸς οἵ τε τοῦ παρασχεῖν τὰ πρὸς ἡδονὴν καὶ ταῦτα ἀποκωλῦσαι κύριοι· καὶ εἰ τούτων δὲ γένοιο κρείττων, ἕως ἂν δουλεύῃς ταῖς τῶν πολλῶν δόξαις, οὔπω τῆς ἐλευθερίας ἔθιγες οὐδὲ ἐγεύσω τοῦ νέκταρος, *οὐ μὰ τὸν ἐν στέρνοισιν ἐμοῖς παραδόντα Τετρακτύν*. | Καὶ οὐ τοῦτό φημι ὡς ἀπερυθριᾶσαι χρὴ πρὸς πάντας καὶ πράττειν τὰ ⟨μὴ⟩ πρακτέα· ἀλλ' ὧν ἀπεχόμεθα καὶ ὅσα πράττομεν, μὴ διὰ τὸ τοῖς πολλοῖς δοκεῖν σπουδαῖα πάντως ἢ φαῦλα, διὰ τοῦτο πράττωμεν καὶ ἀπεχώμεθα, ἀλλ' ὅτι τῷ λόγῳ καὶ τῷ ἐν ἡμῖν θεῷ, τοῦτ' ἐστὶ τῷ νῷ, ταῦτά ἐστιν ἀπόρρητα. Τοὺς μὲν οὖν πολλοὺς οὐθὲν κωλύει ταῖς κοιναῖς ἕπεσθαι δόξαις – ἄμεινον γὰρ τοῦτο τοῦ παντάπασιν ἀπερυθριᾶν· ἔχου|σι γὰρ ἄνθρωποι φύσει πρὸς ἀλήθειαν οἰκείως –, ἀνδρὶ δὲ ἤδη κατὰ νοῦν ζῶντι καὶ τοὺς ὀρθοὺς εὑρεῖν τε δυναμένῳ

7 Hom. E 766 (κακῇς ὀδ. πελ.) ‖ **17–18** cf. [Pyth.] Carmen aur. 47 (ναὶ μὰ τὸν ἁμετέραι ψυχᾶι παραδόντα τετρακτύν), Iambl. VPyth. 162 (οὔ, μὰ τ. ἁ. γενεᾷ π. τ.) et vide A. Nauck, Iambl. de vita Pyth. liber, 1884, p. 216s. et 229s.

3 οὐχ ἱκανόν Petavius in mg.: οὐχὶ κενόν U ‖ **5** οὗ U: ὃν Klimek[2] ‖ **11** οὐδὲ οἱ U: οὐδὲ οὐ vet. vulg. ‖ **15** ταῦτα U: „fort. πάλιν" Reiske: ταὐτά Hertlein in app. ‖ **19** πάντας U: πάντα Hertlein dub. in app. | μὴ add. Petavius in mg. **21** πάντως U: πως Hertlein dub. in app. ‖ **23** ἀπόρρητα U: „fort. ἀπόρρητα ἢ εὐδόκιμα, ut habeat quoque verbum πράττωμεν aliud sibi respondens" Reiske ‖ **24** κοιναῖς U: κεν- Asmus[1] ‖ **25** ἄνθρωποι Hertlein: ἄνθρ- U οἰκείως Reiske: -εῖον U

καὶ κρῖναι λόγους προσήκει τὸ παράπαν οὐθὲν ἕπεσθαι τοῖς νομιζομένοις ὑπὸ τῶν πολλῶν εὖ τε καὶ χεῖρον πράττεσθαι.

Οὐκοῦν ἐπειδὴ τὸ μέν ἐστι *τῆς ψυχῆς* ἡμῶν *θειότερον*, ὃ δὴ νοῦν καὶ φρόνησίν φαμεν καὶ λόγον τὸν σιγώμενον – οὗ κήρυξ 5 ἐστὶν ὁ διὰ τῆς φωνῆς οὑτοσὶ λόγος προϊὼν ἐξ ὀνομάτων καὶ ῥημάτων –, ἕτερον δέ τι τούτῳ συνέζευκται ποικίλον καὶ παντοδαπόν, ὀργῇ | καὶ ἐπιθυμίᾳ ξυμμιγές τι καὶ πολυκέφαλον θηρίον, B ⟨οὐ⟩ πρότερον χρὴ πρὸς τὰς δόξας τῶν πολλῶν ἀτενῶς ὁρᾶν καὶ ἀδιατρέπτως, πρὶν ἂν τοῦτο δαμάσωμεν τὸ θηρίον καὶ πείσωμεν 10 ὑπακοῦσαι τῷ παρ' ἡμῖν θεῷ, μᾶλλον δὲ θείῳ. Τοῦτο γὰρ πολλοὶ τοῦ Διογένους †ζηλώσαντες† ἐγένοντο παντορέκται καὶ μιαροὶ καὶ τῶν θηρίων οὐδὲ ἑνὸς κρείττους. Ὅτι δὲ *οὐκ ἐμὸς ὁ λόγος ἐστί*, πρῶ|τον ἔργον ἐρῶ σοι Διογένους, ἐφ' ᾧ γελάσονται μὲν οἱ C πολλοί, ἐμοὶ δὲ εἶναι δοκεῖ σεμνότατον. Ἐπειδὴ γάρ τις τῶν νέων 15 ἐν ὄχλῳ, παρόντος καὶ τοῦ Διογένους, ἀπέπαρδεν, ἐπάταξεν ἐκεῖνος τῇ βακτηρίᾳ φάς· „Εἶτα, ὦ κάθαρμα, μηθὲν ἄξιον τοῦ δημοσίᾳ τὰ τοιαῦτα θαρσεῖν πράξας ἐντεῦθεν ἡμῖν ἄρχῃ δόξης καταφρονεῖν;“ Οὕτως ᾤετο χρῆναι πρότερον ἡδονῆς καὶ θυμοῦ κρείττονα γενέσθαι καὶ τρίτον ἐπὶ τὸ τελειότατον | ἐλθεῖν τῶν D 20 παλαισμάτων, ἀποδυσάμενον πρὸς τὰς τῶν πολλῶν δόξας, αἳ μυρίων κακῶν αἴτιαι γίνονται τοῖς πολλοῖς.

3 cf. Plat. Alc. I 133c (Ἔχομεν οὖν εἰπεῖν ὅτι ἐστὶ τῆς ψυχῆς θειότερον ἢ τοῦτο, περὶ ὃ τὸ εἰδέναι τε καὶ φρονεῖν ἐστιν;) ‖ **6–7** ad ποικίλον καὶ … πολυκέφαλον θηρίον cf. Plat. Rep. VIII 588c ‖ **12** cf. Eur. Hel. 513 (λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφῶν δέ του), fr. 484,1 Kann. (κοὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα); Iul. Misop. 29 infra p. 200,6 (οὐκ ἔστιν ὁ λόγος ἐμός), Epist. 89b p. 167,9 Bidez (Ὅτι δὲ οὐκ ἐμὸς ὁ λόγος οὗτός ἐστιν κτλ.)

5 προϊὼν Hertlein: προσ- U ‖ **8** ⟨οὐ⟩ πρότερον Petavius in mg.: πότερον U (vet. vulg.) ‖ **10** θεῷ – θείῳ U: θείῳ – θεῷ Russell ‖ **11** ζηλώσαντες U: ζηλωταὶ ἐάσαντες Hertlein in app. (praeeunte Reiskio, qui πολλοὶ ἐάσαντες ἐπικρατεῖν τῶν τὰ Διογένους ζηλωσάντων coniecit): ζηλωταὶ δράσαντες temptavit Lucarini | παντορέκται Wyttenbach (coll. Porph. De abst. I 42: τοῦτο καὶ τῶν κυνικῶν τινὰς παντορέκτας ἐποίησεν): παντοραῖκται U: παντοραίσται (quae vox nusquam alibi invenitur) Th. Reinesius ap. Wyttenbach ‖ **17** θαρσεῖν Petavius in mg.: θάρσει U | ἄρχῃ Petavius in mg.: ἀρχὴ U: ἄρχει Cobet ‖ **18** καὶ U: κᾆτα Boulenger[2] ‖ **19** καὶ τρίτον U: πρὶν Hertlein in app. ‖ **20** ἀποδυσάμενον vet. vulg.: -νάμενον U

[16] Οὐκ οἶσθα ὅπως τοὺς μὲν νέους τῆς φιλοσοφίας ἀπάγουσιν ἄλλα ἐπ' ἄλλοις τῶν φιλοσόφων θρυλλοῦντες; Οἱ Πυθαγόρου καὶ Πλάτωνος καὶ Ἀριστοτέλους χορευταὶ γνήσιοι γόητες εἶναι λέγονται καὶ σοφισταὶ καὶ τετυφωμένοι καὶ φαρμακεῖς· τῶν
198A Κυνικῶν εἴ που τις γέ|γονε σπουδαῖος, ἐλεεινὸς δοκεῖ. Μέμνημαι 5 γοῦν ἐγώ ποτε τοῦ τροφέως εἰπόντος πρός με, ἐπειδὴ τὸν ἑταῖρον εἶδεν Ἰφικλέα αὐχμηρὰν ἔχοντα τὴν κόμην καὶ †κατερρωγότα τὰ στέρνα† ἱμάτιόν τε παντάπασι φαῦλον ἐν δεινῷ χειμῶνι· „Τίς ἄρα δαίμων τοῦτον εἰς ταύτην περιέτρεψε τὴν συμφοράν, ὑφ' ἧς αὐτὸς μὲν ἐλεεινός, ἐλεεινότεροι δὲ οἱ πατέρες αὐτοῦ, θρέψαντες σὺν 10
B ἐπιμελείᾳ καὶ παιδεύσαντες ὡς ἐνεδέχετο σπουδαί|ως, ὁ δὲ οὕτω νῦν περιέρχεται, πάντα ἀφείς, οὐθὲν τῶν προσαιτούντων κρείττων;“ Ἐκείνου μὲν οὖν ἐγὼ οὐκ οἶδ' ὅπως τότε κατειρωνευσάμην· εὖ μέντοι γε ἴσθι ταῦτα καὶ ὑπὲρ τῶν ἀληθῶς κυνῶν τοὺς πολλοὺς διανοουμένους. 15

Καὶ οὐ τοῦτο δεινόν ἐστιν, ἀλλ' ὁρᾷς ὅτι καὶ πλοῦτον ἀγαπᾶν πείθουσι καὶ πενίαν μισεῖν καὶ τὴν γαστέρα θεραπεύειν καὶ τοῦ σώματος ἕνεκα πάντα ὑπομένειν πόνον καὶ πιαίνειν τὸν τῆς ψυχῆς δεσμὸν καὶ τράπεζαν παρατίθεσθαι πολυτελῆ καὶ μη-
C |δέποτε νύκτωρ καθεύδειν μόνον, ἀλλὰ τὰ τοιαῦτα πάντα δρᾶν ἐν 20 τῷ σκότῳ λανθάνοντα. Τοῦτο οὐκ ἔστι τοῦ Ταρτάρου χεῖρον; Οὐ βέλτιόν ἐστιν ὑπὸ τὴν Χάρυβδιν καὶ τὸν Κωκυτὸν καὶ *μυρίας ὀργυιὰς κατὰ γῆς* δῦναι, ἢ πεσεῖν εἰς τοιοῦτον βίον αἰδοίοις καὶ γαστρὶ δουλεύοντα, καὶ οὐδὲ τούτοις ἁπλῶς ὥσπερ τὰ θηρία,

18–19 cf. Porph. De abst. I 34 (τοῦ δεσμοῦ ... ὃν ἐκ τῆς γεύσεως τὰ πάθη πιαίνει) ‖ **19–20** cf. Plat. Epist. 7 p. 326b (μηδέποτε κοιμώμενον μόνον νύκτωρ) et Misop. 14 infra p. 185,11 (καθεύδεις ... νύκτωρ μόνος) **22–23** cf. Xen. Anab. VII 1,30 (εὔχομαι ... μυρίας ἐμέ γε κατὰ τῆς γῆς ὀργυιὰς γενέσθαι)

7–8 κατερρωγότα τὰ στέρνα ἱμάτιόν τε U (def. Hertlein, coll. Charit. III 5,6 περιέρρηξε τὸ στῆθος, sed hoc loco nunc περιερρήξατο τὴν ἐσθῆτα Reardon post Cobet et Gasda legit): κατερρωγός τε τὰ στέρνα ἱμάτιον καὶ Boulenger[2] (⟨περὶ⟩ τὰ στέρνα maluit Kassel; cf. Heliod. VI 9,2: τὸν χιτῶνα κατερρωγότα περὶ τοῖς στήθεσι): κατερρωγότα τὰ στ. ⟨χιτῶνα⟩ ἱμ. τε A. Jacob ap. Boulenger[2]: fortasse κατερρωγότα τὰ χείλη legendum (cf. Ps.-Gal. De rem. parab. XIV p. 424,5 Kühn)? ‖ **14** ταῦτα καὶ Hertlein dub. in app.: καὶ ταῦτα U ‖ **16** ὅτι Petavius in mg.: ἔτι U ‖ **20** ἀλλὰ U: ἄλλα Reiske ‖ **21** signum interrogationis post λανθάνοντα pos. edd. usque ad Wright

πράγματα δὲ ἔχειν ὡς ἂν καὶ λάθοιμεν ὑπὸ τῷ σκότῳ ταῦτα ἐξεργαζόμενοι; Καίτοι πόσῳ κρεῖττον ἀ|πέχεσθαι παντάπασιν D αὐτῶν; Εἰ δὲ μὴ ῥᾴδιον, οἱ Διογένους νόμοι καὶ Κράτητος ὑπὲρ τούτων οὐκ ἀτιμαστέοι· *ἔρωτα λύει λιμός, εἰ δὲ τούτῳ χρῆσθαι μὴ* 5 *δύνασαι, βρόχος*. Οὐκ οἶσθα ὅτι ταῦτα ἔπραξαν ἐκεῖνοι τῷ βίῳ διδόντες ὁδὸν εὐτελείας; „*Οὐ γὰρ ἐκ τῶν μαζοφάγων*“, *φησὶν ὁ Διογένης*, „*οἱ | τύραννοι*, ἀλλ' ἐκ τῶν δειπνούντων πολυτελῶς“· καὶ 199A ὁ Κράτης μέντοι πεποίηκεν ὕμνον Εἰς τὴν Εὐτέλειαν·

„Χαῖρε, θεὰ δέσποινα, σοφῶν ἀνδρῶν ἀγάπημα,
10 Εὐτελίη, κλεινῆς ἔγγονε Σωφροσύνης.“

[17] Ἔστω δὴ μὴ κατὰ τὸν Οἰνόμαον ὁ κύων ἀναιδὴς μηδὲ ἀναίσχυντος μηδὲ ὑπερόπτης πάντων ὁμοῦ θείων τε καὶ ἀνθρωπίνων, ἀλλὰ εὐλαβὴς μὲν τὰ πρὸς τὸ θεῖον, ὥσπερ Διογένης. Ἐπείσθη γοῦν ἐ|κεῖνος τῷ Πυθίῳ, καὶ οὐ μετεμέλησεν αὐτῷ πεισθέντι· B 15 εἰ δέ, ὅτι μὴ προσῄει μηδὲ ἐθεράπευε τοὺς νεὼς μηδὲ τὰ ἀγάλματα μηδὲ τοὺς βωμούς, οἴεταί τις ἀθεότητος εἶναι σημεῖον, οὐκ ὀρθῶς νομίζει· ἦν γὰρ οὐθὲν αὐτῷ τῶν τοιούτων, οὐ λιβανωτός, οὐ σπονδή, οὐκ ἀργύριον, ὅθεν αὐτὰ πρίαιτο. Εἰ δὲ ἐνόει περὶ θεῶν ὀρθῶς, ἤρκει τοῦτο μόνον· αὐτῇ γὰρ αὐτοὺς ἐθεράπευε τῇ ψυχῇ, 20 διδοὺς οἶμαι τὰ τιμιώτατα τῶν ἑαυτοῦ, τὸ καθοσιῶσαι τὴν ἑαυτοῦ ψυχὴν διὰ τῶν ἐννοιῶν.

Ἀ|περυθριάτω δὲ μηδαμῶς, ἀλλ' ἑπόμενος τῷ λόγῳ πρότερον C μὲν αὐτῷ χειρόηθες καταστησάτω τὸ παθηματικὸν τῆς ψυχῆς μόριον, ὥστε παντάπασιν ἐξελεῖν αὐτὸ καὶ μηδὲ ὅτι κρατεῖ τῶν

4–5 cf. Cratet. SH 363 (ap. Diog. Laert. VI 86): ἔρωτα παύει λιμός, εἰ δὲ μή, χρόνος· / ἐὰν δὲ τούτοις μὴ δύνῃ χρῆσθαι, βρόχος ; Suda κ 2341 (ἔρ. π. λ.· εἰ δ. μ., χρ.· ἂν δὲ μηδὲ τούτῳ [cod. A: εἰ δὲ μὴ τοῦτο codd. GM] δύνασαι, βρ.) ‖ **6–7** Porph. De abst. I 47 (οὐ γὰρ ἐκ τῶν μαζοφάγων, φησὶν ὁ Διογένης, οἱ κλέπται καὶ οἱ πολέμιοι, ἀλλ' ἐκ τῶν κρεοφάγων οἱ συκοφάνται καὶ τύραννοι) ‖ **9–10** Cratet. SH 361,1–2 = Anth. Pal. X 104 **11** Hammerstaedt, D. Orakelkr. d. Kynikers Oenomaus, 1988, p. 32 et 48

4 λύει U: παύει Cratet. SH 363 ‖ **4–5** εἰ — δύνασαι (aut ἂν — δύνῃ) Hertlein in app. (et iam Reiske sec. Prato): ἂν — δύνασαι U ‖ **5** ἔπραξαν U: ἔτα- Lucarini ‖ **9** σοφῶν ἀνδρῶν U: ἀνδρῶν ἀγαθῶν Anth. Pal. ‖ **10** Εὐτελίη Anth. Pal.: Εὐτέλεια καί U (καί del. Petavius) ‖ **19** ἐθεράπευε U: -σε vet. vulg. ‖ **20** τὸ U: τῷ Petavius in mg.

ἡδονῶν εἰδέναι· εἰς τοῦτο γὰρ ἄμεινον ἐλθεῖν, εἰς τὸ καὶ εἰ πάσχει τις τὰ τοιαῦτα ὅλως ἀγνοῆσαι, τοῦτο δὲ ἡμῖν οὐκ ἄλλως ἢ διὰ τῶν γυμνασιῶν προσγίνεται. Ἵνα δὲ μή τις ὑπολάβῃ με ταῦτα ἄλλως D λέγειν, ἐκ τῶν Παιγνίων Κράτη|τος ὀλίγα σοι παραγράψω·

„Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα, 5
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
χόρτον ἀεὶ συνεχῶς δότε γαστέρι, ἥτε μοι αἰεὶ
χωρὶς δουλοσύνης λιτὸν ἔθηκε βίον.
....
Ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε. 10
Χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτά, κανθάρου οἶτον, |
200A μύρμηκός τ' ἄφενος χρήματα μαιόμενος,
ἀλλὰ δικαιοσύνης μετέχειν καὶ πλοῦτον ἀγινεῖν
εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν. 15
Τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ' ἁγνάς,
οὐ δαπάναις τρυφεραῖς, ἀλλ' ἀρεταῖς ὁσίαις."

B Εἰ χρή σοι περὶ τούτων γράφειν, ἔχω | πλείονα τοῦ ἀνδρός. Ἐντυχὼν δὲ τῷ Χαιρωνεῖ Πλουτάρχῳ τὸν Κράτητος ἀναγράψαντι βίον οὐθὲν ἐκ παρέργου {τοῦ} μανθάνειν δεήσει τὸν ἄνδρα. 20 {Οὗτος ἡγεμὼν ἐγένετο Ζήνωνι τῶν καλῶν δογμάτων· ἐπὶ τούτου φασὶ τοὺς Ἕλληνας ἐπιγράφειν τοῖς ἑαυτῶν οἴκοις ἐπὶ τῶν προπυλαίων· „Εἴσοδος Κράτητι, Ἀγαθῷ Δαίμονι".}

5–17 Μνημοσύνης – ὁσίαις Cratet. SH 359, qui versus etiam citantur ab Iuliano, ´C. Heracl. 9 supra p. 27 (213B-D) ‖ **19–20** Plut. fr. 10 Sandbach

7 ἀεὶ (immo αἰεὶ) συνεχῶς U: ἐμῇ συνεχῆ 213B | ἥτε μοι αἰεὶ U: καὶ δότε χωρὶς 213B ‖ **8** χωρὶς δουλοσύνης U: δουλοσύνης ἢ δὴ 213B **9** hexametrum qui hic desideratur, sic restituere conatus est Helferich: ἐξ ὁσίου στόματος καθαρὰν ὀχετεύετε πηγήν (cf. Empedocl. VS 31 B 3,7), in versu sequenti γλυκερὸν in γλυκερὰν mutato ‖ **12** οἶτον U: ὄλβον 213C **13** χρήματα hic U et 213C V: κτή- Diels ‖ **14** ἀγινεῖν Petavius in mg. (ἀγιεῖν U): ἀσινῆ 213C: ἀγείρειν Cobet ‖ **16** ἁγνάς hic U et 213C V: -ῶς Wilamowitz ‖ **18** περὶ ante τοῦ add. Asmus[1] ‖ **19** Χαιρωνεῖ Cobet (cf. Iul. Misop. 29 infra p. 200,8: Χαιρωνέως ἀνδρὸς): Χαιρωνείῳ U | Πλουτάρχῳ del. Asmus[1] **20** τοῦ del. Cobet ‖ **21–23** Οὗτος – Ἀγαθῷ Δαίμονι secl. Horkel, def. Asmus[1]

[18] Ἀλλ' ἐπανίωμεν ἐπ' ἐκεῖνο πάλιν ὅτι χρὴ τὸν ἀρχόμενον κυνίζειν αὐτῷ | πρότερον ἐπιτιμᾶν πικρῶς καὶ ἐξελέγχειν καὶ μὴ κολακεύειν, ἀλλὰ ἐξετάζειν ὅτι μάλιστα αὐτὸν ἀκριβῶς, εἰ τῇ πολυτελείᾳ τῶν σιτίων χαίρει, εἰ στρωμνῆς δεῖται μαλακῆς, εἰ τιμῆς ἢ δόξης ἐστὶν ἥττων, εἰ τοῦτο ζηλοῖ, τὸ *περιβλέπεσθαι*, καί, εἰ ⟨καὶ⟩ *κενὸν εἴη*, *τίμιον* ὅμως νομίζει. Μηδὲ εἰς συμπεριφορὰν ὄχλων καθείσθω, γευέσθω δὲ τρυφῆς μηδὲ *ἄκρῳ*, φασί, *τῷ δακτύλῳ*, ἕως αὐτὴν | παντελῶς πατήσει· τότε ἤδη καὶ τῶν τοιούτων, ἂν προσπίπτῃ, θιγεῖν οὐδὲν κωλύει. Ἐπεὶ καὶ τῶν ταύρων ἀκούω τοὺς ἀσθενεστέρους ἐξίστασθαι τῆς ἀγέλης καὶ καθ' ἑαυτοὺς νεμομένους ἀγείρειν τὴν ἰσχὺν ἐν μέρει καὶ κατ' ὀλίγον, εἶθ' οὕτως ἐπιέναι καὶ προκαλεῖσθαι καὶ τῆς ἀγέλης ἀμφισβητεῖν τοῖς προκατέχουσιν, ὡς μᾶλλον ἀξιώτερον προΐστασθαι. C 5 D 10

Ὅστις οὖν κυνίζειν ἐθέλει, μήτε τὸν τρίβωνα μήτε τὴν πήραν μήτε τὴν βακτηρίαν καὶ | τὴν κόμην ἀγαπάτω μόνον, ἵν' ὥσπερ ἐν κώμῃ βαδίζῃ κουρείων καὶ διδασκαλείων ἐνδεεῖ ἄκαρτος καὶ ἀγράμματος, ἀλλὰ τὸν λόγον ἀντὶ τοῦ σκήπτρου καὶ τὴν ἔνστασιν ἀντὶ τῆς πήρας τῆς Κυνικῆς ὑπολαμβανέτω φιλοσοφίας γνωρίσματα. Παρρησίᾳ δὲ χρηστέον αὐτῷ πρῶτον ὁπόσου πέφυκεν ἄξιος ἐπιδειξαμένῳ, ὥσπερ οἶμαι Κράτης καὶ Διογένης, οἳ πᾶσαν μὲν ἀπειλὴν Τύχης – {καὶ} εἴτε παιδιὰν εἴτε παροινί|αν χρὴ φάναι – τοσοῦτον ἀπέσχον τοῦ δυσκόλως ἐνεγκεῖν, ὥστε ἁλοὺς μὲν ὑπὸ τῶν καταποντιστῶν ὁ Διογένης ἔπαιζεν, ὁ Κράτης δὲ ἐδημοσίευε τὴν οὐσίαν, εἶτα {εἰς} τὸ σῶμα βλαβεὶς ἔσκωπτεν ἑαυτὸν ⟨εἰς⟩ τὴν χωλότητα τοῦ σκέλους καὶ τὸ κυρτὸν τῶν ὤμων· ἐπορεύετο δὲ ἐπὶ τὰς τῶν φίλων ἑστίας, ἄκλητος ⟨καὶ⟩ κεκλημένος, διαλλάσσων τοὺς οἰκειοτάτους ἀλλήλοις, εἴποτε στασιάζοντας αἴσθοιτο, 15 201A 20 B 25

5–6 cf. Eur. Phoen. 551 (περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν) ‖ **7–8** cf. Luc. Demon. 4 (κατὰ τὴν παροιμίαν ἄκρῳ τῷ δακτύλῳ ἁψάμενος) et vide Pfeiffer ad Call. fr. 203,61

3 αὐτὸν vet. vulg.: αὐ- U ‖ **6** καὶ suppl. Reiske ‖ **7** ὄχλων U: -ῳ Cobet καθείσθω Petavius in mg.: καθήσθω U: καθυφείσθω Hertlein in app. ‖ **8** ἕως — πατήσει U: ἕως ⟨ἂν⟩ — πατήσῃ Hertlein | τότε ἤδη U: τότε ⟨δ'⟩ Reiske **12** ἐπιέναι vet. vulg.: καὶ ἕνα U: κατιέναι Lucarini, fortasse recte **13** ἀξιώτερον U: -ωτέρους Hertlein: ἀξίους Petavius in mg. ‖ **21** καὶ del. Prato | παιδιὰν Petavius in mg.: -είαν U ‖ **23** ἐδημοσίευε U: -σε Hertlein in app. ‖ **24** εἰς[1] del. Hertlein | εἰς[2] add. Reiske ‖ **26** καὶ add. Cobet

C ἐπετίμα δὲ οὐ μετὰ πι|κρίας, ἀλλὰ μετὰ χάριτος, οὐχ ἵνα συκοφαντεῖν δοκῇ τοὺς σωφρονισθέντας, ὠφελεῖν δὲ ἐθέλων αὐτούς τε ἐκείνους καὶ τοὺς ἀκούοντας.

Καὶ οὐ τοῦτο ἦν τὸ προηγούμενον αὐτοῖς τέλος, ἀλλ' (ὅπερ ἔφην) ἐσκόπουν ὅπως αὐτοὶ μὲν εὐδαιμονήσωσιν, ἔμελε δὲ αὐτοῖς 5 τῶν ἄλλων τοσοῦτον ὅσον ξυνίεσαν οἶμαι φύσει κοινωνικὸν καὶ πολιτικὸν ζῷον τὸν ἄνθρωπον εἶναι. καὶ τοὺς συμπολιτευομένους D ὠφέλησαν οὐ τοῖς παραδείγμασι μόνον, ἀλλὰ | καὶ τοῖς λόγοις. Ὅστις οὖν ἂν ἐθέλῃ Κυνικὸς εἶναι καὶ σπουδαῖος ἀνήρ, αὐτοῦ πρότερον ἐπιμεληθείς, ὥσπερ Διογένης καὶ Κράτης, ἐξελαυνέτω 10 μὲν τῆς ψυχῆς ἅπαντα ἐκ πάσης τὰ πάθη, ὀρθῷ δὲ ἐπιτρέψας τὰ καθ' ἑαυτὸν λόγῳ καὶ νῷ κυβερνάσθω. Κεφάλαιον γὰρ ἦν, ὡς ἐγὼ οἶμαι, τοῦτο τῆς Διογένους φιλοσοφίας.

[19] Εἰ δὲ ἑταίρᾳ ποτὲ προσῆλθεν ὁ ἀνήρ – καίτοι καὶ τοῦτο 202A τυχὸν ἅπαξ ἢ οὐδὲ ἅπαξ ἐγένετο –, ὅταν ἡμῖν | τὰ ἄλλα κατὰ τὸν 15 Διογένη γένηταί ⟨τις⟩ σπουδαῖος, ἂν οὕτω φανῇ καὶ τοιοῦτόν τι †φάναι† φανερῶς ἐν ὀφθαλμοῖς πάντων, οὐ μεμψόμεθα οὐδὲ αἰτιασόμεθα. Πρότερον μέντοι τὴν Διογένους ἡμῖν ἐπιδειξάμενος εὐμάθειαν καὶ τὴν ἀγχίνοιαν καὶ τὴν ἐν τοῖς ἄλλοις ἅπασιν ἐλευθερίαν, αὐτάρκειαν, δικαιοσύνην, σωφροσύνην, εὐλάβειαν, 20 χάριν, προσοχὴν ὡς μηθὲν εἰκῇ μηδὲ μάτην μηδὲ ἀλόγως ποιεῖν B (ἐπεὶ καὶ | ταῦτα τῆς Διογένους εἰσὶ φιλοσοφίας οἰκεῖα), πατείτω τῦφον, καταπαιζέτω τῶν τὰ μὲν ἀναγκαῖα τῆς φύσεως ἔργα κρυπτόντων ἐν σκότῳ (φημὶ δὲ τῶν περιττωμάτων τὰς ἐκκρίσεις), ἐν μέσαις δὲ ταῖς ἀγοραῖς καὶ ταῖς πόλεσιν ἐπιτηδευόντων τὰ 25 βιαιότατα καὶ μηθὲν ἡμῶν οἰκεῖα τῇ φύσει, χρημάτων ἁρπαγάς, συκοφαντίας, γραφὰς ἀδίκους, διώξεις, ἄλλων τοιούτων συρφετὸν C πραγμάτων. Ἐπεὶ καὶ Διογένης εἴτε | ἀπέπαρδεν εἴτε ἀπεπάτησεν εἴτε ἄλλο τι τοιοῦτον ἔπραξεν, ὥσπερ οὖν λέγουσιν, ἐν ἀγορᾷ

4 οὐ Petavius in mg.: εἰ U ‖ **5** ἔμελε Petavius in mg.: -λλε U ‖ **6** οἶμαι Horkel: οἱ μὲν U ‖ **16** τις add. Boulenger[2] (praeeunte Petavio in versione Latina: „cum aliquis in caeteris haud impar Diogenis oblatus fuerit“) | οὕτω U: αὐτῷ Cobet (tum δρᾶν pro φάναι ut Petavius) ‖ **17** φάναι U: „for[t]. δρᾶν“ Petavius in mg.: δρῶν vel δράσας Hertlein in app. („quanquam ne sic quidem locus corruptus persanatur“): δρᾶσαι Prato: φάνῃ Criscuolo[3] ‖ **21** ποιεῖν U: „num ποιῇ?“ Prato ‖ **22** εἰσὶ U: ἐστὶ Hertlein ‖ **23** inde post τῆς φύσεως rursum incipit V ‖ **27** συρφετὸν Hertlein 1850: -τῶν V: -τωδῶν Reiske

{οἱ πολλοί}, τὸν ἐκείνων πατῶν τῦφον ἐποίει, διδάσκων αὐτοὺς ὅτι πολλῷ φαυλότερα καὶ χαλεπώτερα τούτων ἐπιτηδεύουσι· τὰ μὲν γάρ ἐστιν ἡμῖν πᾶσι κατὰ φύσιν, τὰ δέ ὡς ἔπος εἰπεῖν οὐθενί, πάντα δὲ ἐκ διαστροφῆς ἐπιτηδεύεται. Ἀλλ' οἱ νῦν τοῦ Διογένους
5 ζηλωταὶ τὸ ῥᾷστον καὶ κουφότατον ἑλό|μενοι τὸ κρεῖττον οὐκ D
εἶδον· σύ τε ἐκείνων εἶναι σεμνότερος ἐθέλων ἀπεπλανήθης τοσοῦτον τῆς Διογένους προαιρέσεως, ὥστε αὐτὸν ἐλεεινὸν ἐνόμισας.

[20] Εἰ δὲ τούτοις μὲν ἠπίστεις ὑπὲρ ἀνδρὸς λεγομένοις, ὃν οἱ πάντες Ἕλληνες τότε ἐθαύμασαν μετὰ Σωκράτη καὶ Πυθαγόραν
10 ἐπὶ Πλάτωνος καὶ Ἀριστοτέλους, οὗ γέγονεν ἀκροατὴς ὁ τοῦ σωφρονεστάτου καὶ συνετωτάτου Ζήνωνος καθηγεμών, οὓς οὐκ εἰκὸς ἦν ἅπαντας ἀπατηθῆναι περὶ ἀνδρὸς οὕτω φαύλου ὁποῖον σὺ διακωμῳδεῖς, ὦ βέλ|τιστε, ἴσως ἄν τι πλέον ἐσκόπησας περὶ 203A
αὐτοῦ καὶ πορρωτέρω προῆλθες τῆς ἐμπειρίας τἀνδρός. Τίνα γὰρ
15 οὐκ ἐξέπληξε τῶν Ἑλλήνων ἡ Διογένους καρτερία, βασιλικῆς οὐκ ἔξω μεγαλοψυχίας οὖσα, καὶ φιλοπονία; Ἐκάθευδεν ἀνὴρ ἐπὶ στιβάδος ἐν τῷ πίθῳ βέλτιον ἢ Μέγας Βασιλεὺς ὑπὸ τοῖς ἐπιχρύσοις ὀρόφοις ἐν τῇ μαλθακῇ κλίνῃ, ἤσθιε τὴν μάζαν ἥδιον ἢ σὺ νῦν τὰς Σικελικὰς ἐσθίεις τραπέζας, ἐλούετο θερμῷ τὸ σῶμα πρὸς | B
20 τὸν ἀέρα ξηραίνων ἀντὶ τῶν ὀθονίων, οἷς ⟨σὺ⟩ ἀπομάττῃ, φιλοσοφώτατε. Πάνυ σοι προσήκει κωμῳδεῖν ἐκεῖνον, ὅτι κατειργάσω τὸν Ξέρξην, ὡς ὁ Θεμιστοκλῆς, ἢ τὸν Δαρεῖον, ὡς ὁ Μακεδὼν Ἀλέξανδρος. Εἰ σμικρὰ τὰς βίβλους ἀνελίττων ἐμελέτας, ὥσπερ ἡμεῖς οἱ πολιτικοὶ καὶ πολυπράγμονες, ἔγνως ἂν ὅπως Ἀλέξαν-
25 δρος ἀγασθῆναι λέγεται τὴν Διογένους μεγαλοψυχί|αν· ἀλλ' οὐκ C

19 cf. Plat. Rep. III 404d (Συρακοσίαν … τράπεζαν καὶ Σικελικὴν ποικιλίαν ὄψου), Ep. 7 p. 326b (Συρακουσίων τραπεζῶν), Ath. I 25e (τὰς Σικελικὰς καὶ Συβαριτικὰς τραπέζας), Max. Tyr. Dial. 32,3b (τράπεζαι Σικελικαί), Diogen. Paroem. I 2. VIII 7

1 οἱ πολλοί del. Hertlein, ante ἐν ἀγορᾷ transp. Petavius in mg., ante λέγουσιν Prato ‖ **11** οὓς Hertlein: ὡς V ‖ **16** φιλοπονία Petavius in mg.: -ίας V | ἀνήρ Hertlein: ἀν- V ‖ **18** ἥδιον Spanheim (ἡδίον Petavius): ἡδίων V **19** θερμῷ V: ψυχρῷ Naber, immo iam Arnoldt (1880) ‖ **20** σύ add. Hertlein

ἔστι σοι τούτων οὐθέν, ὡς ἐμοὶ δοκεῖ, σπουδαῖον. Πόθεν; Πολλοῦ γε καὶ δεῖ· γυναικῶν ἀθλίων τεθαύμακας φιλόνεκρον βίον.

Εἰ μὲν οὖν ὁ λόγος τι πλέον ἐποίησεν, οὐκ ἐμὸν μᾶλλον ἢ σόν ἐστι κέρδος· εἰ δὲ μηδὲν περαίνομεν ἐκ τοῦ παραχρῆμα περὶ τῶν τοιούτων ἂν *ἀπνευστί*, τὸ δὴ λεγόμενον, *συνείραντες* – ἔστι γὰρ 5 πάρεργον ἡμέραιν δυοῖν, ὡς ἴσασιν αἱ Μοῦσαι, μᾶλλον δὲ καὶ αὐτὸς ⟨***⟩ ὁπόσα πρόσθεν ἐγνώκεις, ἡμῖν δὲ οὐ μεταμελήσει τῆς εἰς τὸν ἄνδρα εὐφημίας.

1–2 cf. Dem. or. 18,47 (πόθεν; πολλοῦ γε καὶ δεῖ) ‖ **5** cf. Dem. or. 18,308 (συνειλοχὼς ῥήματα καὶ λόγους συνείρει τούτους σαφῶς καὶ ἀπνευστεί)

1 πόθεν Hertlein: ποθὲν V ‖ **2** φιλόνεκρον Russell (φιλονέκρων iam Asmus[5], cum Asmus[1] legere voluisset γυναικῶν ἀθλίων τεθαύμακας σὺ τὸν νεκρὸν θεόν): φιλῶν νεκρόν V: φιλονεικῶν Hertlein: φιλόμυρον Friederich: φιλόναβρον Platt ‖ **3** ἢ σὸν vet. vulg.: ἡσσὸν (prius σ evanidum, ut videtur) V, ἧττον U ‖ **4** μηδὲν Hertlein: οὐδὲ V: οὐδὲν Petavius in mg. ‖ **5** τοιούτων V: „malim τοσούτων" Hertlein in app. | ἂν del. Reiske, de καὶ pro ἂν ponendo cog. Hertlein 1850 ‖ **7** lacunam post αὐτὸς indicat Hertlein: μᾶλλον δὲ καὶ ⟨σὺ⟩ αὐτός⟨· παραμενέτω μέν σοι,⟩ ὁπόσα κτλ. Reiske: αὐτὸς ⟨ὁ λόγιος Ἑρμῆς⟩ Asmus[1]

Ἰουλιανοῦ Αὐτοκράτορος Συμπόσιον ἢ Κρόνια

[1] Ἐπειδὴ δίδωσιν ὁ θεὸς παίζειν (ἔστι γὰρ Κρόνια), γελοῖον δὲ οὐδὲν οὐδὲ τερπνὸν οἶδα ἐγώ, τὸ μὴ καταγέλαστα φράσαι φροντίδος ἔοικεν εἶναι ἄξιον, ὦ φιλότης. 306A

— Εἶτα τίς οὕτω παχύς ἐστι καὶ ἀρχαῖος, ὦ Καῖσαρ, ὥστε καὶ 5 παίζειν πεφροντισμένα; ἐγὼ ᾤμην τὴν παιδιὰν ἄνεσίν τε εἶναι ψυχῆς καὶ ἀπαλλαγὴν | τῶν φροντίδων. B

— Ὀρθῶς γε σὺ τοῦτο ὑπολαμβάνων· ἐμοὶ δὲ οὐ ταύτῃ ἔοικεν ἀπαντᾶν τὸ χρῆμα. Πέφυκα γὰρ οὐδαμῶς ἐπιτήδειος οὔτε σκώπτειν οὔτε παρῳδεῖν οὔτε γελοιάζειν. Ἐπεὶ δὲ χρὴ τῷ νόμῳ 10 πείθεσθαι τοῦ θεοῦ, βούλει σοι ἐν παιδιᾶς μέρει μῦθον διεξέλθω πολλὰ ἴσως ἔχοντα ἀκοῆς ἄξια;

— Λέγοις ἂν καὶ μάλα ἀσμένῳ, ἐπεὶ καὶ αὐτὸς οὐκ ἀτιμάζω τοὺς μύθους οὐδὲ παντάπασιν | ἐξελαύνω τοὺς ὀρθῶς ἔχοντας, C ἀκόλουθα σοί τε καὶ φίλῳ τῷ σῷ, μᾶλλον δὲ τῷ κοινῷ, Πλάτωνι 15 διανοούμενος, ἐπεὶ καὶ αὐτῷ πολλὰ ἐν μύθοις ἐσπούδασται.

— Λέγεις ναὶ μὰ Δία ταῦτα ἀληθῆ.

— Τίς δὲ καὶ ποδαπὸς ὁ μῦθος;

— Οὐ τῶν παλαιῶν τις ὁποίους Αἴσωπος ἐποίησεν, ἀλλ᾽ εἴτε πλάσμα λέ|γοις Ἑρμοῦ (πεπυσμένος γὰρ αὐτὸν ἐκεῖθέν σοι 307A 20 φράσω), εἴτε καὶ τἀληθὲς οὕτως ἔχει, εἴτε μίξις τίς ἐστιν ἀμφοῖν, ἀληθοῦς καὶ ψεύδους, αὐτὸ ἐπιδείξει τὸ πρᾶγμα.

tit. τοῦ θεοστυγοῦς Ἰουλιανοῦ A² ‖ **2** τὸ VM: τοῦ A² ‖ **3** ἔοικεν εἶναι ἄξιον VA²: εἶν. ἄξ. ἔ. M ‖ **5** ἐγὼ VA²: ἐγὼ δὲ M ‖ **6** ψυχῆς om. A² | ἀπαλλαγὴν VM: ἀνάπαυσιν A² ‖ **7–8** ἐμοὶ δὲ – ἀπαντᾶν VM: ἀλλ᾽ ἐμοὶ δὲ τοὐναντίον A² ‖ **12** ἀσμένῳ Cunaeus: -ως codd. ‖ **13** ἐξελαύνω τοὺς aegre legitur in V **14** σοί τε VM: σύ γε A² | φίλῳ Reiske: -α VM: -ει A² ‖ **14–15** Πλάτωνι διανοούμενος MA²: Πλ..ωνι ....οούμ... V ‖ **15** πολλὰ ἐν μύθοις VA²: ἐν μ. π. M ‖ **17** ποδαπὸς VM: ποτ- A² ‖ **19** λέγοις VA²: -εις M | πεπυσμένος VA²: -ως M ‖ **20** φράσω MA²: φρα.. V (macula insequente) | καὶ om. A² **20–21** ἀμφοῖν ἀληθοῦς καὶ ψεύδους (ψευδοῦς M) MA²: ἀληθείας ἀμφοῖν καὶ ψεύδους V: ἀληθοῦς καὶ ψεύδους del. Cobet ‖ **21** ἐπιδείξει MA²: ...δείξει V (macula praecedente): σοι δείξει Hemsterhusius, φασί, δείξει Cobet, lacunam ante δείξει ind. Hertlein

— Τουτὶ μὲν οὖν ἤδη μυθικῶς ἅμα καὶ ῥητορικῶς ἐξείργασταί σοι τὸ προοίμιον· ἀλλά μοι τὸν λόγον αὐτόν, ὁποῖός ποτέ ἐστιν, ἤδη διέξελθε.

[2] — Μανθάνοις ἄν.

Θύων ὁ Ῥωμύλος τὰ Κρόνια πάντας ἐκάλει τοὺς θεούς, καὶ δὴ 5
B καὶ | αὐτοὺς τοὺς Καίσαρας. Κλῖναι δὲ ἐτύγχανον παρεσκευασμέναι τοῖς μὲν θεοῖς ἄνω κατ' αὐτό, φασίν, οὐρανοῦ τὸ μετέωρον, *Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεί.* λέγεται γὰρ μεθ' Ἡρακλέα παρελθεῖν ἐκεῖσε καὶ ὁ Κυρῖνος, ᾧ δὴ χρὴ καλεῖν αὐτὸν
C ὀνόματι, τῇ θείᾳ πειθομένους φήμῃ. Τοῖς μὲν οὖν θεοῖς | ἐκεῖσε 10 παρεσκεύαστο τὸ συμπόσιον· ὑπ' αὐτὴν δὲ τὴν σελήνην ἐπὶ μετεώρου τοῦ ἀέρος ἐδέδοκτο τοὺς Καίσαρας δειπνεῖν. Ἀνεῖχε δὲ αὐτοὺς ἥ τε τῶν σωμάτων κουφότης, ἅπερ ἐτύγχανον ἠμφιεσμένοι, καὶ ἡ περιφορὰ τῆς σελήνης.

Κλῖναι μὲν οὖν ἔκειντο τέτταρες εὐτρεπεῖς τοῖς μεγίστοις 15 θεοῖς. Ἐβένου μὲν ἦν ἡ τοῦ Κρόνου στιλβούσης καὶ πολλὴν ἐν τῷ
D μέλανι καὶ θείαν αὐγὴν κρυπτού|σης, ὥστε οὐθεὶς οἷός τε ἦν ἀντιβλέπειν. Ἔπασχε δὲ ταὐτὸ πρὸς τὴν ἔβενον ἐκείνην τὰ ὄμματα δι' ὑπερβολὴν τῆς λαμπηδόνος, ὅπερ οἶμαι πρὸς ἥλιον, ὅταν αὐτοῦ τῷ δίσκῳ τις ἀτενέστερον προσβλέπῃ. Ἡ δὲ τοῦ Διὸς 20 ἦν ἀργύρου μὲν στιλπνοτέρα, χρυσίου δὲ λευκοτέρα· τοῦτο εἴτε ἤλεκτρον χρὴ καλεῖν εἴτε ἄλλο τι λέγειν οὐ σφόδρα εἶχέ μοι

8 Hom. ζ 42

16–17 Ἐβένου — χρύπτουσα [sic] exstat in Exc. fol. 327v, l. 11s.

1 μὲν οὖν VM: γὰρ A² | ἐξείργασταί MA²: ἐξείργα.... V (macula insequente) ‖ **2** ἀλλά μοι V: ἀλλ' εὖ μοι MA² ‖ **8** Οὔλυμπόνδ', ὅθι V: -πόν δ' ὅ M: -πόν δ' ἴθι A² ‖ **10** πειθομένους VM: -όμενος A² ‖ **13** ἅπερ M: ἅτεπερ V: ὥσπερ A² ‖ **15** εὐτρεπεῖς V: εὔπρ- MA² ‖ **16** ἐβένου MA² Exc.: ἐβένν- V (etiam duabus lineis infra) | μὲν ἦν VExc.: μὲν A²: μὲν οὖν M (ἦν supra lin.): μὲν οὖν ἦν vet. vulg. | ἡ om. Exc. | κλίνη post Κρόνου add. Exc. | στίλβουσα Exc. **17** κρύπτουσα Exc. | οἷός τε VA²: οἷόν τε M ‖ **18** ταὐτὸ Hemsterhusius: τοῦτο codd. | πρὸς om. A² ‖ **22** εἶχέ VM: τί A²

γνωρίμως ὁ Ἑρμῆς φράσαι. Χρυσοθρόνω δὲ παρ' ἑκάτε|ρον ἐκαθι- 308A
ζέτην ἥ τε μήτηρ καὶ ἡ θυγάτηρ, Ἥρα μὲν παρὰ τὸν Δία, Ῥέα δὲ
παρὰ τὸν Κρόνον.

Τὸ δὲ τῶν θεῶν κάλλος οὐδὲ ἐκεῖνος ἐπεξῄει τῷ λόγῳ, μεῖζον
5 εἶναι λέγων αὐτὸ καὶ νῷ θεατόν, ἀκοῇ δὲ καὶ ῥήμασιν οὔτε προοι-
σθῆναι ῥᾴδιον οὔτε παραδεχθῆναι δυνατόν. Οὐχ οὕτω τις ἔσται
καὶ φανεῖται μεγαλόφωνος, ὥστε τὸ μέγεθος ἐκεῖνο φράσαι τοῦ
κάλλους, ὁπόσον ἐπιπρέπει τῇ τῶν θεῶν ὄψει. |

Παρεσκεύαστο δὲ καὶ τοῖς ἄλλοις θεοῖς ἑκάστῳ θρόνος ἢ B
10 κλίνη κατὰ πρεσβείαν. Ἤριζε δὲ οὐθείς, ἀλλ' ὅπερ Ὅμηρος
ὀρθῶς ποιῶν ἔφη, δοκεῖν μοι παρὰ τῶν Μουσῶν αὐτῶν ἀκηκοώς,
ἔχειν ἕκαστον τῶν θεῶν θρόνον, ἐφ' οὗ πάντως αὐτῷ θέμις
καθῆσθαι στερεῶς καὶ ἀμετακινήτως· ἐπεὶ καὶ πρὸς τὴν παρου-
σίαν τοῦ πατρὸς ἐξανιστάμενοι ταράττουσιν οὐδαμῶς τὰς
15 καθέδρας οὐδὲ μεταβαίνουσιν οὐδὲ ὑ|φαρπάζουσιν ἀλλήλων, C
γνωρίζει δὲ ἕκαστος τὸ προσῆκον αὐτῷ.

[3] Πάντων οὖν κύκλῳ τῶν θεῶν καθημένων, ὁ Σειληνός,
ἐρωτικῶς ἔχειν μοι δοκῶν τοῦ Διονύσου καλοῦ καὶ νέου καὶ τῷ

12–13 cf. Hom. A 533s. (θεοὶ δ' ἅμα πάντες ἀνέσταν / ἐξ ἑδέων σφοῦ πατρὸς ἐναντίον), Λ 76–78 (θεοί … / σφοῖσιν ἐνὶ μεγάροισι καθήατο, ἧχι ἑκάστῳ / δώματα καλὰ τέτυκτο κατὰ πτύχας Οὐλύμποιο), A 606–608; fortasse iterum etiam ad θεῶν ἕδος ἀσφαλὲς αἰεί (Hom. ζ 42) alludit

1 γνωρίμως MA²: -ω V: ἐκ τῶν μεταλλευομένων post γνωρίμω(ς) add. VM, post οὐ σφόδρα transp. vet. vulg., ut glossam (iam ab Hemsterhusio suspectam) secl. Hertlein | χρυσοθρόνω MA²: χρυσῶ θρόνω V (iota subscr., ut solet, omisso) ‖ **1–2** ἐκαθιζέτην vet. vulg.: ἐκαθέζετον VM: ἐκαθΐζετον (ϊ ex ε) A²: ἐκαθεζέσθην Hertlein in app. ‖ **5** αὐτὸ VA²: -τῶ M | μόνῳ post νῷ add. Asmus¹ ‖ **5–6** προοισθῆναι VM (forma inusitata, sed cf. Did. Caec. Trin. II 5,27 τὴν μονάδα καὶ ἀσύγκριτον φύσιν, …, ἀκοῇ δὲ καὶ ῥήμασιν οὔτε προοισθῆναι ἀνεχομένην): προσεῖναι A²: προσιέναι Cantoclarus **6** παραδεχθῆναι VM: -δειχθ- A² ‖ **7** καὶ φανεῖται VM: κἂν ἐπαινῆται A² ἐκεῖνο codd.: ἐκείνου Reiske ‖ **8** ἐπιπρέπει VM: ἐπιτρ- A² | τῇ … ὄψει M: τῆς … ὄψεως VA² (τῆς in V non bene legitur) ‖ **10** ὅπερ VM: ὥσπερ A² **11** δοκεῖν Cobet: -εῖ codd. ‖ **12** θρόνον in V legi non potest (lacuna in U) πάντως αὐτῷ θέμις VA²: θ. π. α. M ‖ **13** πρὸς τὴν MA²: π....... V (πρὸ...... U) ‖ **15** μεταβαίνουσιν codd.: -βάλλουσιν Guenther | ἀλλήλων VM: ὑπ' ἀλλ. A² ‖ **16** δὲ in V legi non potest (lacuna in U) ‖ **17** κύκλῳ τῶν θεῶν VM: τ. θ. κ. A² ‖ **18** δοκῶν om. A² | ὄντος post Διονύσου (-σίου A²) add. van Groningen

πατρὶ τῷ Διὶ παραπλησίου, πλησίον αὐτοῦ – τροφεύς τις οἷα καὶ παιδαγωγός – καθῆστο, τά τε ἄλλα φιλοπαίγμονα καὶ φιλόγελων
D καὶ χαρι|δότην ὄντα τὸν θεὸν εὐφραίνων καὶ δὴ καὶ τῷ σκώπτειν τὰ πολλὰ καὶ γελοιάζειν.

[4] Ὡς δὲ καὶ τὸ τῶν Καισάρων συνεκεκρότητο συμπόσιον, 5 εἰσῄει πρῶτος Ἰούλιος Καῖσαρ, ὑπὸ φιλοτιμίας αὐτῷ βουλόμενος ἐρίσαι τῷ Διὶ περὶ τῆς μοναρχίας· εἰς ὃν ὁ Σειληνὸς βλέψας „Ὅρα“ εἶπεν „ὦ Ζεῦ, μή σε ὁ ἀνὴρ οὗτος ὑπὸ φιλαρχίας ἀφελέσθαι καὶ τὴν βασιλείαν διανοηθείη. Καὶ γάρ, ὡς ὁρᾷς, ἐστὶ μέγας
309A καὶ καλός· ἐμοὶ γοῦν, εἰ | καὶ μηθὲν ἄλλο, τὰ γοῦν περὶ τὴν 10 κεφαλήν ἐστι προσόμοιος.“

Παίζοντος ἔτι τοιαῦτα τοῦ Σειληνοῦ καὶ τῶν θεῶν οὐ σφόδρα προσεχόντων αὐτῷ, Ὀκταβιανὸς ἐπεισέρχεται, πολλὰ ἀμείβων ὥσπερ οἱ χαμαιλέοντες χρώματα καὶ νῦν μὲν ὠχριῶν, αὖθις δὲ ἐρυθρὸς γινόμενος, εἶτα μέλας καὶ ζοφώδης καὶ συννεφής, ἀνίετο 15
B δ’ αὖθις πρὸς Ἀφροδίτην καὶ Χά|ριτας, εἶναί τε ἤθελε τὰς βολὰς τῶν ὀμμάτων ὁποῖός ἐστιν ὁ μέγας Ἥλιος· οὐδένα γάρ οἱ τῶν πάντων ἀντιβλέπειν ἠξίου. Καὶ ὁ Σειληνός „Βαβαί“ ἔφη „τοῦ παντοδαποῦ τούτου θηρίου· τί ποτε ἄρα δεινὸν ἡμᾶς ἐργάσεται;“ „Παῦσαι“ εἶπε „ληρῶν“ ὁ Ἀπόλλων· „ἐγὼ γὰρ αὐτὸν τούτῳ 20 Ζήνωνι παραδοὺς αὐτίκα ὑμῖν ἀποφανῶ χρυσὸν ἀκήρατον. Ἀλλὰ
C ἴθι“ εἶπεν „ὦ | Ζήνων, ἐπιμελήθητι τοῦ ’μοῦ θρέμματος.“ Ὁ δὲ ὑπακούσας, εἶτα ἐπᾴσας αὐτῷ μικρὰ τῶν δογμάτων, ὥσπερ οἱ

13–15 πολλὰ — συνεφής [sic] exstat in Exc. fol. 327v., l. 12s.

1 τῷ om. A² ‖ **3** χαριδότην VA²: χαριτοδότην M (cf. In Solem 29 infra p. 161,13: χαριδότης … ὁ Διόνυσος) ‖ **5** συνεκεκρότητο Hertlein in app.: συνεκροτεῖτο codd. ‖ **6** πρῶτος VM: -ον (corr. ν ex ς) A² ‖ **8** μή σε VA²: μή τι σε M ‖ **9** διανοηθείη codd. (def. Boulenger² p. 60; v. praef. p. XXVI): -θῇ Sylburg ‖ **12** τοιαῦτα VM: δὲ ταῦτα A² ‖ **13** προσεχόντων VA²: προσχόντων M | Ὀκταβιανὸς VA²: ὁ καταβιανὸς M ‖ **15** γινόμενος VMExc.: γεν- A² συνν- M: συν- VA²Exc. ‖ **16** δ’ om. A² | πρὸς MA²: εἰς V | χάριτας VA²: -ριν M | τε ἤθελε VM: ἤ. τε A² ‖ **17** usque ad ὀμμάτων A², inde incipit A **18** πάντων codd.: ἀπαντώντων Spanheim 1683 | καὶ — βαβαί aegre leguntur in A ‖ **20** τούτῳ codd.: τουτῳί Cobet ‖ **22** τοῦ ’μοῦ AV: τοὐμοῦ M **23** ὑπακούσας evanidum in V (lac. in U): ὑπ..ού… A: ἐπακούσας M

τὰς Ζαμόλξιδος ἐπῳδὰς θρυλλοῦντες, ἀπέφηνεν ἄνδρα ἔμφρονα καὶ σώφρονα.

[5] Τρίτος ἐπεισέδραμεν αὐτοῖς Τιβέριος, σεμνὸς τὰ πρόσωπα καὶ βλοσυρός, σῶφρόν τε ἅμα καὶ πολεμικὸν βλέπων.
5 Ἐπιστραφέντος δὲ πρὸς τὴν καθέδραν, ὤφθησαν ὠτειλαὶ κατὰ τὸν νῶτον μυρίαι, καυτῆρές τινες καὶ ξέσματα καὶ πληγαὶ χαλεπαὶ καὶ μώλωπες | ὑπό τε ἀκολασίας καὶ ὠμότητος ψῶραί τινες καὶ D λειχῆνες οἷον ἐγκεκαυμέναι. Εἶθ᾽ ὁ Σειληνός „*Ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἢ τὸ πάροιθεν*“ εἰπὼν ἔδοξεν αὐτοῦ φαίνεσθαι σπουδαι-
10 ότερος. Καὶ ὁ Διόνυσος πρὸς αὐτόν „Τί δῆτα“ εἶπεν „ὦ παππίδιον, σπουδάζεις;“ καὶ ὅς „Ἐξέπληξέ με ὁ γέρων οὑτοσί, ὁ Σάτυρος“ ἔφη „καὶ πεποίηκεν ἐκλαθόμενον ἐμαυτοῦ τὰς | Ὁμηρικὰς 310A προβαλέσθαι Μούσας.“ „Ἀλλά σε“ εἶπεν „ἕλξει τῶν ὤτων· λέγεται γὰρ αὐτὸς καὶ γραμματιστήν τινα τοῦτο ἐργάσασθαι.“
15 „Οἰμώζων μὲν οὖν“ εἶπεν „ἐν τῷ νησυδρίῳ (τὰς Καπρέας αἰνιττόμενος) τὸν ἄθλιον ἁλιέα ψηχέτω.“

[6] Ταῦτα ἔτι παιζόντων αὐτῶν ἐπεισέρχεται θηρίον πονηρόν. Εἶτα οἱ θεοὶ πάντες ἀπέστρεψαν τὰ ὄμματα, κᾆτα αὐτὸν δίδωσιν ἡ Δίκη ταῖς Ποιναῖς, αἱ δὲ ἔρρι|ψαν εἰς Τάρταρον. Οὐθὲν οὖν B
20 ἔσχεν ὁ Σειληνὸς ὑπὲρ αὐτοῦ φράσαι.

8–9 Hom. π 181 (ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν) ‖ **16** ad rem cf. Suet. Tib. 60

3–4 ὁ [sic] Τιβέριος — βλέπων exstat in Exc. fol. 327v, l. 14s.

1 Ζαμόλξιδος VM: Ζαλμόξ- A | θρυλλ- VM: θρυλ- A | αὐτὸν vel τὸν post ἀπέφηνεν add. van Groningen ‖ **3** ὁ ante Τιβέριος add. Exc. | σεμνὸς macula obrutum in V (lac. in U) ‖ **4** σῶφρον MA: σώφρων V **5** ἐπιστραφέντος MA: ...στραφέντος V (macula praecedente; ....φέντος U) **5–6** τὸν νῶτον VA: τῶν νώτων M ‖ **6** καυτῆρες MA: macula in V (lac. in U) **8** λειχῆνες VM: λιχ- A | ἀλλοῖός μοι A: ἀλλ᾽ οἷός μοι V: ἀλλ᾽ οἴμοι M ξεῖνε VM: ξένε A ‖ **9** ἢ τὸ codd.: ἠὲ Hom. | αὑτοῦ vet. vulg.: αὐ- codd.: αὐτὸς Cantoclarus 1583: ⟨αὐτὸς⟩ αὑτοῦ Sylburg ‖ **10** εἶπεν om. A ‖ **11** οὑτοσί VM: -ίν A ‖ **13** προβαλέσθαι V: -βαλλέ - M: -βάλλε- A ‖ **14** αὐτὸς M: αὖ VA: del. Klimek ‖ **15** τῷ νησυδρίῳ VM: μονῇ συνεδρίῳ A ‖ **15–16** τὰς — αἰνιττόμενος del. Asmus[1] ‖ **15** Καπρέας VA: -αίας M ‖ **15–16** αἰνιττόμενος VM: αἰνισσ- A ‖ τὰς — αἰνιττόμενος ut glossema del. Asmus[1] ‖ **16** ψηχέτω M: ψυ- A: ψω- V ‖ **18** αὐτὸν codd.: -τὸ Klimek ‖ **18–19** δίδωσιν ἡ Δίκη V: ἡ Δ. δίδωσι MA

Τοῦ Κλαυδίου δὲ ἐπεισελθόντος ὁ Σειληνὸς ἄρχεται τοὺς Ἀριστοφάνους Ἱππέας ᾄδειν, ἀντὶ τοῦ Δήμου κολακεύων δῆθεν τὸν Κλαύδιον. Εἶτα πρὸς τὸν Κυρῖνον ἀπιδών „Ἀδικεῖς“ εἶπεν „ὦ Κυρῖνε, τὸν ἀπόγονον ἄγων εἰς τὸ συμπόσιον δίχα τῶν ἀπελευθέρων Ναρκίσσου καὶ Πάλλαντος. Ἀλλ' ἴθι“ εἶπε „πέμψον ἐπ' 5
C ἐκείνους, εἰ βούλει δέ, καὶ ⟨ἐπὶ⟩ τὴν γαμετὴν Μεσσα|λίναν. Ἔστι γὰρ ἐκείνων δίχα τουτὶ τῆς τραγῳδίας τι δορυφόρημα, μικροῦ δέω φάναι, καὶ ἄψυχον.“

Ἐπεισέρχεται λέγοντι τῷ Σειληνῷ Νέρων μετὰ τῆς κιθάρας καὶ τῆς δάφνης. Εἶτα ἀποβλέψας ἐκεῖνος πρὸς τὸν Ἀπόλλωνα 10 „Οὗτος“ εἶπεν „ἐπὶ σὲ παρασκευάζεται.“ Καὶ ὁ βασιλεὺς Ἀπόλλων „Ἀλλ' ἔγωγε αὐτόν“ εἶπεν „ἀποστεφανώσω ταχέως, ὅτι με
D μὴ | πάντα μιμεῖται μηδὲ ἐν οἷς με μιμεῖται γίγνεταί μου μιμητὴς δίκαιος.“ Ἀποστεφανωθέντα δὲ αὐτὸν ὁ Κωκυτὸς εὐθέως ἥρπασεν. 15

[7] Ἐπὶ τούτῳ πολλοὶ καὶ παντοδαποὶ συνέτρεχον, Βίνδικες, Γάλβαι, Ὄθωνες, Βιτέλλιοι. Καὶ ὁ Σειληνός „Τούτων“ εἶπε „τῶν μονάρχων τὸν δῆμον πόθεν ἐξεύρατε, ὦ θεοί; τυφόμεθα γοῦν ὑπὸ τοῦ καπνοῦ· φείδεται γὰρ οὐδὲ τῶν ἀνακτόρων ταυτὶ τὰ θηρία.“
311A Καὶ ὁ Ζεὺς ἀπιδὼν πρὸς τὸν | ἀδελφὸν αὐτοῦ Σάραπιν καὶ τὸν 20

2 hic locus spectat ad Ar. Eq. 1111–1120 (Ὦ Δῆμε, καλήν γ' ἔχεις ἀρχήν κτλ.)

2 Δήμου Cobet: δ- codd.: Δημοσθένους perperam Spanheim post. D. Heinsium (de sat. Horat. p. 34), Δήμου optime explicavit Hemsterhusius 1825, 276–280 ‖ **4** τὸν om. M ‖ **5** Ναρκίσσ- VA: Ναρκίσ- M | Πάλλαντος VM: Παλλάν- A ‖ **6** ἐπὶ suppl. Cobet | Μεσσαλίναν VA: Μασσ- M: τὴν Μεσσ. Cobet ‖ **7** ἐκείνων δίχα VA: δ. ἐκ. M | τι δορυφόρημα scripsi (duce Cantoclaro qui vertit: „videtur hic ... quoddam tragicum satellitium ...“): τὸ δορ. codd. ‖ **7–8** μικροῦ δέω φάναι codd.: μικροῦ δεῖ ἄφωνον Cantoclarus in adn. ‖ **13** με om. M | γίγνεται VM: γίν- A ‖ **14** ἀποστεφανωθέντα codd.: -νούμενον edd. ante Spanhemium (sed iam Cantoclarus 1583 de ἀποστεφανωθέντα cog.) ‖ **16** συνέτρεχον MU (συνέ...... V): -έδραμον A Βίνδικες MA: macula in V (.....κες U) ‖ **17** Γάλβαι MA: Χ- V (sed γ supra χ scripto) | Βιτέλλ- A: Βιτέλ- VM ‖ **18** μονάρχων τόν MA: macula in V (lac. in U) | τὸν δῆμον codd.: τὸ σμῆνος Hertlein in app. | ἐξεύρατε codd.: -ετε Cobet: -ήκατε Hertlein (v. praef. XXVII) | τυφόμεθα VM: -ούμεθα A **19** τοῦ καπνοῦ MA: macula in V (lac. in U) | φείδεται γὰρ MA: ...δεται γὰρ aegre legitur in V (lac. in U) | ἀνακτόρων VA: ἀναγκαιοτέρων M ‖ **20** ὁ Ζεὺς VA: ὀξὺς M | αὐτοῦ vet. vulg.: αὐ- codd.

Οὐεσπασιανὸν δείξας „Πέμπε“ εἶπε „τὸν Σμικρίνην τοῦτον ἀπὸ τῆς Αἰγύπτου ταχέως, ἵνα τὴν φλόγα ταύτην κατασβέσῃ· τῶν παίδων δὲ τὸν πρεσβύτερον μὲν παίζειν κέλευε μετὰ τῆς Ἀφροδίτης τῆς πανδήμου, τὸν νεώτερον δὲ τῷ Σικελικῷ θηρίῳ παραπλη-
5 σίως κλοιῷ δῆσον.“

[8] Παρῆλθεν ἐπὶ τούτοις γέρων ὀφθῆναι καλὸς – λάμπει γὰρ ἔστιν ὅτε καὶ ἐν τῷ γήρᾳ τὸ κάλλος –, ἐντυχεῖν πρᾳότατος, | B χρηματίσαι δικαιότατος. Ἠιδέσθη τοῦτον ὁ Σειληνὸς καὶ ἀπεσιώπησεν. Εἶτα ὁ Ἑρμῆς „Ὑπὲρ δὲ τούτου“ εἶπεν „οὐθὲν ἡμῖν
10 λέγεις;“ „Ναὶ μὰ Δί’“ ἔφη „μέμφομαί γε ὑμῖν τῆς ἀνισότητος. Τῷ γὰρ φονικῷ θηρίῳ τρὶς πέντε νείμαντες ἐνιαυτούς, ἕνα μόλις ἐδώκατε τούτῳ βασιλεῦσαι.“ „Ἀλλὰ μὴ μέμφου“ εἶπεν ὁ Ζεύς· „εἰσάξω γὰρ ἐπὶ τούτῳ πολλοὺς καὶ ἀ|γαθούς.“ C

Εὐθέως οὖν ὁ Τραϊανὸς εἰσήρχετο φέρων ἐπὶ τῶν ὤμων τὰ
15 τρόπαια, τό τε Γετικὸν καὶ ⟨τὸ⟩ Παρθικόν. Ἰδὼν δὲ αὐτὸν ὁ Σειληνὸς ἔφη, λανθάνειν τε ἅμα καὶ ἀκούεσθαι βουλόμενος· „Ὥρα νῦν τῷ δεσπότῃ Διὶ σκοπεῖν, ὅπως ὁ Γανυμήδης αὐτῷ φρουρήσεται.“

Μετὰ τοῦτον ἐπεισέρχεται βαθεῖαν ἔχων τὴν ὑπήνην ἀνὴρ
20 σοβαρὸς τά τε ἄλλα καὶ δὴ καὶ μου|σικὴν ἐργαζόμενος, εἴς τε τὸν D οὐρανὸν ἀφορῶν πολλάκις καὶ πολυπραγμονῶν τὰ ἀπόρρητα. Τοῦτον δὲ ἰδὼν ὁ Σειληνὸς ἔφη· „Τί δὲ ὑμῖν οὗτος ὁ σοφιστὴς δοκεῖ; μῶν Ἀντίνοον τῆδε περισκοπεῖ; φρασάτω τις αὐτῷ μὴ

6–7 λάμπει – κάλλος exstat in Exc.fol. 319r, l. 8s. ‖ **19–21** Μετὰ δὲ [sic] τοῦτον – ἀπόρρητα exstat in Exc. fol. 327v., l.15s. (sed valde breviata) **20–21** cf. Suda π 858 in fine: ἐλέγετο εἰς τὸν οὐρανὸν ἀφορᾶν Ἀδριανός

1 Οὐεσπασιανόν VA: βεσπεσ- M | τὸν σμικρίνην MA: τὸ..μικρί... V (lac. in U): τὸν σμικρῖνον edd. ante Spanhemium ‖ **2** κατασβέσῃ M: -σαι A: κατα....η V (κατα...... U) ‖ **3–4** μετὰ τῆς Ἀφροδίτης VM: μετ’ Ἀφρ. A ‖ **5** κλοιῷ δῆσον V: κλοιώδησον A: κλοιόδικον M ‖ **7** τῷ om. Exc. ‖ **8** ᾐδέσθη codd.: ἠδ- vet. vulg. | τοῦτον codd.: -ῳ Cunaeus ‖ **10** γε VM: σε A | ὑμῖν VA: -ᾶς M ‖ **11** φονικῷ MA: φοιν- V ‖ **13** εἰσάξω MA: εἰτ- V: ἐπ- Cobet | καὶ ἀγαθούς VA: κἀγαθ- M ‖ **15** τό τε Γετικὸν καὶ Παρθικόν VA (Παρθενικόν A, θικον suprascr. A[2]): τό τε Π. καὶ Γ. M | τὸ add. Cobet (cf. infra 28 p. 130,9 ἐπεδείκνυεν ... τό τε Γετικὸν καὶ τὸ Παρθικὸν τρόπαιον, iterum de Traiano) **17** γαννυμ- codd. ‖ **19** δὲ post μετὰ add. Exc. ‖ **20–21** τά τε ἄλλα – πολλάκις om. Exc. ‖ **22** δὲ[1] M: δὴ V: om. A ‖ **23** Ἀντίνοον VM: -νον A

παρεῖναι τὸ μειράκιον ἐνθαδὶ καὶ παυσάτω τοῦ λήρου καὶ τῆς φλυαρίας αὐτόν."

[9] Ἐπὶ τούτοις ἀνὴρ εἰσέρχεται σώφρων, οὐ τὰ ἐς Ἀφροδίτην,
312A | ἀλλὰ τὰ ἐς τὴν πολιτείαν. Ἰδὼν αὐτὸν ὁ Σειληνὸς ἔφη· „Βαβαὶ τῆς σμικρολογίας· εἷς εἶναί μοι δοκεῖ τῶν διαπριόντων τὸ κύμινον 5 ὁ πρεσβύτης οὗτος."

Ἐπεισελθούσης δὲ αὐτῷ τῆς τῶν ἀδελφῶν ξυνωρίδος, Βήρου καὶ Λουκίου, δεινῶς ὁ Σειληνὸς συνεστάλη. Παίζειν γὰρ οὐκ εἶχεν οὐδὲ ἐπισκώπτειν, μάλιστα τὸν Βῆρον, καίτοι καὶ τούτου τὰ περὶ
B τὸν υἱὸν καὶ τὴν γυναῖκα πολυπραγμονῶν ἁμαρτήματα, | τὴν μὲν 10 ὅτι πλέον ἢ προσῆκεν ἐπένθησεν, ἄλλως τε οὐδὲ κοσμίαν οὖσαν, τῷ δὲ ὅτι τὴν ἀρχὴν συναπολλυμένην περιεῖδεν, καὶ ταῦτα ἔχων σπουδαῖον κηδεστήν, ὃς τῶν τε κοινῶν ἂν προέστη κρεῖττον καὶ δὴ καὶ τοῦ παιδὸς αὐτοῦ βέλτιον ἂν ἐπεμελήθη ἢ αὐτὸς {αὐτοῦ}. Καίπερ οὖν ταῦτα πολυπραγμονῶν ᾐδεῖτο τὸ μέγεθος αὐτοῦ τῆς 15
C ἀρετῆς. Τόν γε μὴν υἱέα οὐδὲ τοῦ | σκωφθῆναι νομίσας ἄξιον ἀφῆκεν· ἔπιπτε γὰρ καὶ αὐτὸς εἰς γῆν οὐ δυνάμενος ἵπτασθαι καὶ παρομαρτεῖν τοῖς ἥρωσιν.

[10] Ἐπεισέρχεται Περτίναξ ἐν τῷ συμποσίῳ τὴν σφαγὴν ὀδυρόμενος. Ἡ Δίκη δὲ αὐτὸν κατελεήσασα „Ἀλλ' οὐ χαιρήσου- 20 σιν" εἶπεν „οἱ τούτων αἴτιοι· καὶ σὺ δέ, ὦ Περτίναξ, ἠδίκεις
D κοινωνῶν τῆς ἐπιβουλῆς, ὅσον | ἐπὶ τοῖς σκέμμασιν, ἣν ὁ Μάρκου παῖς ἐπεβουλεύθη."

3–4 σώφρων — πολιτείαν exstat in Exc. fol. 319r, l. 9 et fol. 327v., l. 16s.

3 ἐς (hic et in lin. sequ.) VMExc.: εἰς A ‖ **4** τὴν ante πολιτείαν om. VExc. **5** σμικρολογίας V: μικρ- MA ‖ **8** συνεστάλη evanidum in V (lac. in U) verba παίζειν γὰρ οὐκ εἶχεν aegre leguntur in V (lac. post γάρ in U) ‖ **9** δὲ post μάλιστα add. A ‖ **10** τὸν υἱὸν MA: τὸν.... V (macula insequente; inter καίτοι καί et τὴν γυναῖκα lac. in U) ‖ **11** verba πλέον ἢ προσῆκεν aegre leguntur in V (lac. in U) ‖ **12** τῷ δὲ VM: τὸ δὲ A: τὸν δὲ Cunaeus | καὶ ταῦτα ἔχων scripsi (ἔ. κ. τ. codd.), quia Iulianus numquam alias in participii cum καὶ ταῦτα iunctura priore loco ponit participium ‖ **13** κηδεστὴν ὃς MA: aegre leguntur in V (post κη lac. in U) | προέστη codd. (cf. infra 27 p. 128,27): προὔστη Hertlein (coll. Misop. 37 infra p. 207,8) ‖ **14** αὐτοῦ[2] αὐτοῦ delevi: αὐ- vet. vulg. ‖ **17** ἵπτασθαι A: ἵστ- VM ‖ **18** παρομαρτεῖν VM: συν- A ‖ **19** ἐπεισέρχεται VM: προσέρχ- A | ἐν om. M ‖ **21** ἠδίκεις VA: ἀδικεῖς M ‖ **22** ὅσον om. V | Μάρκου VM: -κος A

Μετὰ τοῦτον ὁ Σεβῆρος, ἀνὴρ πικρίας γέμων, κολαστικός. „Ὑπὲρ τούτου δέ“ εἶπεν ὁ Σειληνός „οὐδὲν λέγω· φοβοῦμαι γὰρ αὐτοῦ τὸ λίαν ἀπηνὲς καὶ ἀπαραίτητον.“ Ὡς δὲ ἔμελλεν αὐτῷ καὶ τὰ παιδαρίδια συν⟨εισ⟩ιέναι, πόρρωθεν αὐτὰ διεκώλυσεν ὁ Μίνως·
5 ἐπιγνοὺς δὲ σαφῶς τὸν μὲν νεώτερον ἀφῆκε, τὸν δὲ πρεσβύτερον τιμωρίαν ἔπεμψε τίσον|τα. 313A

Μακρῖνος ἐνταῦθα φυγὰς μιαιφόνος, εἶτα τὸ ἐκ τῆς Ἐμέσης παιδάριον πόρρω που τῶν ἱερῶν ἀπηλαύνετο περιβόλων. Ὅ γε μὴν Σύρος Ἀλέξανδρος ἐν ἐσχάτοις που καθῆστο τὴν αὑτοῦ συμφο-
10 ρὰν ποτνιώμενος, καὶ ὁ Σειληνὸς ἐπισκώπτων αὐτὸν ἐπεῖπεν· „Ὦ μωρὲ καὶ *μέγα νήπιε*, τηλικοῦτος ὢν οὐκ αὐτὸς ἦρχες τῶν σεαυτοῦ, τὰ χρήματα δὲ ἐδίδους τῇ μητρὶ καὶ οὐκ ἐπείσθης ὅσῳ κρεῖττον ἀναλίσκειν ἦν αὐτὰ τοῖς | φίλοις ἢ θησαυρίζειν.“ – „Ἀλλ’ ἔγωγε“ B εἶπεν ἡ Δίκη „πάντας αὐτούς, ὅσοι μεταίτιοι γεγόνασι τούτων,
15 κολασθησομένους παραδώσω.“ Καὶ οὕτως ἀνείθη τὸ μειράκιον.

[11] Ἐπὶ τούτῳ παρῆλθεν εἴσω Γαλλιῆνος μετὰ τοῦ πατρός, ὁ μὲν τὰ δεσμὰ τῆς αἰχμαλωσίας ἔχων, ὁ δὲ στολῇ τε καὶ κινήσει χρώμενος μαλακωτέρᾳ ὥσπερ | αἱ γυναῖκες. Καὶ ὁ Σειληνὸς πρὸς C μὲν ἐκεῖνον „*Τίς οὗτος ὁ λευκολόφας, // πρόπαρ ὃς ἡγεῖται στρατοῦ;*“
20 ἔφη, πρὸς δὲ τὸν Γαλλιῆνον „*Ὃς καὶ χρυσὸν ἔχων* πάντῃ τρυφᾷ

11 cf. Hes. Op. 286. 633, Hdt. I 85,2 (= orac. 55 Parke/Wormell) ‖ **19** Eur. Phoen. 119s. ‖ **20–116,1** cf. Hom. B 872 (ὃς καὶ χρυσὸν ἔχων πόλεμον δ' ἴεν ἠΰτε κούρη)

14–15 ὅσοι μεταίτιοι γεγόνασι τῇ Δίκῃ παραδώσω [sic] exstat in Exc. fol. 327, l. 17

1 Σεβῆρος MA: σευ- V | κολαστικός codd.: κολαζόμενος edd. ante Spanhemium: ⟨καὶ⟩ κολαστικός Sylburg ‖ **4** παιδαρίδια codd. (corr. ex παιδάρια A): -δάρια vet. vulg. | συν⟨εισ⟩ιέναι Hertlein (cf. iam Cunaei versionem Latinam: „ut … *cum* illo et filii *ingressuri* erant“): συνιέναι codd. **7** φυγὰς VA: σοφὸς M | Ἐμέσης VM: Ἐμίσ- A ‖ **9** αὑτοῦ vet. vulg.: αὐ- codd. ‖ **10** ἐπισκώπτων VM: -σκόπτ- A | αὐτὸν VA: -ῷ M | ἐπεῖπεν codd.: εἶπεν Hertlein in app. ‖ **11** μωρὲ codd.: μῶρε Hertlein (cf. Misop. 26 infra p. 196,9) ‖ **14** εἶπε ἡ Δίκη Cantoclarus (εἶπεν Sylburg): εἶπε τῇ Δίκῃ codd. αὐτούς M: -οῦ VA ‖ **14–15** τῇ Δίκῃ pro τούτων κολασθησομένους Exc. **16** Γαλλιῆνος VA: Γαληῖνος (η fort. ex ι corr.) M (item sex lineis infra) **19** πρόπαρ ὃς V: προπάρος MA | ἡγεῖται codd.: ἀγ- Eur. ‖ **20** καὶ VA: κε M

ἠύτε κούρῃ". Τούτω δὲ ὁ Ζεὺς ὥσπερ ⟨***⟩ τῆς ἐκεῖσε θοίνης ἐξεβάτην.

D [12] Τούτοις ἐπεισέρχεται Κλαύδιος, εἰς ὃν ἀπιδόντες οἱ θεοὶ | πάντες ἠγάσθησάν τε αὐτὸν τῆς μεγαλοψυχίας καὶ ἐπένευσαν αὐτοῦ τῷ γένει τὴν ἀρχήν, δίκαιον εἶναι νομίσαντες οὕτω φιλοπά- 5 τριδος ἀνδρὸς ἐπὶ πλεῖστον εἶναι τὸ γένος ἐν ἡγεμονίᾳ.

Τούτοις ἐπεισέδραμεν Αὐρηλιανὸς ὥσπερ ἀποδιδράσκων τοὺς εἴργοντας αὐτὸν παρὰ τῷ Μίνωι· πολλαὶ γὰρ αὐτῷ συνίσταντο 314A δίκαι τῶν ἀδίκων φόνων, καὶ ἔφευγε τὰς γρα|φὰς κακῶς ἀπολογούμενος. Ἥλιος δὲ οὑμὸς δεσπότης αὐτῷ πρός τε τὰ ἄλλα 10 βοηθῶν, οὐχ ἥκιστα δὲ καὶ πρὸς τοῦτο αὐτῷ συνήρατο, φράσας ἐν τοῖς θεοῖς „Ἀλλ' ἀπέτισε τὴν δίκην, ἢ λέληθεν ἡ δοθεῖσα ⟨ἐν⟩ Δελφοῖς μαντεία 'Αἴ κε πάθοι τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο';"

[13] Τούτῳ συνεισέρχεται Πρόβος, ⟨ὃς⟩ ἑβδομήκοντα πόλεις B ἀναστήσας ἐν οὐδὲ ὅ|λοις ἐνιαυτοῖς ἑπτὰ καὶ πολλὰ πάνυ σωφρό- 15 νως οἰκονομήσας, ἄδικα δὲ πεπονθὼς ὑπὸ τῶν ἀθέων, ἐτιμᾶτο τά τε ἄλλα καὶ τῷ τοὺς φονέας αὐτῷ τὴν δίκην ἐκτῖσαι. Σκώπτειν δὲ αὐτὸν ὅμως ὁ Σειληνὸς ἐπειρᾶτο, καίτοι πολλῶν αὐτῷ σιωπᾶν παρακελευομένων. „Ἀλλ' ἐᾶτε" ἔφη „νῦν γοῦν δι' αὐτοῦ τοὺς ἑξῆς φρενωθῆναι. Οὐκ οἶσθα, ὦ Πρόβε, ὅτι τὰ πικρὰ φάρμακα μιγνύν- 20

13 Hes. fr. 286,2 M.-W. (εἴ κε πάθοι, τά τ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο)

13 cf. Suda αι 165 (Αἴ κε πάθοι τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο· χρησμὸς [orac. 598 Parke-Wormell] δοθεὶς περὶ τῶν Αὐρηλιανοῦ φόνων καὶ ἀδικιῶν)

1–2 ὥσπερ ... ἐξεβάτην codd. (ὥσ ex corr. A): εἶπε ... ἐκβῆναι vet. vulg.: ὥσπερ εἶπε, ... ἐξεβάτην Heusinger: ὥσπερ ⟨περιττὼ⟩ ... ἐξέβαλεν Sardiello: possis lacunam post ὥσπερ etiam aliter explere (e.g. Τούτω δὲ ὁ Ζεὺς, ὥσπερ ⟨ἀναξίους ὄντας τοῦ συμποσίου ἐκέλευσεν ἐκβαλεῖν καὶ οὕτως⟩ τῆς ἐκεῖσε θοίνης ἐξεβάτην) ‖ **1** ἐκεῖσε MA (ex ἐκσσε corr. A): ἐκεῖ.. V | θοίνης MA (in ras. A): .οίνη. V (...νος U) ‖ **3** ἀπιδόντες MA: ἀ...όντες V (......τες U) **8** αὐτὸν VA: -ῷ M ‖ **9** τὰς VM: πρὸς A ‖ **10** αὐτῷ om. A ‖ **11** αὐτῷ VA: -ὸ M ‖ **12** ἀπέτισε VM: ἄπερσε A (πετισε suprascr. A[2]) | ἢ λέληθεν codd.: καὶ ἐλήλυθεν edd. ante Spanhemium ‖ **12–13** ⟨ἐν⟩ Δελφοῖς edd. ante Spanhemium (cf. C. Cyn. 5 supra p. 85,10 et 8 supra p. 89,4) et fort. legitur in A: Δελφοῖς VM ‖ **13** αἴ κε VM: ἄκε A | πάθοι VA: -η M | τά κ' codd.: τά τ' Hertlein (ex Schneidewini coniectura) | δίκη δ' codd.: δίκη κ' Hertlein **14** συνεισέρχ. VM: συνέρχ. A | ὃς suppl. Sylburg ‖ **16** οἰκονομήσας VM: ἀνωκοδόμησε A | δὲ VM: μὲν A ‖ **17** τῷ M: τὸ VA ‖ **18** αὐτὸν ὅμως VA: ὅμ. αὐτ. M ‖ **19** „Ἀλλ' ἐᾶτε" ἔφη vet. vulg.: ἀλλ' „ἐᾶτε" ἔφη Hertlein

|τες οἱ ἰατροὶ τῷ μελικράτῳ προσφέρουσι; σὺ δὲ αὐστηρὸς ἦσθα C
λίαν καὶ τραχὺς ἀεὶ εἴκων τε οὐδαμοῦ· πέπονθας οὖν ἄδικα μέν,
εἰκότα δὲ ὅμως. Οὐ γάρ ἔστιν οὔτε ἵππων οὔτε βοῶν ἄρχειν οὔτε
ἡμιόνων, ἥκιστα δὲ ἀνθρώπων, μή τι καὶ τῶν κεχαρισμένων
5 αὐτοῖς ξυγχωροῦντα, ὥσπερ ἔσθ' ὅτε τοῖς ἀσθενοῦσιν οἱ ἰατροὶ
μικρὰ ἐνδιδόασιν, ἵν' ἐν τοῖς μείζοσιν ἔχωσιν αὐτοὺς πειθομένους."
| „Τί τοῦτο" εἶπεν ὁ Διόνυσος „ὦ παππία; φιλόσοφος ἡμῖν ἀνεφά- D
νης;" „Οὐ γάρ, ὦ παῖ" ἔφη „καὶ σὺ φιλόσοφος ὑπ' ἐμοῦ γέγονας;
οὐκ οἶσθα ὅτι καὶ ὁ Σωκράτης, ἐοικὼς ἐμοί, τὰ πρωτεῖα κατὰ τὴν
10 φιλοσοφίαν ἀπηνέγκατο τῶν καθ' ἑαυτὸν ἀνθρώπων, εἰ τῷ 'δελφῷ
πιστεύεις ὅτι ἐστὶν ἀψευδής; ἔα τοίνυν ἡμᾶς μὴ πάντα γελοῖα
λέγειν, ἀλλὰ καὶ | σπουδαῖα." 315A

[14] Ἔτι διαλεγομένων αὐτῶν πρὸς ἀλλήλους ὅ τε Κᾶρος ἅμα
τοῖς παισὶν εἰσφρῆσαι βουληθεὶς εἰς τὸ συμπόσιον ἀπελήλατο
15 παρὰ τῆς Δίκης, καὶ ὁ Διοκλητιανός, ἄγων μεθ' ἑαυτοῦ Μαξιμι-
ανώ τε τὼ δύο καὶ τὸν ἐμὸν πάππον Κωνστάντιον, ἐν κόσμῳ
προῆγεν. Εἴχοντο δὲ ἀλλήλων τὼ χεῖρε, καὶ ἐβάδιζον οὐκ ἐξ ἴσης,
ἀλλ' οἷα χορός τις ἦν περὶ αὐτόν, τῶν μὲν ὥσπερ δορυ|φορούντων B
καὶ προθέειν αὐτοῦ βουλομένων, τοῦ δὲ εἴργοντος· οὐδὲν γὰρ ἠξίου
20 πλεονεκτεῖν. Ὡς δὲ ξυνίει κάμνοντος ἑαυτοῦ, δοὺς αὐτοῖς ἅπαντα,
ὅσα ἔφερεν ἐπὶ τῶν ὤμων, αὐτὸς εὔλυτος ἐβάδιζεν. ἠγάσθησαν οἱ
θεοὶ τῶν ἀνδρῶν τὴν ὁμόνοιαν, καὶ ἐπέτρεψαν αὐτοῖς πρὸ πολλῶν
πάνυ καθῆσθαι.

Δεινῶς δὲ ὄντα τὸν Μαξιμιανὸν ἀκόλαστον ὁ Σειληνὸς
25 ἐπισκώπτειν μὲν οὐκ ἠξίου, τὸ | δὲ τῶν βασιλέων οὐκ εἰσεδέχετο C

3–5 Οὐ γάρ — ξυγχωροῦντα exstat in Exc. fol. 319r, l. 9-11 et fol. 327v., l. 18s.

1 μελικράτῳ VA: -τη M | ἦσθα VA: οἶσθα M ‖ **2** τε VM: δὲ A ‖ **3** ἄρχειν post ἀνθρώπων transp. Exc. ‖ **5** ξυγχ- VMExc.: συγχ- A ‖ **6** μικρὰ VA: -ὸν M ‖ **7** παππία Cobet: παπία VA: παππίδιον M ‖ **7–8** ἀνεφάνης codd.: ἀναπέφηνας Cobet ‖ **9** ἐμοί VA, ex μοι corr. M ‖ **9–10** κατὰ τὴν φιλοσοφίαν aegre legitur in V ‖ **10** ἀπηνέγκατο VM: -αστο A | τῷ 'δελφῷ V: τῷ δελφῷ MA: τἀδελφῷ Cobet ‖ **16** δύο M: -ω VA (forma δύω nusquam alibi apud Iulianum invenitur) | Κωνστάντιον MA: Κωνσταντῖνον V ‖ **17** ἐξ ἴσης VA: ἐξίσης M ‖ **19** προθέειν codd.: -θεῖν Cobet ‖ **20** ξυνίει VM: συν- A | ἅπαντα om. A ‖ **21** ὅσα codd.: ἃ edd. ante Spanhemium | ἐπὶ τῶν ὤμων VM: περὶ τὸν ὦμον A | εὔλυτος codd.: εὐαπόλυτος edd. ante Spanhemium **23** καθῆσθαι VA: - ῆσαι M

συσσίτιον· οὐ γὰρ μόνον τὰ εἰς Ἀφροδίτην ἦν παντοίαν ⟨ἀσέλγειαν⟩ ἀσελγής, ἀλλὰ καὶ φιλοπράγμων καὶ ἄπιστος καὶ οὐ τὰ πάντα τῷ τετραχόρδῳ συνῳδῶν. Ἐξήλασεν οὖν αὐτὸν ἡ Δίκη ταχέως, εἶτα ἀπῆλθεν οὐκ οἶδα ὅποι γῆς· ἐπελαθόμην γὰρ αὐτὸ παρὰ τοῦ Ἑρμοῦ πολυπραγμονῆσαι. 5

D **[15]** Τούτῳ δὲ τῷ παναρμονίῳ τετραχόρδῳ παραφύεται | δεινὸν καὶ τραχὺ καὶ ταραχῶδες σύστημα. Τοὺς μὲν οὖν δύο οὐδὲ τῶν προθύρων ἅψασθαι τῆς τῶν ἡρώων ἀγορᾶς ἡ Δίκη ξυνεχώρησε, Λικίνιον δὲ μέχρι τῶν προθύρων ἐλθόντα, πολλὰ καὶ ἄτοπα πλημμελοῦντα, ταχέως ὁ Μίνως ἐξήλασεν. Ὁ Κωνσταντῖνος δὲ 10 παρῆλθεν εἴσω καὶ πολὺν ἐκαθέσθη χρόνον, εἶτα μετ' αὐτὸν τὰ παιδία.

Μαγνεντίῳ γὰρ οὐκ ἦν εἴσοδος, ὅτι μηθὲν ὑγιὲς ἐπεπράχει· 316A καίτοι πολλὰ | ἐδόκει πεπρᾶχθαι τῷ ἀνδρὶ καλά, οἱ θεοὶ δὲ ὁρῶντες ὅτι μὴ ταῦτα ἐκ καλῆς αὐτῷ πεποίηται διαθέσεως, εἴων 15 αὐτὸν οἰμώζειν ἀποτρέχοντα.

[16] Οὔσης δὴ τοιαύτης τῆς ἀμφὶ τὸ δεῖπνον παρασκευῆς ἐπόθουν μὲν οὐθὲν οἱ θεοί (πάντα γὰρ ἔχουσιν), αὐτῶν δὲ τῶν ἡρώων ἐδόκει τῷ Ἑρμῇ διαπειρᾶσθαι, καὶ τῷ Διὶ τοῦτο οὐκ ἀπὸ γνώμης ἦν. Ἐδεῖτο δὲ καὶ ὁ Κυρῖνος ἤδη τινὰ μετάγειν ἐκεῖθεν 20 B παρ' ἑαυ|τόν· Ἡρακλῆς δέ „Οὐκ ἀνέξομαι“ εἶπεν „ὦ Κυρῖνε· διὰ τί γὰρ οὐχὶ καὶ τὸν ἐμὸν Ἀλέξανδρον ἐπὶ τὸ δεῖπνον παρεκάλεις; σοῦ τοίνυν“ εἶπεν „ὦ Ζεῦ, δέομαι, εἴ τινα τούτων ἔγνωκας ἄγειν πρὸς ἡμᾶς, ἥκειν τὸν Ἀλέξανδρον κέλευε. Τί γὰρ οὐχὶ κοινῇ τῶν ἀνδρῶν ἀποπειρώμενοι τῷ βελτίονι τιθέμεθα;“ 25

1–2 τὰ ἐς Ἀφροδίτην παντοίαν ἀσελγής [sic] exstat in Exc. fol. 327v., l. 19

1–2 παντοίαν ⟨ἀσέλγειαν⟩ Hertlein: παντοίαν codd.: παντοίως vet. vulg. **2** ἄπιστος MA: ἀκόλαστος V ‖ **4** ὅποι VM: -η A ‖ **6** δὲ Hertlein: δὴ codd. παραφύεται VA: -φέρεται M ‖ **7** τοὺς VA: τὰς M ‖ **8** τῆς VA: τοῖς M **8–9** ξυνεχ. VM: συν- A ‖ **9** Λικίνιον VM: -κίνν- A ‖ **10** πλημμελ. VA: -ημε- M ‖ **13** ἐπεπράχει VA: -άγει M ‖ **17** δὴ VA (ἡ suprascr.): δὲ M ‖ **18** οὐθὲν V: οὐδ- MA ‖ **20** δὲ VA: δὴ M | ἐκεῖθεν om. V ‖ **21** οὐκ ἀνέξομαι εἶπεν MA: εἶπ. οὐκ ἀν. V ‖ **23** σοῦ vet. vulg.: σὺ codd. ‖ **24–25** κοινῇ τ. ἀ. aegre legitur in V ‖ **25** τιθέμεθα VM: δεόμεθα A: aut ⟨προσ⟩τιθέμεθα aut τιθέμεθα ⟨τὴν ὑπὲρ τῶν πρωτείων ψῆφον⟩ legere voluit Asmus[1] (sed cf. 18 infra p. 120,19 τίθεσθαι δὲ τοὺς θεοὺς τὴν ψῆφον)

Δίκαια λέγειν ὁ τῆς Ἀλκμήνης ἐδόκει τῷ Διί· καὶ ἐπεισελθόντος αὐτοῦ τοῖς ἥρωσιν οὔτε ὁ Καῖσαρ οὔτε ἄλλος τις ὑπανίστατο, κατα|λαβὼν δὲ σχολάζουσαν καθέδραν, ἣν ὁ τοῦ Σεβήρου παῖς C ἐπεποίητο ἑαυτῷ (ἐκεῖνος γὰρ ἀπελήλατο διὰ τὴν ἀδελφοκτονίαν), ἐνεκάθισε. Καὶ ὁ Σειληνὸς ἐπισκώπτων τὸν Κυρῖνον „Ὅρα" εἶπε „μή ποτε οὗτοι ἑνὸς ὦσιν οὐκ ἀντάξιοι τουτουὶ τοῦ Γραικοῦ." „Μὰ Δία" εἶπεν ὁ Κυρῖνος „οἶμαι πολλοὺς εἶναι μὴ χείρονας. Οὕτω δὲ αὐτὸν οἱ ἐμοὶ | τεθαυμάκασιν ἔγγονοι, ὥστε D μόνον αὐτὸν ἐκ πάντων, ὅσοι ξένοι γεγόνασιν ἡγεμόνες, ὀνομάζουσι καὶ νομίζουσι μέγαν. Οὐ μὴν ἔτι καὶ τῶν παρ' ἑαυτοῖς γεγονότων οἴονται μείζονα τοῦτον, ἴσως μὲν ὑπὸ φιλαυτίας ⟨τι⟩ παθόντες, ἴσως δὲ καὶ οὕτως ἔχον· εἰσόμεθα δὲ αὐτίκα μάλα τῶν ἀνδρῶν ἀποπειρώμενοι." Ταῦτα μάλιστα λέγων ὁ Κυρῖνος ἠρυθρία καὶ δῆλος ἦν ἀγωνιῶν ὑπὲρ τῶν ἀπογόνων τῶν ἑαυτοῦ, μή που τὰ δευτερεῖα λαβόντες | οἴχωνται. 317A

[17] Μετὰ τοῦτο ὁ Ζεὺς ἤρετο τοὺς θεούς, πότερον χρὴ πάντας ἐπὶ τὸν ἀγῶνα καλεῖν ἤ, καθάπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσι γίνεται, ὁ τοῦ πολλὰς ἀνελομένου νίκας κρατήσας, ἑνὸς περιγενόμενος, οὐδὲν ἔλαττον δοκεῖ κἀκείνων γεγονέναι κρείσσων, οἳ προσεπάλαισαν μὲν οὐδαμῶς αὐτῷ, τοῦ κρατηθέντος δὲ ἥττους ἐγένοντο· καὶ ἐδόκει πᾶσιν ἡ τοιαύτη σφόδρα ἐμ|μελῶς ἔχειν B ἐξέτασις.

Ἐκήρυττεν οὖν ὁ Ἑρμῆς παρεῖναι Καίσαρα καὶ τὸν Ὀκταβιανὸν ἐπὶ τούτῳ, Τραϊανὸν δὲ ἐκ τρίτων, ὡς πολεμικωτέρους. Εἶτα γενομένης σιωπῆς ὁ βασιλεὺς Κρόνος βλέψας εἰς τὸν Δία θαυμάζειν ἔφη, πολεμικοὺς μὲν αὐτοκράτορας ὁρῶν ἐπὶ τὸν ἀγῶνα τουτονὶ καλουμένους, οὐθένα μέντοι φιλόσοφον· „Ἐμοὶ δέ" εἶπεν „οὐχ ἧττόν εἰσιν οἱ τοιοῦ|τοι φίλοι. Καλεῖτε οὖν εἴσω καὶ τὸν C Μάρκον."

2 ὑπανίστατο Cobet: ἐπαν- codd. ‖ 3 Σεβήρου MA: Σευ- V ‖ 5 ἐνεκάθισε VA: ἐκάθ- M ‖ 6 ὦσιν codd.: εἰσιν Naber (omisso οὐκ – ut V – ante ἀντάξιοι) | οὐκ om. V ‖ 8 ἔγγονοι V: ἔκγ- MA ‖ 9 ξένοι γεγόνασιν ἡγεμόνες MA: γεγ. ἡγ. ξέν. V ‖ 11 οἴονται MA: οἷόν τε V | τι add. Cobet ‖ 12 ἔχον A: εἶχον V: ἔχοντες M ‖ 13 μάλιστα codd.: fortasse μεταξὺ legendum | λέγων VM: λέων A ‖ 15 οἴχωνται VM: -ονται A ‖ 18 γίνεται VM: γίγν- A | τὰς ante πολλὰς add. A ‖ 18–19 περιγενόμενος VM: -γιν- A ‖ 20 τοῦ κρατηθέντος VM: τοὺς -ας A | δὲ ex καὶ corr. A ‖ 23 παρεῖναι codd.: -ιέναι Cobet ‖ 24 τρίτων VA: -ου M | πολεμικωτέρους codd.: -τάτους Hertlein

Ἐπεὶ δὲ καὶ ὁ Μάρκος κληθεὶς παρῆλθε, σεμνὸς ἄγαν, ὑπὸ τῶν πόνων ἔχων τά τε ὄμματα καὶ τὸ πρόσωπον ὑπό τι συνεσταλμένον, κάλλος δὲ ἀμήχανον ἐν αὐτῷ τούτῳ δεικνύων, ἐν ᾧ παρεῖχεν ἑαυτὸν ἄκομψον καὶ ἀκαλλώπιστον – ἥ τε γὰρ ὑπήνη βαθεῖα παντάπασιν ἦν αὐτῷ καὶ τὰ ἱμάτια λιτὰ καὶ σώφρονα, καὶ ὑπὸ 5 τῆς ἐνδείας τῶν τροφῶν ἦν αὐτῷ τὸ σῶμα διαυγέστατον καὶ D διαφανέστατον ὥσπερ αὐτὸ οἶμαι τὸ | καθαρώτατον καὶ εἰλικρινέστατον φῶς –, **[18]** ἐπεὶ καὶ οὗτος ἦν εἴσω τῶν ἱερῶν περιβόλων, ὁ Διόνυσος εἶπεν· „Ὦ βασιλεῦ Κρόνε καὶ Ζεῦ πάτερ, ἆρα ἄξιον ἐν θεοῖς ἀτελές εἶναί τι;“ τῶν δὲ „οὔ“ φαμένων „Εἰσάγωμεν οὖν τινα 10 καὶ ἀπολαύσεως ἐραστὴν ἐνθαδί.“ Καὶ ὁ Ζεύς „Ἀλλ’ οὐ θεμιτὸν εἴσω φοιτᾶν“ εἶπεν „ἀνδρὶ μὴ τὰ ἡμέτερα ζηλοῦντι.“ „Γιγνέσθω 318A τοίνυν ἐπὶ τῶν προθύρων“ εἶπεν ὁ Διόνυ|σος „αὐτῷ ἡ κρίσις. Ἀλλ’, εἰ τοῦτο δοκεῖ ταύτῃ, καλῶμεν ἄνδρα οὐκ ἀπόλεμον μέν, ἡδονῇ δὲ καὶ ἀπολαύσει χειροηθέστερον. Ἡκέτω οὖν ἄχρι τῶν προθύρων ὁ 15 Κωνσταντῖνος.“

Ἐπεὶ δὲ ἐδέδοκτο καὶ τοῦτο, τίνα χρὴ τρόπον αὐτοὺς ἁμιλλᾶσθαι γνώμη προὐτέθη· καὶ ὁ μὲν Ἑρμῆς ἠξίου λέγειν ἕκαστον ἐν μέρει περὶ τῶν ἑαυτοῦ, τίθεσθαι δὲ τοὺς θεοὺς τὴν ψῆφον. Οὐ μὴν B ἐδόκει ταῦτα τῷ | Ἀπόλλωνι καλῶς ἔχειν· ἀληθείας γὰρ εἶναι καὶ 20 οὐ πιθανότητος οὐδὲ αἱμυλίας ἐν θεοῖς ἔλεγχον καὶ ἐξέτασιν. Βουλόμενος δὲ ὁ Ζεὺς ἀμφοτέροις χαρίζεσθαι καὶ ἅμα προάγειν ἐπὶ πλέον αὐτοῖς τὴν συνουσίαν „Οὐθέν“ εἶπε „κωλύει λέγειν γε αὐτοῖς ἐπιτρέψαι, μικρὰ τοῦ ὕδατος ἐπιμετρήσαντας, εἶτα ὕστερον C ἀνερωτᾶν καὶ ἀποπειρᾶσθαι τῆς ἑκάστου διανοί|ας.“ 25

4–8 ὅτι [sic] γὰρ ὑπήνη — φῶς exstat in Exc. fol. 327v., l. 20-22

1 ἐπεὶ δὲ codd. (δὲ om. V): de ἔπειτα (tum 317D infra l. 8 ἐπεὶ ⟨δὲ⟩ καὶ ut iam Reiske) cog. Kassel | fortasse μὲν post ὑπὸ addendum ‖ **3** ἀμήχανον M (iunctura κάλλος ἀμήχανον saepius et in Platone et in Platonicis invenitur): ἄμαχον VA ‖ **4** ὅτι pro ἥ τε Exc. ‖ **6** διαυγέστατον V: -τερον MAExc.. **7** διαφανέστατον VMA: -στερον Exc. ‖ **8** καὶ codd.: δὲ edd. ante Spanhemium: δὲ καὶ Reiske ‖ **10** εἰσάγωμεν VM: -αγάγ- A ‖ **12** γιγνέσθω VA: γιν- M ‖ **13** τοίνυν ἐ. τ. π. εἶπεν MA: τοίνυν εἶπεν ἐ. τ. π. V | αὐτῷ vet. vulg.: -οῖς codd. ‖ **14** ταύτῃ om. M ‖ **21** οὐδὲ VA: οὐδ’ M ‖ **22** iam a verbis καὶ ἅμα Iovis orationem incipere facit Sardiello, servato τε (v. infra) post λέγειν ‖ **23** γε (vel μὲν) Reiske: τε codd.: μὲν Hertlein ‖ **24** ἐπιμετρήσαντας MA: -σασιν V ‖ **25** ἑκάστου VM: ἐκείνου A

Καὶ ὁ Σειληνὸς ἐπισκώπτων· „Ἀλλ' ὅπως μή, νομίσαντες αὐτὸ νέκταρ εἶναι, Τραϊανός τε καὶ Ἀλέξανδρος ἅπαν ἐκροφήσωσι τὸ ὕδωρ, εἶτα ἀφέλωνται τοὺς ἄλλους.“ Καὶ ὁ Ποσειδῶν „Οὐ τοὐμοῦ ὕδατος“ εἶπεν „ἀλλὰ τοῦ ὑμετέρου πόματος ἐρασταὶ τὼ 5 ἄνδρε ἐγενέσθην. Ὑπὲρ τῶν σεαυτοῦ τοιγαροῦν ἀμπέλων μᾶλλον ἢ τῶν ἐμῶν πηγῶν | ἄξιόν ἐστί σοι δεδιέναι.“ Καὶ ὁ Σειληνὸς D δηχθεὶς ἐσιώπα καὶ τοῖς ἀγωνιζομένοις ἐκ τούτου τὸν νοῦν προσεῖχεν.

[19] Ἑρμῆς δὲ ἐκήρυττεν·
10 „Ἄρχει μὲν ἀγὼν
τῶν καλλίστων
ἄθλων ταμίας,
καιρὸς δὲ καλεῖ
5 μηκέτι μέλλειν.
15 Ἀλλὰ κλύοντες
τὰν ἁμετέραν |
κήρυκα βοὰν 319A
οἵ {τὸ} πρὶν βασιλεῖς,
10 ἔθνεα πολλὰ
20 δουλωσάμενοι
καὶ πολέμοισι
δάιον ἔγχος
θήξαντες, ὁμοῦ
15 γνώμης τε μέγαν
25 πινυτόφρονα νοῦν,

10–11 cf. carm. pop. 17 (PMG 863); 19 (PMG 865); Luc. Demon. 65 (Λήγει ...)

1 ὅπως codd.: ὅρα, ὦ Πόσειδον vet. vulg. ‖ **2** ἐκροφήσωσι codd.: -σουσι Hertlein in app. ‖ **3** ἀφέλωνται codd.: -ελοῦνται Hertlein in app. **4** ὑμετέρου VM: ἡμ- A | πόματος codd.: πώ- Cobet | ἐρασταὶ codd.: -στὰ Cobet ‖ **5** ἐγενέσθην VA: ἐγένεσθον M ‖ **6** πηγῶν VA: κρην- M **8** προσεῖχεν VM: -κεν A ‖ **9** ἐκήρυττεν VM: ἐκηρύττευεν A ‖ **10** ἀγὼν Cunaeus: ἀγώνων codd. ‖ **15** ἀλλὰ κλύοντες Cobet: ἀλλ' ἀκούοντες codd. (ἀλλ' ἀκόοντες Cantoclarus, Cunaeus, Petavius, Heusinger) ‖ **16** ἁμετέραν M: ἡμ- V: μ- A ‖ **18** τὸ del. Cunaeus | βασιλεῖς vet. vulg.: -λῆες codd.: -λῆς Cobet (sed Iulianus nusquam alibi nominativi forma βασιλῆς utitur) **21** πολέμοισι VA: πτολ- M ‖ **24** μέγαν VA: -α M

ἴτ', ἐς ἀντίπαλον |
B ἵστασθε κρίσιν,
οἶς τε φρόνησιν
20 τέλος ὀλβίστης
θέσθαι βιοτῆς, 5
οἶς τ' ἀντιβίους
κακὰ πόλλ' ἔρξαι
καὶ χρηστὰ φίλους
25 τέκμαρ βιότου
νενόμιστο καλοῦ, 10
⟨οἶς⟩ θ' ἡδίστην
ἀπόλαυσιν ἔχειν |
C τέρματα μόχθων
30 δαῖτάς τε γάμους ⟨τ'⟩,
ὄμμασι τερπνά, 15
μαλακάς τε φέρειν
ἐσθῆτας ὁμοῦ
λιθοκολλήτοις
35 περὶ χεῖρας ἄκρας
ψελίοισι φάνη 20
μακαριστότατον·
νίκης δὲ τέλος |
D Ζηνὶ μελήσει.

[20] Τοιαῦτα τοῦ Ἑρμοῦ κηρύττοντος ἐκληροῦντο· καί πως συνέδραμε τῇ τοῦ Καίσαρος ὁ κλῆρος φιλοπρωτίᾳ. Τοῦτο ἐκεῖνον 25 μὲν ἐποίησε γαῦρον καὶ σοβαρώτερον, ἐδέησε δὲ διὰ τοῦτο μικροῦ καὶ φεύγειν τὴν κρίσιν ὁ Ἀλέξανδρος· ἀλλὰ παραθαρρύνων αὐτὸν ὁ 320A μέγας Ἡρακλῆς ἐπέσχε. Δεύτερος δὲ ἐπ' ἐκείνῳ λέγειν | ἔλαχεν ὁ

2 ἵστασθε MA: -σθαι V (ε super αι scripto) ‖ **3** οἶς Cobet: οἵ codd. ‖ **5** θέσθαι Cobet: θέσθε codd.: θέμενοι Cantoclarus 1577 in adn. ‖ **6** οἶς vet. vulg.: οἶσι VM: ὅσοι A ‖ **7** πόλλ' ἔρξαι vet. vulg.: πόλλ' ἐξέρξαι V: πολλὰ ῥέξαι M: πόλλ' ἔρεξε A ‖ **8** καὶ χρηστὰ Cantoclarus: χρηστὰ δὲ codd. ‖ **9** τέκμαρ Cantoclarus: τέρμα codd. ‖ **11** οἶς suppl. Cobet ‖ **14** δαῖτάς τε γάμους ⟨τ'⟩ Cantoclarus 1577 in adn.: δ. καὶ γ. VA: δ. τε καὶ γ. M: δ. τε γ. Cantoclarus 1577 in textu ‖ **15** τερπνά VA: -άς M ‖ **20** ψελίοισι vet. vulg.: ψελλ- codd. **22** νίκης VA: -η M ‖ **28–123,1** ὁ ante Ἀλέξανδρος om. V

Ἀλέξανδρος, ἐπὶ δὲ τῶν ἑξῆς οἱ κλῆροι τοῖς ἑκάστου χρόνοις συμπροῆλθον.

Ἤρξατο οὖν ὁ Καῖσαρ ὡδί· „Ἐμοὶ μέν, ὦ Ζεῦ καὶ θεοί, γενέσθαι ἐν τηλικαύτῃ συνέβη πόλει μετὰ τοσούτους ἄνδρας, ὥστε
5 τὴν μὲν ὅσων οὐ πώποτε ἄλλη πόλις ἐβασίλευσε βασιλεύειν, ταῖς δὲ ἀγαπητὸν τὸ καὶ τὰ δεύτερα κομίσασθαι. Τίς γὰρ πόλις ἀπὸ τρισχιλίων ἀρξαμένη ἀνδρῶν ἐν οὐδὲ ὅλοις ἔτεσιν ἑξα|κοσίοις ἐπὶ B γῆς ἦλθε πέρατα τοῖς ὅπλοις; ποῖα δὲ ἔθνη τοσούτους ἄνδρας ἀγαθούς τε καὶ πολεμικοὺς παρέσχετο καὶ νομοθετικούς; θεοὺς δὲ
10 ἐτίμησαν οὕτω τίνες;

ἐν δὴ τοσαύτῃ καὶ τηλικαύτῃ πόλει γενόμενος οὐ τοὺς κατ' ἐμαυτὸν μόνον, ἀλλὰ καὶ τοὺς πώποτε παρῆλθον τοῖς ἔργοις. Καὶ τῶν ἐμῶν μὲν πολιτῶν εὖ οἶδα ὡς οὐθεὶς ἀντιποιήσεταί μοι τῶν πρωτείων· εἰ δὲ Ἀλέξανδρος οὑτο|σὶ τολμᾷ, τίνα τῶν ἔργων τῶν C
15 ἑαυτοῦ τοῖς ἐμοῖς ἀξιοῖ παραβαλεῖν; ἴσως τὰ Περσικά, ὥσπερ οὐχ ἑωρακὼς ἐγηγερμένα μοι τοσαῦτα κατὰ Πομπηίου τρόπαια; καίτοι τίς δεινότερος στρατηγὸς γέγονε, Δαρεῖος ἢ Πομπήιος; ποτέρῳ δὲ ἀνδρειότερον ἠκολούθει στρατόπεδον; τὰ μὲν οὖν μαχιμώτατα τῶν Δαρείῳ πρότερον ὑπακουόντων ἐθνῶν ἐν τῇ
20 Καρῶν μοί|ρᾳ Πομπήιος εἶχεν ἑπόμενα, τῶν δὲ ἐκ τῆς Εὐρώπης, D οἳ τὴν Ἀσίαν πολλάκις πόλεμον ἐπάγουσαν ἐτρέψαντο, καὶ τούτων αὐτῶν τοὺς ἀνδρειοτάτους, Ἰταλούς, Ἰλλυριούς, Κελτούς.

[21] Ἀλλ' ἐπειδὴ τῶν Κελτῶν ὑπεμνήσθην, ἆρα τοῖς Γετικοῖς ἔργοις Ἀλεξάνδρου τὴν τῆς Κελτικῆς ἀντιτάττομεν καθαίρεσιν;
25 οὗτος ἅπαξ ἐπεραιώθη τὸν Ἴστρον, ἐγὼ δεύτερον τὸν Ῥῆνον·

19–20 cf. Aristid. or. 3,136 (ἐν Καρῶν σχήματι καὶ μοίρᾳ), Porph. Quaest. Hom. ad Il. pert. ad I 378 p. 137 Schrader (ἀπὸ τῶν Καρῶν, οὓς ἀεὶ (B 867) λοιδορεῖ ὁ ποιητής, οἷον ἐν μοίρᾳ Καρὸς οἱονεὶ δούλου)

1 ἑκάστου VM: ἐκείνου A ‖ **4** συνέβη πόλει VA: π. σ. M ‖ **5** ὅσων (ex -ον) M: -ον VA | ἐβασίλευσε βασιλεύειν codd.: βασιλεῦσαι Cobet ‖ **5–6** ταῖς δὲ V: τῷ δὲ M: ταῖς τῶνδε A ‖ **6** τὸ καὶ V: καὶ τὸ MA ‖ **7** ἀρξαμένη ἀνδρῶν V: ἀν. ἀρ. MA ‖ **8** ἔθνη M: ἔ. πολλὰ VA: ἔ. παλαιὰ Sylburg ‖ **11** δὴ codd.: τῇ edd. ante Spanhemium: ἐν δὲ τῇ Spanheim | τοσαύτῃ codd.: τοι- Cobet ‖ **13** ὡς VA: καὶ M ‖ **15** ἀξιοῖ MA: -οῖς V ‖ **16** ἑωρακὼς codd.: ἑορ- Hertlein **19** τῶν MA: τῷ V ‖ **20** τῶν edd. ante Spanhemium: τοὺς codd. **21** πολλάκις VA: πόλιν M | ἐτρέψαντο VM: -ποντο A ‖ **22** Ἰταλούς om. V **23** Κελτῶν M: -ικῶν VA | ὑπεμνήσθην codd.: ἐπ- edd. ante Spanhemium **24** τῆς Κελτικῆς VA: -οῖς -οῖς M ‖ **25** ἅπαξ om. M

Γερμανικὸν αὖ τοῦτο ἐμὸν ἔργον. Τούτῳ δὲ ἀντέστη μὲν οὐδὲ εἷς,
321A ἐγὼ δὲ πρὸς Ἀριόβιξτον ἠγωνισάμην. Πρῶτος | ἐτόλμησα
Ῥωμαίων ἐπιβῆναι τῆς ἐκτὸς θαλάσσης. Καὶ τοῦτο ἦν ἴσως τὸ
ἔργον ⟨οὐ⟩ θαυμαστόν· καίτοι τὴν τόλμαν καὶ ταύτην ἄξιον
θαυμάσαι. Ἀλλὰ τὸ μεῖζόν μου, τὸ ἀποβῆναι τῆς νεὼς πρῶτον. 5
Καὶ τοὺς Ἑλβετίους σιωπῶ καὶ τὸ τῶν Ἰβήρων ἔθνος. Οὐδενὸς ἔτι
τῶν Γαλατικῶν ἐπεμνήσθην, πλέον ἢ τριακοσίας ὑπαγαγόμενος
B πόλεις, ἀνδρῶν δὲ οὐκ ἐλάσσους ἢ δια|κοσίας μυριάδας.

Ὄντων δὲ τούτων μοι τοιούτων ἔργων ἐκεῖνο μεῖζον ἦν καὶ
τολμηρότερον· ἐχρῆν γάρ με καὶ πρὸς αὐτοὺς διαγωνίζεσθαι τοὺς 10
πολίτας καὶ κρατεῖν τῶν ἀμάχων καὶ ἀνικήτων Ῥωμαίων. Εἴτε
οὖν πλήθει τις κρίνει παρατάξεων, τρὶς τοσαυτάκις παρεταξάμην,
ὁσάκις ὑπὲρ Ἀλεξάνδρου κομπάζουσιν οἱ τὰ περὶ αὐτοῦ σεμνοποι-
οῦντες· εἴτε πλήθει πόλεων αἰχμαλώτων, οὐ τῆς Ἀσίας μόνον,
C ἀλλὰ καὶ τῆς Εὐρώπης | τὰ πλεῖστα κατεστρεψάμην. Ἀλέξανδρος 15
Αἴγυπτον περιῆλθε θεωρῶν· ἐγὼ δὲ συμπόσια συγκροτῶν
κατεπολέμησα.

Τὴν δὲ μετὰ τὸ κρατῆσαι πρᾳότητα βούλεσθε ἐξετάσαι τὴν
παρ' ἑκατέρῳ; ἐγὼ καὶ τοῖς πολεμίοις συνέγνων – ἔπαθον γοῦν
ὑπ' αὐτῶν ὅσα ἐμέλησε τῇ Δίκῃ –, ὁ δὲ πρὸς τοῖς πολεμίοις οὐδὲ 20
τῶν φίλων ἀπέσχετο.

D [22] Ἔτι οὖν μοι περὶ τῶν πρω|τείων ἀμφισβητεῖν οἷός τε
ἔσῃ, καὶ οὐκ αὐτόθεν καὶ σὺ παραχωρήσεις μετὰ τῶν ἄλλων, ἀλλὰ
ἀναγκάσεις με λέγειν, ὅπως ⟨σὺ⟩ μὲν ἐχρήσω πικρῶς Θηβαίοις,
ἐγὼ δὲ τοῖς Ἑλβετίοις φιλανθρώπως; σὺ μὲν γὰρ ἐκείνων 25
κατέκαυσας τὴν πόλιν, ἐγὼ δὲ τὰς ὑπὸ τῶν οἰκείων πολιτῶν

1 τοῦτο ἐμὸν M: τοῦτό τε ἐ. V: τοῦτο τὸ ἐ. A: τοῦτο ἐ. τὸ Reiske ‖ **2** δὲ om. V Ἀριόβιξτον A: -όξβιτ- V: -ώβιξτ- M ‖ **4** οὐ add. Hertlein (obloquitur Sardiello; v. etiam Nesselrath 1992, 360) | ταύτην codd.: de αὐτὴν cog. Kassel ‖ **6** Ἑλβετίους vet. vulg.: -βεστ - codd. | Ἰβήρων A: Ἑβραίων VM **7** πλέον codd.: πλεῖν Cobet ‖ **9** τούτων μοι τοιούτων VM: τοι. σοι τούτ. τῶν A ‖ **12** πλήθει VA: -η M | παρατάξεων om. M | τρὶς VM: τρεῖς A **13** κομπάζουσιν VM: θαυμ- A ‖ **14** πλήθει VA: -η M ‖ **16** περιῆλθε Cobet: παρ- codd.: ἐπ- Hertlein in app. ‖ **18** ἐξετάσαι codd.: -σω Wyttenbach **18–19** τὴν παρ' ἑκατέρῳ VM: τῶν π. ἑκατέρον A ‖ **19** γοῦν VM: οὖν A **22** ἔτι VM: τί A: εἶτα Wyttenbach | μοι περὶ τῶν πρωτείων VM: π. τ. πρ. μοι A ‖ **24** σὺ suppl. Horkel ‖ **25** γὰρ om. A ‖ **26** κατέκαυσας MA: κατέπ- V | τὴν πόλιν Hertlein in app.: τὰς πόλεις MA (τὰς ..λ... V, τὰς .... U)

κεκαυμένας πόλεις ἀνέστησα. Καίτοι οὔτι ταὐτὸν ἦν μυρίων Γραικῶν κρατῆσαι καὶ πεντεκαίδεκα μυριάδας ἐπιφερομένας ὑποστῆναι.

πολλὰ εἰπεῖν ἔχων ἔτι | περὶ ἐμαυτοῦ καὶ τοῦδε ⟨***⟩ τῷ μὴ 322A
5 σχολὴν ἄγειν ἥκιστα τὸ λέγειν ἐξεμελέτησα. Διόπερ χρὴ συγγνώμην ὑμᾶς ἔχειν, ἐκ δὲ τῶν εἰρημένων καὶ περὶ τῶν μὴ ῥηθέντων τὴν ἴσην καὶ δικαίαν ἐξέτασιν ποιουμένους ἀποδιδόναι μοι τὸ πρωτεῖον."

[23] Τοιαῦτα εἰπόντος τοῦ Καίσαρος καὶ λέγειν ἔτι βουλομέ-
10 νου μόγις καὶ πρότερον ὁ Ἀλέξανδρος καρτερῶν οὐκέτι κατέσχεν, ἀλλὰ μετά τινος ταραχῆς καὶ ἀγωνίας „Ἐγὼ δέ" εἶ|πεν „ὦ Ζεῦ B καὶ θεοί, μέχρι τίνος ἀνέξομαι σιωπῇ τῆς θρασύτητος τῆς τούτου; πέρας γὰρ οὐθέν ἐστιν, ὡς ὁρᾶτε, οὔτε τῶν εἰς αὐτὸν ἐπαίνων οὔτε τῶν εἰς ἐμὲ βλασφημιῶν. Ἐχρῆν δὲ ἴσως μάλιστα μὲν ἀμφοῖν
15 φείδεσθαι – καὶ γὰρ εἶναί πως ἀμφότερα δοκεῖ παραπλησίως ἐπαχθῆ –, πλέον δὲ τοῦ τἀμὰ διασύρειν, ἄλλως τε καὶ μιμητὴν αὐτῶν γενόμενον. Ὁ δὲ εἰς | τοῦτο ἦλθεν ἀναισχυντίας, ὥστε C τολμῆσαι τὰ ἀρχέτυπα κωμῳδεῖν τῶν ἑαυτοῦ ἔργων. Ἐχρῆν δέ, ὦ Καῖσαρ, ὑπομνησθῆναί σε τῶν δακρύων ἐκείνων, ἃ τότε ἀφῆκας,
20 ἀκροώμενος τῶν ὑπομνημάτων ὅσα πεποίηται περὶ τῶν ἐμῶν πράξεων.

[24] Ἀλλ' ὁ Πομπήιος ἐπῆρέ σε μετὰ τοῦτο, κολακευθεὶς μὲν παρὰ τῶν πολιτῶν τῶν ἑαυτοῦ, γενόμενος δὲ οὐθεὶς οὐδαμοῦ. Τὸ μὲν γὰρ ἀπὸ Λιβύης θριαμβεῦσαι – οὐ μέγα ἔργον – ὀ|νομαστότα- D
25 τον ἐποίησεν ἡ τῶν τότε ὑπάτων μαλακία· τὸν δουλικὸν δὲ ἐκεῖνον πόλεμον, οὐδὲ πρὸς ἄνδρας γενόμενον, ἀλλὰ πρὸς τοὺς χειρίστους τῶν οἰκετῶν, ἄλλοι μὲν κατειργάσαντο, Κράσσοι καὶ Λούκιοι, τοὔνομα δὲ καὶ τὴν ἐπιγραφὴν ἔσχε Πομπήιος. Ἀρμενίαν δὲ καὶ τὰ πρόσοικα ταύτης κατεπολέμησε Λούκουλλος, ἐθριάμβευσε δὲ
30 ἀπὸ τούτων Πομπήιος. Εἶτ' | ἐκολάκευσαν αὐτὸν οἱ πολῖται καὶ 323A

1 οὔτι ταὐτὸν Hertlein in app.: τί τοσοῦτον codd. ‖ **4** post τοῦδε Nesselrath 1992, 364 n. 20 lacunam statuit, quam Kassel e.g. ita supplevit: ⟨παύσομαι· καὶ γὰρ⟩ ‖ **5** ἐξεμελέτησα VM: ἐξεμέλησα A ‖ **12** τῆς[2] om. MA ‖ **13** οὐθέν VA: -δ- M | αὐτὸν VM: αὐ- A ‖ **16** τοῦ Cobet: τὸ codd. ‖ **17** τοῦτο codd.: τοσοῦτον suprascr. A[2] ‖ **18** ἑαυτοῦ VA: αὐ- M ‖ **19** ἃ VA: ὧν M ‖ **22** μὲν om. A ‖ **27** Κράσσοι MA: Κράσοι V ‖ **28** ἐπιγραφὴν M: ὑπο- VA **29** Λούκουλλος A: -ουλος V: Λεύκολλ- M

Μέγαν ὠνόμασαν, ὄντα τίνος τῶν πρὸ ἑαυτοῦ μείζονα; τί γὰρ ἐκείνῳ τοσοῦτον ἐπράχθη, ἡλίκον Μαρίῳ ἢ Σκηπίωσι τοῖς δύο ἢ τῷ παρὰ τὸν Κυρῖνον τουτονὶ Φουρίῳ, ὃς μικροῦ συμπεσοῦσαν τὴν τούτου πόλιν ἀνέστησεν; οὗτοι γὰρ οὐκ ἀλλοτρίοις ἔργοις, ὥσπερ ἐν πολιτικαῖς οἰκοδομίαις καὶ δαπανήμασιν ὑπ' ἄλλων 5
B καταβληθείσαις καὶ ἐπιτελεσθείσαις ἕτερος ἄρχων ἐπεγρά|φη μικρὰ κονιάσας τὸν τοῖχον, οὕτω ταῖς ἀλλοτρίαις ἐπεγράφησαν πράξεσιν, ἀρχιτέκτονες δὲ αὐτοὶ καὶ δημιουργοὶ γενόμενοι τῶν καλλίστων ἠξιώθησαν ὀνομάτων.

Οὐδὲν οὖν θαυμαστόν, εἰ κεκράτηκας Πομπηίου δακτύλῳ 10 κνωμένου καὶ τἆλλα ἀλώπεκος μᾶλλον ἢ λέοντος ⟨ὄντος⟩. Ἐπειδὴ γὰρ αὐτὸν ἡ Τύχη προὔδωκεν, ἣ τὸν ἔμπροσθεν χρόνον αὐτῷ
C παρειστήκει, ταχέως ἐκράτησας μόνου. Καὶ ὅτι δεινό|τητι μὲν οὐδεμιᾷ κρείττων ἐγένου, φανερόν· καὶ γὰρ ἐν ἐνδείᾳ γέγονας τῶν ἐπιτηδείων – ἔστι δὲ οὐ μικρόν, ὡς οἶσθα, τοῦτο ἁμάρτημα 15 στρατηγοῦ – καὶ μάχῃ συμβαλὼν ἡττήθης. Εἰ δὲ Πομπήιος ὑπ' ἀφροσύνης τε καὶ ἀνοίας ἢ τοῦ μὴ δύνασθαι τῶν πολιτῶν ἄρχειν οὔτε, ἡνίκα ἔδει τρίβειν τὸν πόλεμον, ὑπερετίθετο τὴν μάχην οὔτε
D νικῶν ἐπεξήει, ὑπὸ τοῖς οἰκείοις ἁμαρτήμασι καὶ οὐχ ὑπὸ | τοῖς

10–11 Plut. Praec. ger. reip. 4 p. 800E (Πομπήιον ... ἑνὶ δακτύλῳ τὴν κεφαλὴν κνώμενον), cf. De cap. ex inim. ut. 6 p. 89E, Pomp. 48,12 ‖ **11** cf. Ar. Pac. 1190 (ὄντες οἴκοι μὲν λέοντες, ἐν μάχῃ δ' ἀλώπεκες), Plut. Comp. Lys. et Sull. 3,1 (Οἴκοι λέοντες, ἐν ὑπαίθρῳ δὲ ἀλώπεκες), Epict. Diss. IV 5,37 (τὸ περὶ τῶν Λακεδαιμονίων λεγόμενον 'οἴκοι λέοντες, ἐν Ἐφέσῳ δ' ἀλώπεκες')

2 ἐκείνῳ τοσοῦτον VM: τοσ. ἐκ. A | Μαρίῳ VA: Μακαρ- M | Σκηπίωσι VM: Σκι- A | δύο VA: δυσὶν M ‖ **3** Φουρίῳ M: Φρ- VA ‖ **4** τούτου πόλιν MA: π. τ. V | οὗτοι MA: οὗτο. V (οὗτος U) | οὐκ MA: ἐπ' V (ut videtur; certe legitur in U) ‖ **4–5** οὐχ ὥσπερ pro οὐκ ἀλλοτρίοις ἔργοις ὥσπερ legere voluit Reiske, fortasse recte ‖ **5** κοινοῖς pro καὶ Hertlein in app. | δαπανήμασιν MA: δαπ..ή..... V: δαπανηραῖς Russo ‖ **6** καὶ ἐπιτελεσθείσαις om. M | ἄρχων VA: -ειν M ‖ **7** κονιάσας VM: -ώσας A | ἐπεγράφησαν codd.: ἐπεγράφη Sardiello (quae duabus lineis supra οὗτος ... ἐπ' ἀλλοτρίοις ἔργοις recepit) **11** ὄντος suppl. van Groningen ‖ **12** ἣ VA: ἢ M | χρόνον αὐτῷ V: αὐ. χρ. MA ‖ **14** γέγονας codd.: -νὼς Cantoclarus 1583 ‖ **17** ἀνοίας VA: ἀγν- M **18** οὔτε[1] οὔτε V: οὐδὲ MA ‖ **19** τῇ νίκῃ ante νικῶν suppl. Hertlein in app. **19–127,1** καὶ οὐχ — στρατηγήμασι om. M (in mg. sin. suppl. M[2])

σοῖς ἐσφάλη στρατηγήμασι· Πέρσαι δὲ πανταχοῦ καλῶς καὶ φρονίμως παρεσκευασμένοι πρὸς τὴν ἡμετέραν ἀλκὴν ἐνέδοσαν.

[25] Ἐπεὶ δὲ οὐ τοῦ πράττειν ἁπλῶς, ἀλλὰ καὶ τοῦ τὰ δίκαια πράττειν ἄνδρα ἄριστον καὶ βασιλέα προσήκει μεταποιεῖσθαι,
5 ἐγὼ μὲν ὑπὲρ τῶν Ἑλλήνων τοὺς Πέρσας ἀπήτησα δίκην καὶ τοὺς Ἑλληνικοὺς πολέμους ἐπανειλόμην, οὐχὶ τὴν Ἑλλάδα λυπεῖν βουλόμενος, ἀλλὰ τοὺς κωλύοντάς με διαβαίνειν καὶ δίκας ἀπαιτεῖν τὸν Πέρσην ἐπικόπτων· | σὺ δὲ τοὺς Γερμανοὺς καὶ 324A Γαλάτας κατεπολέμησας ἐπὶ τὴν πατρίδα τὴν σεαυτοῦ παρασκευ-
10 αζόμενος, οὗ τί γένοιτ' ἂν χεῖρον ἢ μιαρώτερον;

Ἐπεὶ δὲ ὥσπερ διασύρων τῶν μυρίων ἐμνημόνευσας Γραικῶν, ὅτι μὲν καὶ ὑμεῖς ἐντεῦθεν γεγόνατε καὶ τὰ πλεῖστα τῆς Ἰταλίας ᾤκησαν οἱ Γραικοί, καίπερ εἰδὼς ὅμως οὐ παραδέχομαι. Τούτων δὲ αὐτῶν ὀλίγον ἔθνος, Αἰτω|λοὺς λέγω τοὺς παροικοῦντας ἡμῖν, B
15 οὐ φίλους μὲν ἔχειν καὶ συμμάχους ἐποιήσασθε περὶ πολλοῦ, πολεμωθέντας δὲ ὑμῖν ὕστερον δι' ἀσδήποτε αἰτίας οὐκ ἀκινδύνως ὑπακούειν ὑμῖν ἠναγκάσατε; οἱ δὲ πρὸς τὸ γῆρας (ὡς ἂν εἴποι τις) τῆς Ἑλλάδος καὶ οὐδὲ πάσης, ἀλλὰ ἔθνους μικροῦ ⟨καί⟩, ἡνίκα ἤκμαζε τὸ Ἑλληνικόν, οὐδ' ὅτι ἔστι γιγνωσκομένου, μικροῦ δέω
20 φάναι, μόγις ἀρκέσαντες, τίνες ἂν ἐγένεσθε, εἰ πρὸς | ἀκμάζοντας C καὶ ὁμονοοῦντας τοὺς Ἕλληνας πολεμεῖν ὑμᾶς ἐδέησεν; ἐπεὶ καὶ Πύρρου διαβάντος ἐφ' ὑμᾶς ἴστε ὅπως ἐπτήξατε.

Εἰ δὲ τὸ Περσῶν κρατῆσαι μικρὸν νομίζεις καὶ τὸ τηλικοῦτον ἔργον διασύρεις, ὀλίγης πάνυ τῆς ὑπὲρ τὸν Τίγρητα ποταμὸν ὑπὸ
25 Παρθυαίων βασιλευομένης χώρας, ἔτη πλέον ἢ τριακόσια πολεμοῦντες, λέγε μοι, δι' ἣν αἰτίαν οὐκ ἐκρατήσατε; βούλει | σοι D

1–2 πανταχοῦ καλῶς καὶ φρονίμως VM: κ. κ. φρ. π. A ‖ **2** ἐνέδοσαν VM: -δησ- A ‖ **4** προσήκει Hertlein: -ῆκε codd. ‖ **8** ἐπικόπτων vet. vulg.: -σκώπτ- V: -σκόπτ- M: - σκώπτειν A ‖ **9–10** παρασκευαζόμενος V: -αζομένους M: -ασμένους A ‖ **14** ἡμῖν Cobet: ὑμ- codd. ‖ **15** οὐ Hertlein: οἳ V: οὓς MA | μὲν om. MA ‖ **16** πολεμωθέντας MA: -μηθ- V | ἀκινδύνως VA: -νους M ‖ **18** Ἑλλάδος MA: Ἑλλ... V (Ἑλλάδος U) | καὶ οὐδὲ MA: ... οὐδὲ V (lac. in U) | πάσης MA: macula in V (πάσης U) | καί supplevi ‖ **19** ἔστι Sylburg: ἐστὶ codd. | γιγνωσκομένου VA: -κόμενον M ‖ **20** εἰ VA: καὶ M **21** πολεμεῖν VA: τροπολογεῖν M | ἐπεὶ MA: quasi evanidum in V (lacuna in U) ‖ **22** ἐφ' VA: πρὸς M ‖ **24** ὀλίγης ... τῆς VM: -οις ... τοῖς A | τὸν om. A **25** τριακόσια MA: δ τριακ. V (διτριακ. U) ‖ **26** οὐκ ἐκρατήσατε VM: οὐ κατεκρατ. A

φράσω; τὰ Περσῶν ὑμᾶς εἶρξε βέλη. Φρασάτω δέ σοι περὶ αὐτῶν Ἀντώνιος ὁ παιδοτριβηθεὶς ἐπὶ στρατηγίᾳ παρὰ σοῦ. Ἐγὼ δὲ ἐν οὐδὲ ὅλοις ἐνιαυτοῖς δέκα πρὸς τούτοις καὶ Ἰνδῶν γέγονα κύριος. Εἶτ' ἐμοὶ τολμᾷς ἀμφισβητεῖν, ὃς ἐκ παιδαρίου στρατηγῶν ἔργα ἔπραξα τηλικαῦτα, ὥστε τὴν μνήμην ⟨αὐτῶν⟩, καίπερ οὐκ ἀξίως 5
325A ὑπὸ τῶν συγγραφέων ὑμνηθέντων, | ὅμως δὲ συμπαραμένειν τῷ βίῳ, καθάπερ τῶν τοῦ Καλλινίκου, τοὐμοῦ βασιλέως, οὗ θεράπων ἐγὼ καὶ ζηλωτὴς ἐγενόμην, Ἀχιλλεῖ μὲν ἁμιλλώμενος τῷ προγόνῳ, Ἡρακλέα δὲ θαυμάζων καὶ ἑπόμενος, ἅτε δὴ κατ' ἴχνος θεοῦ ἄνθρωπος. 10

[26] Ὅσα μὲν οὖν ἐχρῆν, ὦ θεοί, πρὸς τοῦτον ἀπολογήσασθαι
B – καίτοι κρεῖττον ἦν ὑπεριδεῖν αὐτοῦ –, εἴρηται. Εἰ δέ τι πικρὸν | ὑφ' ἡμῶν ἐπράχθη – οὔτι παντάπασιν εἰς ἀναιτίους ἀνθρώπους, ἀλλὰ ἢ πολλάκις καὶ ἐπὶ πολλοῖς προσκρούσαντας ἢ τῷ καιρῷ μὴ καλῶς μηδὲ πρεπόντως χρησαμένους –, ἠκολούθησε γοῦν ἐπὶ μὲν 15 τοῖς διὰ τὸν καιρὸν ἐξαμαρτηθεῖσιν ἡ μεταμέλεια, σώφρων πάνυ καὶ τῶν ἐξημαρτηκότων σώτειρα δαίμων, τοὺς δὲ ὥσπερ φιλοτι-
C μουμένους ἐπὶ τῷ πολ|λάκις ἀπεχθάνεσθαι καὶ προσκρούειν οὐθὲν ᾤμην ἄδικον ποιεῖν κολάζων."

[27] Ἐπεὶ δὲ εἴρητο καὶ τούτῳ στρατιωτικώτερον ὁ λόγος, ἐπὶ 20 τὸν Ὀκταβιανὸν τὴν ὑδρίαν ἔφερεν ὁ τοῦ Ποσειδῶνος θεράπων, ἐπιμετρῶν αὐτῷ τοῦ ὕδατος ἔλασσον διὰ τὸν καιρόν, ἄλλως τε καὶ
D μνησικακῶν αὐτῷ τῆς εἰς τὸν θεὸν ὑπερηφανίας. Καὶ ὅς, ἐ|πειδὴ συνῆκεν ὑπὸ ἀγχινοίας, ἀφεὶς τὸ λέγειν τι περὶ τῶν ἀλλοτρίων „Ἐγὼ δέ" εἶπεν „ὦ Ζεῦ καὶ θεοί, τοῦ διασύρειν μὲν τὰ τῶν ἄλλων 25 ἔργα καὶ μικρὰ ποιεῖν ἀφέξομαι, περὶ δὲ τῶν ἐμαυτοῦ τὸν πάντα ποιήσομαι λόγον. Νέος προέστην τῆς ἐμαυτοῦ πόλεως ὥσπερ

2 ὁ om. M ‖ **2–3** ἐν οὐδὲ M: οὐδὲ ἐν VA ‖ **4** εἶτ' ἐμοὶ Cobet: εἶτά μοι codd. **5** αὐτῶν addidi ‖ **6** ὑμνηθέντων MA: ὑπομνησθ- V | ὅμως δὲ om. A (δὲ del. Cobet, fortasse recte) ‖ **7** τῶν VM (ex τὸν): τὰ A | τοὐμοῦ M: τοῦ 'μοῦ VA **8** μὲν VM: δὲ A ‖ **11** τοῦτον VM: τούτων A ‖ **12** πικρὸν VA: μι- M **13** ἀναιτίους VA: ἐναντ- M ‖ **14** ἢ[1] ἢ VA: καὶ εἰ M ‖ **14–18** καὶ ἐπὶ— πολλάκις (C1) om. M ‖ **20** εἴρητο VA: -ται M ‖ **22** τε VA: δὲ M ‖ **24** τι del. Cobet | ἀλλοτρίων MA: ἀλλ...... V (lac. in U) ‖ **25** δέ om. A ‖ **26** ἔργα καὶ MA: ἔρ...... V (item in U) | μικρὰ ποιεῖν A, aegre legitur in V (........εῖν U): μακρὰ παίζειν M | δὲ om. V ‖ **27** προέστην codd.: προὔστην Hertlein (cf. 9 supra p. 114,13, ubi προέστη, et Misop. 37 infra p. 207,8, ubi προὔστη traditur) | ἐμαυτοῦ VA: αὑτοῦ M

οὗτος ὁ γενναῖος Ἀλέξανδρος, κατώρθωσα δὲ Γερμανικοὺς πολέμους ὥσπερ ὁ ἐμὸς πατὴρ οὑτοσὶ Καῖσαρ. Συμπλακεὶς δὲ τοῖς ἐμφυλίοις ἀγῶ|σιν, Αἴγυπτον μὲν περὶ τὸ Ἄκτιον κατεναυμάχησα, Βροῦτον δὲ καὶ Κάσσιον περὶ τοὺς Φιλίππους κατεπολέμησα, καὶ τὸν Πομπηίου παῖδα Σέξτον πάρεργον ἐθέμην τῆς ἐμαυτοῦ στρατηγίας. Οὕτω δὲ παρέσχον ἐμαυτὸν τῇ φιλοσοφίᾳ χειροήθη, ὥστε καὶ τῆς Ἀθηνοδώρου παρρησίας ἠνεσχόμην, οὐκ ἀγανακτῶν, ἀλλ' εὐφραινόμενος ἐπ' αὐτῇ, καὶ τὸν ἄνδρα | καθάπερ παιδαγωγὸν ἢ πατέρα μᾶλλον αἰδούμενος· Ἄρειον δὲ καὶ φίλον καὶ συμβιωτὴν ἐπιγράφομαι, καὶ ὅλως οὐδέν ἐστιν ὑφ' ἡμῶν εἰς τὴν φιλοσοφίαν ἁμαρτηθέν. Ὑπὸ δὲ τῶν ἐμφυλίων στάσεων τὴν Ῥώμην ὁρῶν εἰς ἔσχατον ἐλαύνουσαν πολλάκις κίνδυνον, οὕτω διεθέμην τὰ περὶ αὐτήν, ὥστε εἶναι δι' ὑμᾶς, ὦ θεοί, τὸ λοιπὸν | ἀδαμαντίνην. Οὐ γὰρ ταῖς ἀμέτροις ἐπιθυμίαις εἴκων ἐπικτᾶσθαι πάντως αὐτῇ διενοήθην, ὅρια δὲ διττά, ὥσπερ ὑπὸ τῆς φύσεως ἀποδεδομένα, Ἴστρον καὶ Εὐφράτην ποταμοὺς ἐθέμην. Εἶτα ὑποτάξας τὸ Σκυθῶν καὶ Θρᾳκῶν ἔθνος, ἐπιμετρούντων ὑμῶν τῆς βασιλείας μοι τὸν χρόνον, οὐ πόλεμον ἄλλον ἐξ ἄλλου περιεσκόπουν, ἀλλὰ εἰς νομοθεσίαν καὶ τῶν ἐκ τοῦ πολέμου συμφορῶν ἐπανόρθω|σιν τὴν σχολὴν διετιθέμην, οὐδενὸς νομίζων τῶν πρὸ ἐμαυτοῦ χεῖρον βεβουλεῦσθαι, μᾶλλον δέ, εἰ χρὴ θαρρήσαντα φάναι, κρεῖσσον τῶν πώποτε τηλικαύτας ἡγεμονίας ἐπιτροπευσάντων. Οἱ μὲν γὰρ ταῖς στρατηγίαις ἐναπέθανον, ἐξὸν λοιπὸν ⟨ἡσυχάζειν⟩ καὶ μὴ στρατεύεσθαι, πολέμους ἐκ πολέμων ἑαυτοῖς, ὥσπερ οἱ φιλοπράγμονες δίκας μελετῶσι, κατασκευάζον-

326A B C D (marginal references); line numbers 5, 10, 15, 20, 25

1 οὗτος ὁ γενναῖος V: ὁ γεν. οὗτος MA: ὁ γεν. οὑτοσὶ Cobet | κατώρθωσα VA: -όρθ- M ‖ **3** τὸ om. M | Ἄκτιον Sylburg in adn.: Ἀκτικὸν codd. (nusquam attributum Ἀκτικός de Actio Epiri promunturio adhibetur) ‖ **5** Σέξτον MA: Σέξστον V ‖ **6** ἐμαυτοῦ VM: ἐν αὐτοῦ A: ἐπ' αὐτοὺς Sylburg in adn. **12–13** εἰς ἔσχατον ... κίνδυνον codd.: aut εἰς τὸν ἔσχατον ... κίνδυνον aut εἰς ἔσχατον ... κινδύνου mavult Hertlein in app. (sed cf. App. Annib. 251 ἐς κίνδυνον ἔσχατον, Artemid. Onir. I 22 p. 29,6 et 76 p. 83,1 Pack εἰς ἔσχατον ἐλάσαι κίνδυνον) ‖ **13** εἰ μὴ ante δι' ὑμᾶς add. Reiske | ὑμᾶς VA: ἡ- M **15** εἴκων om. M | τι post ἐπικτᾶσθαι add. Cobet | αὐτῇ codd.: αὐτὴν dub. Boulenger[2] p. 62 ‖ **16** ἀποδεδομένα codd.: -δειγμένα Cobet ‖ **17** ἔθνος VM: γένος A ‖ **17–18** ἐπιμετρούντων VA: ὑπο- M ‖ **18** χρόνον, οὐ VA: ὅρον· καὶ M ‖ **20** οὐδενὸς VA: οὐθ- M ‖ **21** ἐμαυτοῦ VM: ἑαυτοῦ A ‖ **22** ἡγεμονίας om. M ‖ **24** ἡσυχάζειν aut ἠρεμεῖν aut simile verbum post λοιπὸν desiderat Reiske ‖ **25** φιλοπράγμονες VA: -μονοῦντες M | μελετῶσι del. Cobet

327A τες· οἱ δὲ καὶ πολεμούμενοι τῇ τρυφῇ προσ|εῖχον, οὐ μόνον τῆς μετὰ ταῦτα εὐκλείας τὴν αἰσχρὰν τρυφὴν προτιμῶντες, ἀλλὰ καὶ τῆς σωτηρίας αὐτῆς. Ἐγὼ μὲν οὖν ταῦτα διανοούμενος οὐκ ἀξιῶ τῆς χείρονος ἐμαυτὸν μερίδος· ὅ τι δ' ἂν ὑμῖν, ὦ θεοί, φαίνηται, τοῦτο εἰκός ἐστιν ἐμὲ δήπουθεν στέργειν.“ 5

[28] Δίδοται μετὰ τοῦτον τῷ Τραϊανῷ τοῦ λέγειν ἐξουσία· ὁ B δέ, καίπερ δυνάμενος λέγειν, ὑπὸ ῥᾳθυμίας (ἐ|πιτρέπειν γὰρ εἰώθει τὰ πολλὰ τῷ Σούρᾳ γράφειν ὑπὲρ αὑτοῦ) φθεγγόμενος μᾶλλον ἢ λέγων, ἐπεδείκνυεν αὐτοῖς τό τε Γετικὸν καὶ τὸ Παρθικὸν τρόπαιον. Ἠτιᾶτο δὲ τὸ γῆρας ὡς οὐκ ἐπιτρέψαν αὐτῷ τοῖς 10 Παρθικοῖς πράγμασιν ἐπεξελθεῖν. Καὶ ὁ Σειληνός „Ἀλλ', ὦ μάταιε“ ἔφη „εἴκοσι βεβασίλευκας ἔτη, Ἀλέξανδρος δὲ οὑτοσὶ δώδεκα. Τί οὖν ἀφεὶς αἰτιᾶσθαι τὴν σαυτοῦ τρυφὴν τὴν τοῦ χρό- C |νου μέμφῃ στενότητα;“

Παροξυνθεὶς οὖν ὑπὸ τοῦ σκώμματος – οὐδὲ γὰρ ἦν ἔξω τοῦ 15 δύνασθαι ῥητορεύειν, ὑπὸ δὲ τῆς φιλοποσίας ἀμβλύτερος ἑαυτοῦ πολλάκις ἦν – „Ἐγὼ δέ“ εἶπεν „ὦ Ζεῦ καὶ θεοί, τὴν ἀρχὴν παραλαβὼν ναρκῶσαν ὥσπερ καὶ διαλελυμένην ὑπό τε τῆς οἴκοι πολὺν χρόνον ἐπικρατησάσης τυραννίδος καὶ τῆς τῶν Γετῶν ὕβρεως, D μόνος ὑπὲρ τὸν | Ἴστρον ἐτόλμησα προσλαβεῖν ἔθνη, καὶ τὸ Γετῶν 20 ἔθνος ἐξεῖλον, οἳ τῶν πώποτε μαχιμώτατοι γεγόνασιν, οὐχ ὑπὸ ἀνδρείας μόνον τοῦ σώματος, ἀλλὰ καὶ ὧν ἔπεισεν αὐτοὺς ὁ τιμώμενος παρ' αὐτοῖς Ζάμολξις· οὐ γὰρ ἀποθνήσκειν, ἀλλὰ

16–17 ὑπὸ δὲ τῆς πολυποσίας [sic] — ἦν exstat in Exc. fol. 319r, l. 11s. et fol. 327v., l. 22s. ‖ **20–131,2** cf. Eust. in Dionys. Perieg. 304 p. 270,23–28 Müller (GGM II): Ὁ δὲ Ἰουλιανὸς ἔν τινι τῶν αὐτοῦ λόγων γράφει, ὅτι τὸ τῶν Γετῶν ἔθνος τῶν πώποτε μαχιμωτάτων, διά τε ἀνδρίαν καὶ διὰ τὸν Ζάμολξιν ὃν τιμῶσιν· οὐ γὰρ ἀποθνήσκειν ἀλλὰ μετοικίζεσθαι νομίζοντες ἑτοιμότερον θνήσκουσιν ἢ τὰς ἀποδημίας ὑπομένουσι.

4 ὑμῖν VM: ἡ- A ‖ **6** τοίνυν post δίδοται add. A ‖ **7** δυνάμενος MA: δ..ν...ος V (lac. in U) ‖ **8** γράφειν ὑπὲρ MA: .ρα....υπ... V (γράφειν ὑπὲρ U) | αὑτοῦ A: αὐτοῦ M: ..τοῦ V(U) | φθεγγόμενος MA: φθ...μ..ο. V (φ......... U) **10** τρόπαιον MA: τροπ.... V (τρό.... U) ‖ **11** Παρθικοῖς πράγμασιν MA: παρ.ι.... πρ.μασιν V (παρ.............σιν U) | ἐπεξελθεῖν VM: ἐξελθ- A **15** σκώμματος VA: σώμ- M ‖ **16** φιλοποσίας VA: πολυποσίας MExc. **18** ad ναρκῶσαν ὥσπερ cf. 30 infra p. 130,22 φόρους γὰρ ὥσπερ ‖ **20** τὰ ante ὑπὲρ add. Sylburg | προσλαβεῖν codd.: -βάλλειν vet. vulg.: -βαλεῖν Heusinger in adn.

μετοικίζεσθαι νομίζοντες ἑτοιμότερον αὐτὸ ποιοῦσιν ἢ τὰς ἀποδη-
μίας ὑπομένουσιν. Ἐπράχθη δέ μοι τὸ ἔργον τοῦτο ἐν ἐνιαυτοῖς
ἴσως που πέντε. Πάντων δὲ | ὅτι τῶν πρὸ ἐμοῦ γεγονότων 328A
αὐτοκρατόρων ὤφθην τοῖς ὑπηκόοις πρᾳότατος καὶ οὔτε Καῖσαρ
5 οὑτοσὶ περὶ τούτων ἀμφισβητήσειεν ἄν μοι οὔτ' ἄλλος οὐδὲ εἷς,
εὔδηλόν ἐστί που. Πρὸς Παρθυαίους δέ, πρὶν μὲν ἀδικεῖσθαι παρ'
αὐτῶν, οὐκ ᾠόμην δεῖν χρῆσθαι τοῖς ὅπλοις· ἀδικοῦσι δὲ ἐπεξῆλ-
θον οὐδὲν ὑπὸ τῆς ἡλικίας κωλυθείς, καίτοι διδόντων μοι τῶν
νόμων τὸ μὴ στρατεύεσθαι. Τούτων | δὴ τοιούτων ὄντων, ἆρ' οὐχὶ B
10 καὶ τιμᾶσθαι πρὸ τῶν ἄλλων εἰμὶ δίκαιος, πρᾷος μὲν πρὸς τοὺς
ὑπηκόους, φοβερὸς δὲ πρὸς τοὺς πολεμίους διαφερόντως γενόμε-
νος, αἰδεσθεὶς δὲ καὶ τὴν ὑμετέραν ἔγγονον φιλοσοφίαν;“ Τοιαῦτα
ὁ Τραϊανὸς εἰπὼν ἐδόκει τῇ πρᾳότητι πάντων κρατεῖν, καὶ δῆλοί
πως ἦσαν οἱ θεοὶ μάλιστα ἡσθέντες ἐπὶ τούτῳ.

15 [29] Τοῦ Μάρκου δὲ ἀρχομένου λέγειν ὁ Σειληνὸς ἠρέμα πρὸς
τὸν Διόνυσον „Ἀ|κούσωμεν“ ἔφη „τοῦ Στωικοῦ τουτουί, τί ποτε C
ἄρα τῶν παραδόξων ἐκείνων ἐρεῖ καὶ τεραστίων δογμάτων.“ Ὁ δὲ
ἀποβλέψας πρὸς τὸν Δία καὶ τοὺς θεούς „Ἀλλ' ἔμοιγε“ εἶπεν „ὦ
Ζεῦ καὶ θεοί, λόγων οὐθὲν δεῖ καὶ ἀγῶνος. Εἰ μὲν γὰρ ἠγνοεῖτε
20 τἀμά, προσῆκον ἦν ἐμοὶ διδάσκειν ὑμᾶς· ἐπεὶ δὲ ἴστε καὶ λέληθεν
ὑμᾶς τῶν ἁπάντων οὐθέν, αὐτοί μοι τιμᾶτε τῆς ἀξίας.“ Ἔδοξε δὴ
οὖν ὁ Μάρκος | τά τε ἄλλα θαυμάσιός τις εἶναι καὶ σοφὸς διαφε- D
ρόντως, ἅτε οἶμαι διαγινώσκων *λέγειν τε ὅπου χρὴ καὶ σιγᾶν ὅπου
καλόν*.

23–24 cf. Eur. fr. 413,2 Kannicht (σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές), Aesch. Choeph. 582 (σ. θ' ὅ. δεῖ κ. λ. τὰ καίρια)

1 ἑτοιμότερον αὐτὸ codd.: ἑτοιμοτέρους αὐτοὺς Sylburg | ἄλλοι post ἢ add. Reiske ‖ **2** τοῦτο om. A ‖ **3** ἴσως VM: εἴσω A | ἐμοῦ codd.: ἐμαυτοῦ Hertlein in app. ‖ **5** τούτων VM: πάντων A ‖ **6** δέ MA et U: μὲν V (sed δέ suprascr.) ‖ **7** ᾠόμην VA (cf. etiam Misop. 42 infra p. 212,16, epist. 14 p. 21,4 Bidez, epist. 82 p. 143,7 Bidez): ᾤμην M ‖ **7–8** ἐπεξῆλθον VM: ὑπεξ- A **8** οὐδὲν M: οὐδ' V: οὐδὲ A ‖ **10** καὶ τιμᾶσθαι V: τ. κ. MA ‖ **12** ὑμετέραν V: ἡ- MA | ἔγγονον VA: ἄγαν M: ἔκγονον Wright ‖ **17** ἐκείνων om. M ‖ **21** ὑμᾶς VA: ἡ- M | μοι VA: τε M: με Lacombrade, fortasse recte ‖ **23** διαγινώσκων V: -γιγνώσκειν A ‖ **23–132,1** verba διαγινώσκων — μετὰ τοῦτον om. M **23** τε codd.: θ' Cobet | σιγᾶν hoc loco mendum metricum constituit, quare Cobet σιγᾶν — λέγειν legere voluit | ὅπου[2] Cobet: -η codd.

[30] Τῷ Κωνσταντίνῳ μετὰ τοῦτον λέγειν ἐπέτρεπον. Ὁ δὲ
πρότερον μὲν ἐθάρρει τὴν ἀγωνίαν, ὡς δὲ ἀπέβλεπεν εἰς τὰ τῶν
ἄλλων ἔργα, μικρὰ παντάπασιν εἶδε τὰ ἑαυτοῦ. Δύο γὰρ τυράν-
329A νους, εἴ γε χρὴ τἀληθῆ φάναι, καθηρήκει, τὸν μὲν | ἀπόλεμόν τε
καὶ μαλακόν, τὸν δὲ ἄθλιόν τε καὶ διὰ τὸ γῆρας ⟨***⟩, ἀμφοτέρω 5
δὲ θεοῖς τε καὶ ἀνθρώποις ἐχθίστω. Τά γε μὴν ἐς τοὺς βαρβάρους
ἦν γελοῖα αὐτῷ (φόρους γὰρ ὥσπερ ἐτετελέκει) καὶ πρὸς τὴν
Τρυφὴν ἀφεώρα. Πόρρω δὲ εἱστήκει τῶν θεῶν αὕτη περὶ τὰ
πρόθυρα τῆς Σελήνης· ἐρωτικῶς τε οὖν εἶχεν αὐτῆς, καὶ ὅλος πρὸς
B ἐκείνην βλέπων οὐθὲν ἔ|μελεν αὐτῷ περὶ τῆς δίκης. 10

Ἐπεὶ δὲ ἐχρῆν καὶ αὐτὸν εἰπεῖν τι, „Ταύτῃ τούτων κρείττων“
ἔφη „εἰμί, τοῦ Μακεδόνος μέν, ὅτι πρὸς Ῥωμαίους καὶ τὰ Γερμα-
νικὰ καὶ Σκυθικὰ γένη καὶ οὐχὶ πρὸς τοὺς Ἀσιανοὺς βαρβάρους
ἠγωνισάμην, Καίσαρος δὲ καὶ Ὀκταβιανοῦ τῷ μή, καθάπερ
οὗτοι, πρὸς καλοὺς καὶ ἀγαθοὺς πολίτας στασιάσαι, τοῖς μιαρω- 15
C τάτοις δὲ καὶ πονηροτάτοις τῶν τυ|ράννων ἐπεξελθεῖν· Τραϊανοῦ
δὲ τοῖς μὲν κατὰ τῶν τυράννων ἀνδραγαθήμασιν εἰκότως ἂν
προτιμηθείην, τῷ δὲ ἣν οὗτος προσεκτήσατο χώραν ἀναλαβεῖν
ἴσος ἂν οὐκ ἀπεικότως νομιζοίμην, εἰ μὴ καὶ μεῖζόν ἐστι τὸ
ἀνακτήσασθαι τοῦ κτήσασθαι. Μάρκος δὲ οὑτοσὶ σιωπῶν ὑπὲρ 20
αὑτοῦ πᾶσιν ἡμῖν τῶν πρωτείων ἐξίσταται.“ Καὶ ὁ Σειληνός·
„Ἀλλ' ἢ τοὺς Ἀδώνιδος κήπους ὡς ἔργα ἡμῖν, ὦ Κωνσταντῖνε,
ἑαυτοῦ προφέρεις;“ „τί δέ“ εἶπεν „εἰσὶν οὓς λέγεις Ἀδώνιδος κή-

1 τοῦτον V: -ο A | ἐπέτρεπον VA: ἐπιτρέπων M ‖ **2** ἀπέβλεπεν Sylburg in adn.: ἀποβλέπων codd. ‖ **4** γε om. M | τἀληθῆ VA: -ὲς M | μὲν om. A **5** ἀσθενῆ „vel simile quid“ post γῆρας addere voluit Sylburg in adn. ‖ **6** ἐς VA: εἰς M ‖ **7** γελοῖα αὐτῷ V: α. γ. MA | ad φόρους γὰρ ὥσπερ cf. 28 supra p. 130,18 ναρκῶσαν ὥσπερ | ἐτετελέκει VA: ἐτέλει M: post ἐτετελέκει nonnulla excidisse putat Cobet ‖ **8** αὕτη Cobet: αὐτοῦ codd. (quod post περὶ τὰ transp. A) ‖ **9** οὖν om. M | ὅλος V: -ως AU: om. M ‖ **10** βλέπων VM: βλέποντι A (de nominativo pro casu obliquo ab Iuliano adhibito v. praef. XXVII) | ἔμελεν V: -λλ- MA | περὶ del. Asmus[1] | δίκης codd.: νίκης vet. vulg. ‖ **11** καὶ αὐτὸν εἰπεῖν VA: ε. κ. α. M ‖ **11–12** ταύτῃ τούτων κρείττων ἔφη εἰμί V: ταύτῃ κρ. ἔ. πάντων εἰμί M: ταύτῃ τούτων ἔ. κρ. εἰμί A ‖ **12** τοῦ Μακεδόνος μέν om. M ‖ **17** καὶ ἀγαθοὺς VA: κἀγαθοὺς M ‖ **18** τῷ δὲ VM: τὸ δὲ A ‖ **19** ἴσος Cantoclarus 1583: -ως codd. | μὴ supra lin. V ‖ **20** τοῦ κτήσασθαι om. M ‖ **21** αὑτοῦ VM: αὐ- A (U) ‖ **22** ἢ VM: ἢ A | Κωνσταντῖνε M: -νος VA ‖ **23** ἑαυτοῦ codd.: σεαυ- Hertlein (v. praef. XXV) | προφέρεις V: προσ- MA // σοι post προσφέρεις add. A | εἶπεν om. M | εἰσὶν om. A

|πους;“ „⟨Οὓς⟩ αἱ γυναῖκες“ ἔφη „τῷ τῆς Ἀφροδίτης ἀνδρὶ φυτεύ- D
ουσιν ὀστρακίοις ἐπαμησάμεναι γῆν λαχανίαν· χλοήσαντα δὲ
ταῦτα πρὸς ὀλίγον αὐτίκα ἀπομαραίνεται.“ Καὶ ὁ Κωνσταντῖνος
ἠρυθρίασεν, ἄντικρυς ἐπιγνοὺς τοιοῦτον τὸ ἑαυτοῦ ἔργον.

5 **[31]** Ἡσυχίας δὲ γενομένης οἱ μὲν ᾤκεσαν περιμένειν ὅτῳ
θήσονται τὴν ὑπὲρ τῶν πρωτείων οἱ θεοὶ ψῆφον· οἱ δ᾽ ᾤοντο δεῖν
τὰς προαιρέσεις εἰς τὸ ἐμ|φανὲς τῶν ἀνδρῶν προάγειν καὶ οὐ 330A
⟨κρίνειν⟩ ἐκ τῶν πεπραγμένων αὐτοῖς, ὧν ἡ Τύχη μετεποιεῖτο τὸ
πλεῖστον καὶ πάντων αὐτῶν καταβοῶσα παρειστήκει πλὴν
10 Ὀκταβιανοῦ μόνου· τοῦτον δὲ εὐγνώμονα πρὸς ἑαυτὴν εἶναι
ἔλεγεν.

Ἔδοξεν οὖν τοῖς θεοῖς ἐπιτρέψαι καὶ τοῦτο τῷ Ἑρμῇ, καὶ
ἔδοσαν αὐτῷ πρῶτον Ἀλεξάνδρου πυθέσθαι τί νομίσειε κάλλιστον
καὶ πρὸς | τί βλέπων ἐργάσαιτο καὶ πάθοι πάντα ὅσαπερ δεδράκοι B
15 τε καὶ πεπόνθοι. Ὁ δὲ ἔφη· „Τὸ πάντα νικᾶν.“ „Εἶτα“ εἶπεν ὁ
Ἑρμῆς „οἴει σοι τοῦτο πεποιῆσθαι;“ „Καὶ μάλα“ ἔφη ὁ Ἀλέξαν-
δρος. Ὁ δὲ Σειληνὸς τωθαστικῶς μάλα γελάσας „Ἀλλὰ ἐκράτουν
γέ σου πολλάκις αἱ ἡμέτεραι θυγατέρες“, αἰνιττόμενος τὰς ἀμπέ-
λους, τὸν Ἀλέξανδρον οἷα δή | τινα μέθυσον καὶ φίλοινον C
20 σκώπτων. Καὶ ὁ Ἀλέξανδρος ἅτε δὴ γέμων Περιπατητικῶν
παρακουσμάτων „Οὐ τὰ ἄψυχα“ ἔφη „νικᾶν (οὐδὲ γὰρ ἀγὼν ἡμῖν
ἐστι πρὸς ταῦτα), ἀλλὰ πᾶν μὲν ἀνθρώπων, πᾶν δὲ θηρίων
γένος.“ Καὶ ὁ Σειληνὸς ὥσπερ οἱ θαυμάζοντες εἰρωνικῶς μάλα
„Ἰού, ἰού“ ἔφη „τῶν διαλεκτικῶν κιγκλίδων. Αὐτὸς δὲ ἡμῖν ἐν
25 πο|τέρῳ σαυτὸν θήσεις γένει, τῶν ἀψύχων ἢ τῶν ἐμψύχων τε καὶ D

1 οὓς add. Toup (in: Heindorf, Theocriti … Carmina 1810, vol. II p. 356) **2** ἐπαμησάμεναι VM: -οι A | χλοήσαντα VA: χλοί- M ‖ **3** ὀλίγον αὐτίκα aegre legitur in V (sed habet U) | ἀπομαραίνεται evanidum in V (…….ίνεται U) ‖ **6** τὴν ὑπὲρ τῶν aegre legitur in V (ante ὑπὲρ lacuna in U) ‖ **7** τὸ ἐμφανὲς VM: τοὐμ- A (τὸ ἐμφανὲς etiam or. 2[3],1 p. 103D et 9 p. 116A; In Solem 19 infra p. 153,30) ‖ **7–8** οὐ ⟨κρίνειν⟩ Wright (post Hertlein, qui in app. „aliquid … excidisse, velut κρίνειν“ putavit): οὐκ codd. ‖ **10** ἑαυτὴν V: αὐ- MA ‖ **12** ἔδοξεν VM: -ξαν A ‖ **13** ἔδοσαν VM: ἔδεξεν A ‖ **14** ὅσαπερ VM: ὅσα A ‖ **14–15** δεδράκοι — πεπόνθοι M: -κει — -κει VA ‖ **16** σοι VM: ἐξ ἴσου A ‖ **16–17** ὁ Ἀλέξανδρος VM: ὦ -ε A (ὁ -ος suprascr. A[2]) **17** τωθαστικῶς VM: -ὸν A ‖ **18** πολλάκις om. M | αἰνιττόμενος VM: -ον A **18–19** αἰν. τὰς ἀμπ. del. Asmus[1] ‖ **20** ἅτε VA: οἷα M ‖ **25** ποτέρῳ σαυτὸν VA: -ρως αὐ- M

ζώντων;“ καὶ ὃς ὥσπερ ἀγανακτήσας „Εὐφήμει“ ἔφη· „ὑπὸ γὰρ μεγαλοψυχίας, ὅτι δὴ καὶ θεὸς γενοίμην, μᾶλλον δὲ εἴην, ἐπεπεί-σμην.“ „Αὐτὸς οὖν“ εἶπεν „ἡττήθης σεαυτοῦ πολλάκις, ὀργῆς ἢ λύπης ἤ τινος τοιούτου τὸν νοῦν καὶ τὰς φρένας ἥττω καὶ χείρω ποιήσας.“ „Ἀλλ᾽ αὐτὸν ἑαυτοῦ“ εἶπεν ὁ Ἀλέξανδρος „κρατεῖν καὶ 5
331A ἡττᾶσθαι ὁμωνύμως ⟨λέγεται⟩· ἐμοὶ δὲ ἦν ὑπὲρ τῶν πρὸς | ἄλλους ὁ λόγος.“ „Βαβαὶ τῆς διαλεκτικῆς“ εἶπεν „ὅπως ἡμῶν τὰ σοφίσματα διελέγχεις. Ἀλλ᾽ ἡνίκα“ εἶπεν „ἐν Ἰνδοῖς ἐτρώθης καὶ ὁ Πευκέστης ἔκειτο παρὰ σέ, σὺ δὲ ἐξήγου ψυχορραγῶν τῆς πόλεως, ἆρα ἥττων ἦσθα τοῦ τρώσαντος, ἢ καὶ ἐκεῖνον ἐνίκας;“ 10
„Οὐκ ἐκεῖνον“ ἔφη „μόνον, ἀλλὰ καὶ αὐτὴν ἐξεπόρθησα τὴν πόλιν.“ „Οὐ σύ γε“ εἶπεν „ὦ μακάριε· σὺ μὲν γὰρ ἔκεισο κατὰ
B τὸν Ὁμηρικὸν Ἕκτορα *ὀλιγοδρανέων* καὶ ψυχορραγῶν· οἱ | δὲ ἠγωνίζοντο καὶ ἐνίκων.“ „Ἡγουμένων ἡμῶν“ εἶπεν ὁ Ἀλέξαν-δρος. Καὶ ὁ Σειληνός· „Πῶς; οἵ γε ἐφέρεσθε μικροῦ νεκροί;“ εἶτα 15
ᾖδε τῶν ἐξ Εὐριπίδου·

„Οἴμοι, καθ᾽ Ἑλλάδα ὡς κακῶς νομίζεται,
ὅταν τρόπαιον πολεμίων στήσῃ στρατός.“

C Καὶ ὁ Διόνυσος „Παῦσαι“ εἶπεν „ὦ | παππίδιον, τοιαῦτα λέγον, μή σε οὗτος ὁποῖα τὸν Κλεῖτον ἔδρασεν ἐργάσηται.“ Καὶ ὁ 20
Ἀλέξανδρος ἐρυθριάσας τε ἅμα καὶ ὥσπερ συγχυθεὶς ὑπὸ τῶν δακρύων τὰ ὄμματα ἐσιώπα. Καὶ ὅδε μὲν ὧδε ἔληξεν ὁ λόγος.

[32] Ὁ δὲ Ἑρμῆς ἤρετο πάλιν τὸν Καίσαρα· „Σοὶ δέ“ εἶπεν „ὦ Καῖσαρ, τίς ἐγένετο σκοπὸς τοῦ βίου;“ „Τὸ πρωτεύειν“ ἔφη
D „τῆς ἐμαυτοῦ καὶ | μηθενὸς εἶναι μήτε νομίζεσθαι δεύτερον.“ 25

13 cf. Hom. O 246, X 337 ‖ **17–18** Eur. Andr. 693s.

3 ⟨ὑπ᾽⟩ ὀργῆς Petavius in adn. ‖ **3–5** ὀργῆς — ποιήσας del. Cobet, fortasse recte ‖ **6** „Erat, qui λέγεται deesse putabat“ Heusinger ‖ **11** ἐξεπόρθησα VM: -θουν A ‖ **12** κατὰ macula obrutum in V (sed habet U) ‖ **13** καὶ ψυχορραγῶν glossema esse e textu superiore (l. 9) repetitum suspicor **14** γ᾽ post ἡγουμένων add. Cobet ‖ **17** κακῶς V (et Eur.): -ὸς MA **20** λέγον V: -ων MA | Κλεῖτον M: Κλῖτ- VA | ἔδρασεν „fortasse delendum“ (Hertlein in app.) ‖ **21** ἐρυθριάσας VM: -ώσας A ‖ **22** ὅδε VA: ὁ M ‖ **25** τῆς VM: ταῖς A | εἶναι μήτε codd.: aut εἶναι μηδὲ aut μήτε εἶναι μήτε legere vult Hertlein in app. (v. praef. XXVI) | δεύτερον VM: -ος A

„Τοῦτο“ εἶπεν ὁ Ἑρμῆς „ἀσαφές ἐστι· πότερον γάρ, εἰπέ, κατὰ σοφίαν ἢ τὴν ἐν τοῖς λόγοις δεινότητα ἢ πολεμικὴν ἐμπειρίαν ἢ πολιτικὴν δύναμιν;“ „Ἦν μὲν οὖν“ ἔφη ὁ Καῖσαρ „ἡδύ μοι τῶν πάντων ἐν πᾶσιν εἶναι πρώτῳ· τούτου δὲ οὐ δυνάμενος ἐπιτυχεῖν,
5 τὸ δύνασθαι μέγιστον παρὰ τοῖς ἐμαυ|τοῦ πολίταις ἐζήλωσα.“ 332A
„Σὺ δέ“ εἶπεν „ἐδυνήθης τι μέγα;“ πρὸς αὐτὸν ὁ Σειληνός· καὶ ὅς „Πάνυ γε“ ἔφη· „κύριος γοῦν αὐτῶν ἐγενόμην.“ „Ἀλλὰ τοῦτο μέν“ εἶπεν „ἐδυνήθης· ἀγαπηθῆναι δὲ ὑπ᾿ αὐτῶν οὐχ οἷός τε ἐγένου, καὶ ταῦτα πολλὴν μὲν ὑποκρινάμενος ὥσπερ ἐν δράματι
10 καὶ σκηνῇ φιλανθρωπίαν, αἰσχρῶς δὲ | αὐτοὺς πάντας B
κολακεύων.“ „Εἶτα οὐκ ἀγαπηθῆναι δοκῶ“ εἶπεν „ὑπὸ τοῦ δήμου τοῦ διώξαντος Βροῦτον καὶ Κάσσιον;“ „Οὐκ ἐπειδή σε ἀπέκτειναν“ ἔφη· „διὰ τοῦτο μὲν γὰρ αὐτοὺς ὁ δῆμος ἐψηφίσατο εἶναι ὑπάτους· ἀλλὰ διὰ τὸ ἀργύριον, ἐπειδὴ τῶν διαθηκῶν ἀκροασάμε-
15 νοι μισθὸν ἑώρων τῆς ἀγανακτήσεως αὐτοῖς οὔτι τὸν τυχόντα προσεγγεγραμμένον.“

[33] Λήξαντος | δὲ καὶ τοῦδε τοῦ λόγου τὸν Ὀκταβιανὸν αὖθις C
ὁ Ἑρμῆς ἐκίνει· „Σὺ δέ“ εἶπεν „οὐκ ἐρεῖς ἡμῖν τί κάλλιστον ἐνόμιζες εἶναι;“ καὶ ὅς „Βασιλεῦσαι“ ἔφη „καλῶς.“ „Τί δέ ἐστι τὸ
20 καλῶς, ὦ Σεβαστέ, φράσον· ἐπεὶ τοῦτό γε ἔστι καὶ τοῖς πονηροτάτοις λέγειν. Ὤιετο γοῦν καὶ ὁ Διονύσιος καλῶς βασιλεύειν καὶ ὁ τούτου μιαρώτερος Ἀγαθοκλῆς.“ „Ἀλλὰ ἴστε“ εἶπεν „ὦ θεοί, ὡς προπέμπων τὸν θυγατριδοῦν ηὐξάμην ὑμῖν | τόλμαν μὲν αὐτῷ D
δοῦναι τὴν Καίσαρος, δεινότητα δὲ τὴν Πομπηίου, τύχην δὲ τὴν
25 ἐμήν.“ „Πολλά“ εἶπεν ὁ Σειληνός „καὶ θεῶν ὄντως σωτήρων ἔργα δεόμενα συνεφόρησεν οὗτος ὁ κοροπλάθος.“ „Εἶτα διὰ τί τοῦτο“ ἔφη „τὸ ὄνομά μοι γελοῖον οὕτως ἔθου;“ „Ἢ γὰρ οὐκ ἔπλαττες

1 γάρ om. A | εἰπέ Hertlein in app.: εἶπε codd. ‖ **3** οὖν om. MA **6** ἐδυνήθης M: ἠδ- VA | τι Lacombrade: τί VA: om. M, del. Hertlein **8** εἶπεν om. V | ἐδυνήθης VM: -άσθης A ‖ **9** μὲν om. A ‖ **12** Κάσσιον VM: Κάσι- A ‖ **13** μὲν om. MA | ἐψηφίσατο VM: -σαντο A ‖ **15** οὔτι Hertlein: οὗτοι VM: ὅτι A ‖ **16** προσεγγεγραμμένον V: ἐγγεγρ- M: προσγεγρ- A **19** ἔφη VM: εἶπε A ‖ **20** ὦ om. V | ἔστι Sylburg: ἐστὶ codd. ‖ **21** γοῦν A: οὖν VM | ὁ Διονύσιος A: Διονύσιος M: ......ος V (lacuna in U) ‖ **22** ὡς MA (U): macula in V ‖ **23** τὸν VA: τὴν M | ὑμῖν VM: ἡ- A ‖ **24** δοῦναι VA: δοθῆναι M ‖ **25** ὄντως VA: -ων M | ἔργα om. A ‖ **26** δεόμενα codd.: δέοντα vet. vulg. (sed δεόμενα Cantoclarus 1577) | κοροπλάθος VM: κυρο- A **27** ἔφη post εἶτα transp. A

ἡμῖν“ εἶπεν „ὥσπερ ἐκεῖνοι τὰς νύμφας, ὦ Σεβαστέ, θεούς, ὧν ἕνα
333A καὶ πρῶτον τουτονὶ Καίσαρα;“ καὶ | ὁ μὲν Ὀκταβιανὸς ὥσπερ
δυσωπούμενος ἀπεσιώπησεν.

[34] Ὁ δὲ Ἑρμῆς πρὸς τὸν Τραϊανὸν βλέψας „Σὺ δέ“ εἶπε „τί
διανοούμενος ἔπραττες ὅσαπερ ἔπραξας;“ „Τῶν αὐτῶν Ἀλεξάνδρῳ 5
σωφρονέστερον“ εἶπεν „ὠρέχθην.“ Καὶ ὁ Σειληνός „Ἡττήθης
οὖν“ εἶπε „σὺ τῶν ἀγεννεστέρων. Ὁ μὲν γὰρ θυμοῦ τὸ πλεῖστον
ἥττων ἦν, σὺ δὲ αἰσχρᾶς ἡδονῆς καὶ ἐπονειδίστου.“ „Βάλλ’ εἰς
B μα|καρίαν“ εἶπεν ὁ Διόνυσος „ἐπεὶ σκώπτεις σὺ πάντας αὐτοὺς
καὶ ποιεῖς οὐθὲν ὑπὲρ ἑαυτῶν λέγειν. Ἀλλὰ ἐπ’ ἐκείνων εἶχέ σοι 10
χώραν τὰ σκώμματα· πρόσεχε δὲ νῦν, ὅπως ἀντιλήψῃ τοῦ
Μάρκου. Δοκεῖ γὰρ εἶναί μοί πως ἀνὴρ κατὰ τὸν Σιμωνίδην
τετράγωνος ἄνευ ψόγου τετυγμένος.“

Καὶ ὁ Ἑρμῆς βλέψας εἰς τὸν Μάρκον „Σοὶ δέ“ εἶπεν „ὦ Βῆρε,
C τί κάλλιστον ἐδόκει τοῦ βίου τέλος εἶναι;“ καὶ | ὃς ἠρέμα καὶ 15
σωφρόνως· „Τὸ μιμεῖσθαι“ ἔφη „τοὺς θεούς.“ Ἔδοξε μὲν οὖν
εὐθέως ἡ ἀπόκρισις οὐκ ἀγεννής, ἀλλὰ καὶ τοῦ παντὸς ἀξία. Ἀλλὰ
καὶ ὁ Ἑρμῆς οὐκ ἐβούλετο πολυπραγμονεῖν, πεπεισμένος ὅτι
πάντα ὁ Μάρκος ἀκολούθως ἐρεῖ. Τοῖς μὲν οὖν ἄλλοις θεοῖς ἐδόκει
ταύτῃ· μόνος δὲ ὁ Σειληνός „Ἀλλ’ οὐ μὰ τὸν Διόνυσον ἀνέξομαι 20
τούτου τοῦ σοφιστοῦ. Τί δήποτε γὰρ ἤσθιες“ εἶπε „καὶ ἔπινες οὐχ
D ὥ|σπερ ἡμεῖς ἀμβροσίας τε καὶ νέκταρος, ἄρτου δὲ καὶ οἴνου;“
„Ἀλλ’ ἔγωγε“ εἶπεν „οὐχ ᾗπερ οὖν ᾤμην τοὺς θεοὺς μιμεῖσθαι,
ταύτῃ προσεφερόμην σιτία καὶ ποτά· τὸ σῶμα δὲ ἔτρεφον, ἴσως
μὲν ψευδῶς, πειθόμενος δὲ ὅτι καὶ τὰ ὑμέτερα σώματα δεῖται τῆς 25
ἐκ τῶν ἀναθυμιάσεων τροφῆς. Πλὴν οὐ κατὰ ταῦτά γε ὑμᾶς εἶναι

13 Simonides PMG 542,3

1 εἶπεν ὥσπερ ἐκεῖνοι VA: ὥ. ἐκεῖνος εἶπε M | ὧν VM: ὃν A
3 ἀπεσιώπησεν VM: ἐσιώπ- A ‖ **6** de δ’ post σωφρονέστερον addendo cog. Reiske ‖ **7** μὲν ante οὖν add. Hertlein in app. | καὶ ante σὺ add. Cobet ἀγεννεστέρων Cobet: ἀγενε- codd. ‖ **8** εἰς VA: ἐς M ‖ **9** σὺ πάντας VA: σύμπ- M ‖ **10** ἑαυτῶν VA: αὐτῶν M ‖ **12** πως VA: πῶς M ‖ **14** καὶ ὁ Ἑρμῆς MA: κ. ὁ Ἑ. δὲ V: ὁ Ἑ. δὲ Hertlein | εἰς VM: πρὸς A | σοὶ VA: σὺ M | βῆρε VM: σεβῆρε A ‖ **16** οὖν om. M ‖ **17** ἀγεννής VA: ἀγενής M ‖ **20** ἀλλ’ om. M ‖ **21** δήποτε γὰρ VA: δή γάρ ποτε M | εἶπε codd.: εἰπέ Hertlein in app. **25** ὑμέτερα VA: ἡ- M

μιμητέους, ἀλλὰ κατὰ τὴν διάνοιαν ὑπέ|λαβον." Ὀλίγον ὁ Σειλη- 334A
νὸς *ὥσπερ ὑπὸ πύκτου δεξιοῦ πληγείς* „Εἴρηται μέν σοι τοῦτο" εἶπε
„τυχὸν οὐκ ἀτόπως, ἐμοὶ δέ" ἔφη, „τοῦτο φράσον· τί ποτε ἐνόμι-
ζες εἶναι τὴν τῶν θεῶν μίμησιν;" καὶ ὅς· „Δεῖσθαι μὲν ὡς ἐλαχί-
5 στων, εὖ ποιεῖν δὲ ὡς ὅ τι μάλιστα πλείστους." „Μῶν οὖν" εἶπεν
„οὐθενὸς ἐδέου;" καὶ ὁ Μάρκος· „Ἐγὼ μὲν οὐθενός, ἴσως δὲ τὸ
σωμάτιόν μου μικρῶν."

[35] Δόξαντος οὖν καὶ τοῦτο ὀρθῶς εἰρηκέναι | τοῦ Μάρκου τὸ B
τέλος ἀπορούμενος ὁ Σειληνὸς ἐπιφύεται τοῖς περὶ τὸν παῖδα καὶ
10 τὴν γαμετὴν αὐτῷ δοκοῦσιν οὐκ ὀρθῶς οὐδὲ κατὰ λόγον πεποιῆ-
σθαι, τὴν μὲν ὅτι ταῖς ἡρωίναις ἐνέγραψε, τῷ δὲ ὅτι τὴν ἡγεμο-
νίαν ἐπέτρεψεν. „Ἐμιμησάμην" εἶπε „καὶ κατὰ τοῦτο τοὺς θεούς·
Ὁμήρῳ μὲν γὰρ ἐπειθόμην λέγοντι περὶ τῆς γαμετῆς ὅτι ἄρα
ὅστις *ἀγαθὸς καὶ ἐχέφρων*, | // *τὴν αὐτοῦ φιλέει καὶ κήδεται*. Περὶ C
15 δὲ τοῦ παιδὸς αὐτοῦ τοῦ Διὸς ἀπόφασιν ἔχω· αἰτιώμενος γὰρ τὸν
Ἄρεα ‚Πάλαι ἄν' εἶπεν ‚ἐβέβλησο τῷ κεραυνῷ, εἰ μὴ διὰ τὸ παῖδά
σε εἶναι ἠγάπων'. Ἄλλως τε καὶ οὐδὲ ᾤμην ἐγὼ τὸν παῖδα
πονηρὸν οὕτως ἔσεσθαι· εἰ δὲ ἡ νεότης ἐφ' ἑκάτερα μεγάλας
ποιουμένη ῥοπὰς ἐπὶ τὸ χεῖρον ἠνέχθη, οὐχὶ πονηρῷ τὴν ἡγεμο-
20 νίαν ἐπέτρεψα, συνηνέχθη δὲ τὸν λα|βόντα πονηρὸν γενέσθαι. Τά D
τε οὖν περὶ τὴν γυναῖκα πεποίηταί μοι κατὰ ζῆλον Ἀχιλλέως τοῦ
θείου, καὶ τὰ περὶ τὸν παῖδα κατὰ μίμησιν τοῦ μεγίστου Διός,
ἄλλως τε καὶ οὐθὲν καινοτομήσαντι. Παισί τε γὰρ νόμιμον
ἐπιτρέπειν τὰς διαδοχάς, καὶ τοῦτο ἅπαντες εὔχονται· τήν τε
25 γαμετὴν οὐκ ἐγὼ πρῶτος, ἀλλὰ μετὰ πολλοὺς ἄλλους ἐτίμη|σα. 335A

2 cf. Plat. Prt. 339e (ὡσπερεὶ ὑπὸ ἀγαθοῦ πύκτου πληγείς) ‖ **14** Hom. I 341s. ‖ **16–17** cf. Hom. E 896–8 (ἐκ γὰρ ἐμεῦ γένος ἐσσί, ἐμοὶ δέ σε γείνατο μήτηρ· / εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὧδ' ἀΐδηλος / καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων) et O 117s. (verba Martis: εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ / κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίῃσιν)

1 ὑπέλαβον VM: ὑπερέβαλον A | ἰλιγγιάσας post ὀλίγον suppl. Thomas coll. Plat. Prot. 339e, διαπορήσας aut ἐπιστήσας „vel tale quid" post ὁ Σειληνὸς desiderat Reiske ‖ **2–5** εἶπε τυχὸν – μῶν οὖν om. M ‖ **3** οὐκ ἀτόπως om. A | τοῦτο om. V, del. Hertlein ‖ **6** οὐθενός VM: οὐδ- A ‖ **8** τὸ om. M **11** ἐνέγραψε ex ἔγραψε corr. A[2] ‖ **14** αὐτοῦ VA: αὐ- M (ut Homeri codd.) **14–15** περὶ δὲ om. M ‖ **15** ἔχω M: -ων VA ‖ **16** Ἄρεα VA: ἀέρα M ‖ **19** τὰς ante ῥοπὰς add. M (cf. Polyb. XV 6,8 ἡ τύχη ... εἰς ἑκάτερα ποιεῖ μεγάλας ῥοπάς) ‖ **23** παισί M: πᾶσι VA

Ἴσως δὲ τὸ μὲν ἄρξασθαι τῶν τοιούτων οὐκ ἐστὶν εὔλογον, τὸ δὲ ἐπὶ πολλῶν γενόμενον τοὺς οἰκειοτάτους ἀποστερεῖν ἐγγὺς ἀδικίας. Ἀλλ' ἔλαθον ἐμαυτὸν ἐγὼ μακρότερα ἀπολογούμενος πρὸς εἰδότας ὑμᾶς, ὦ Ζεῦ καὶ θεοί· διόπερ μοι τῆς προπετείας ταυτησὶ συγγνώμονες γένοισθε." 5

[36] Παυσαμένου δὲ καὶ τοῦδε τοῦ λόγου τὸν Κωνσταντῖνον ὁ B Ἑρμῆς ἤρετο· „Σὺ δὲ τί καλὸν ἐνόμισας;" „Πολλά" εἶπε | „κτησάμενον πολλὰ χαρίσασθαι ταῖς τε ἐπιθυμίαις ταῖς ἑαυτοῦ καὶ ταῖς τῶν φίλων ὑπουργοῦντα." Ἀνακαγχάσας οὖν ὁ Σειληνὸς μέγα „Ἀλλ' ἦ τραπεζίτης εἶναι" ἔφη „θέλων ἐλελήθεις σεαυτόν, 10 ὀψοποιοῦ καὶ κομμωτρίας βίον ἔχων; ᾐνίττετο δ' αὐτὰ πάλαι μὲν *ἥ τε κόμη τό τε εἶδος*, ἀτὰρ νῦν καὶ ἡ γνώμη σοῦ κατηγορεῖ." Τούτου μὲν οὖν ὁ Σειληνὸς πικρότερόν πως καθήψατο.

C [37] Σιωπῆς δὲ γενομέ|νης ἔφερον οἱ θεοὶ λάθρᾳ τὰς ψήφους· εἶτα ἐγένοντο ⟨αἱ⟩ πολλαὶ τῷ Μάρκῳ. Κοινολογησάμενος δὲ ὁ 15 Ζεὺς ἰδίᾳ πρὸς τὸν πατέρα προσέταξε κηρῦξαι τῷ Ἑρμῇ, ὁ δὲ ἐκήρυττεν· „Ἄνδρες οἱ παρελθόντες ἐπὶ τουτονὶ τὸν ἀγῶνα, νόμοι παρ' ἡμῖν εἰσι καὶ κρίσεις τοιαῦται γίνονται, ὥστε καὶ τὸν νικῶντα χαίρειν καὶ τὸν ἡττώμενον μὴ μέμφεσθαι. Πορεύεσθε οὖν" εἶπεν „ὅποι φίλον ἑκάστῳ, ὑπὸ θεοῖς ἡγεμόσι βιωσόμενοι τὸ 20 D ἐντεῦθεν· ἑλέσθω δ' ἕκα|στος ἑαυτῷ τὸν προστάτην τε καὶ ἡγεμόνα."

Μετὰ τὸ κήρυγμα τοῦτο ὁ μὲν Ἀλέξανδρος ἔθει πρὸς τὸν Ἡρακλέα, Ὀκταβιανὸς δὲ πρὸς τὸν Ἀπόλλωνα, ἀμφοῖν δὲ ἀπρὶξ εἴχετο τοῦ Διὸς καὶ Κρόνου Μάρκος. Πλανώμενον δὲ πολλὰ καὶ 25

12 Hom. Γ 55 (ἥ τε κόμη τό τε εἶδος)

1 οὐκ ἐστὶν V: ἐ. ο. MA | εὔλογον VA: ἄ- M ‖ **2–3** post μακρότερα desinit A, aliquot verbis ante (inde ab ἀποστερεῖν) succedit A² ‖ **3** μακρότερα VA: -ον M ‖ **5** γένοισθε V: γένεσθε [sic] MA² ‖ **8** ταῖς² om. A² | post ἑαυτοῦ desinit V, succedit V² ‖ **9** ταῖς om. V²M | ὑπουργοῦντα supervacaneum videri possit ‖ **10** μέγα post οὖν transp. A² | εἶναι ἔφη θέλων V²: εἶναι θέλων M: θέλων εἶναι A² | σεαυτόν V²M: -οῦ A² ‖ **11** κομμωτρίας V²M: -τηρίας A² ἔχων codd.: ἄγων Reiske: ζῶν Cobet | δ' V²: δὲ MA² ‖ **12** ἥ τε V²M (τε supra lin. M): εἴτε A² | τό τε V²M: καὶ τὸ A² ‖ **14** γενομένης V²M: γιν- A² post ψήφους nonnulla excidisse putat Boulenger² p. 63 ‖ **15** ἐγένοντο V²M: ἐγίν- A² | αἱ ante πολλαὶ suppl. Kassel ‖ **19** μὴ om. A² ‖ **20** ὅποι V²: οἷ M: ᾗ A² | καὶ ante βιωσόμενοι add. M ‖ **23** post μετὰ spatium vacuum in V² (etiam in U) usque post τοὺς παῖδας (p. 139,14) | καὶ ante ἔθει add. A²

περιτρέχοντα τὸν Καίσαρα κατελεήσας ὁ μέγας Ἄρης ἥ τε Ἀφροδίτη παρ' ἑαυτοὺς ἐκαλεσάτην· Τραϊανὸς δὲ παρὰ τὸν Ἀλέξανδρον ἔθει ὡς | ἐκείνῳ συγκαθεδούμενος. 336A

[38] Ὁ δὲ Κωνσταντῖνος, οὐχ εὑρίσκων ἐν θεοῖς τοῦ βίου τὸ
5 ἀρχέτυπον, ἐγγύθεν τὴν Τρυφὴν κατιδὼν ἔδραμε πρὸς αὐτήν· ἡ δὲ ὑπολαβοῦσα μαλακῶς καὶ περιβαλοῦσα τοῖς πήχεσι πέπλοις τε αὐτὸν ποικίλοις ἀσκήσασα καὶ καλλωπίσασα πρὸς τὴν Ἀσωτίαν ἀπήγαγεν, ἵνα καὶ τὸν Ἰησοῦν εὑρὼν ἀναστρεφόμενον καὶ προαγορεύοντα πᾶσιν „Ὅστις φθορεύς, ὅστις μιαιφόνος, ὅστις ἐναγὴς
10 καὶ | βδελυρός, ἴτω θαρρῶν· ἀποφανῶ γὰρ αὐτὸν τουτῳὶ τῷ ὕδατι B λούσας αὐτίκα καθαρόν, κἂν πάλιν ἔνοχος τοῖς αὐτοῖς γένηται, δώσω τὸ στῆθος πλήξαντι καὶ τὴν κεφαλὴν πατάξαντι καθαρῷ γενέσθαι“ σφόδρα ἄσμενος ἐνέτυχεν αὐτῷ, συνεξαγαγὼν τῆς τῶν θεῶν ἀγορᾶς τοὺς παῖδας. Ἐπέτριβον δὲ αὐτόν τε κἀκείνους οὐχ
15 ἧττον τῆς ἀθεότητος οἱ παλαμναῖοι δαίμονες, αἱμάτων συγγενῶν τιννύμενοι δίκας, ἕως ὁ Ζεὺς διὰ τὸν Κλαύδιον καὶ Κων|στάντιον C ἔδωκεν ἀναπνεῦσαι.

„Σοὶ δέ“ πρὸς ἡμᾶς λέγων ὁ Ἑρμῆς „δέδωκα τὸν πατέρα Μίθραν ἐπιγνῶναι· σὺ δὲ αὐτοῦ τῶν ἐντολῶν ἔχου, πεῖσμα καὶ
20 ὅρμον ἀσφαλῆ ζῶντί τε σεαυτῷ παρασκευάζων, καὶ ἡνίκα ἂν ἐνθένδε ἀπιέναι δέῃ, μετὰ τῆς ἀγαθῆς ἐλπίδος ἡγεμόνα θεὸν εὐμενῆ καθιστὰς σεαυτῷ.“

1 τε ante ὁ μέγας add. A² ‖ **2** ἑαυτοὺς Hertlein: -οῖς MA² ‖ **6** περιβαλοῦσα M: -λαβ- A² ‖ **7** καλλωπίσασα A²: καλλώπισα M ‖ **8** ἀπήγαγεν A²: ἐπ- M **8–13** verba ἵνα καὶ — καθαρῷ γενέσθαι desunt in M ‖ **8** ῑν (quas litteras ut Ἰησοῦν primus interpretatus est Heusinger) A²: υἱὸν vet. vulg. ‖ **13** ὁ δὲ ante σφόδρα add. M | αὐτῷ A²: -τῇ M ‖ **14** inde ab ἐπέτριβον denuo praesto est V² (etiam U) | τε om. A² | τε κἀκείνους om. V² (etiam U) spatio duodecim fere litterarum relicto ‖ **14–15** οὐχ ἧττον MA²: ὡς αἴτιον V² ‖ **17** ἔδωκεν V²A²: -καν M ‖ **18** σοὶ MA²: σὺ V² | ἡμᾶς MV²: ἐμὲ A² ‖ **20** τε om. M, suprascr. M² ‖ **21** ἐνθένδε V²A²: -έδε M ‖ **22** σεαυτῷ V²A²: αὑ-: σεαυτῶ fort. ex τε αὐτῶ corr. M

Ἰουλιανοῦ Αὐτοκράτορος εἰς τὸν βασιλέα Ἥλιον πρὸς Σαλούστιον

130B **[1]** Προσήκειν ὑπολαμβάνω τοῦ λόγου τοῦδε μάλιστα μὲν ἅπασιν, *ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει* καὶ τοῦ εἶναι καὶ λογικῆς ψυχῆς καὶ νοῦ μετείληφεν, οὐχ ἥκιστα δὲ τῶν ἄλλων C ἁπάντων ἐμαυτῷ· καὶ γάρ εἰμι τοῦ βα|σιλέως ὀπαδὸς Ἡλίου. Τούτου δὲ ἔχω μὲν οἴκοι παρ' ἐμαυτῷ τὰς πίστεις ἀκριβεστέρας· ὃ 5 δέ μοι θέμις εἰπεῖν καὶ ἀνεμέσητον, ἐντέτηκέ μοι δεινὸς ἐκ παίδων τῶν αὐγῶν τοῦ θεοῦ πόθος, καὶ πρὸς τὸ φῶς οὕτω δὴ τὸ αἰθέριον ἐκ παιδαρίου κομιδῇ τὴν διάνοιαν ἐξιστάμην, ὥστε οὐκ εἰς αὐτὸν μόνον ἀτενὲς ὁρᾶν ἐπεθύμουν, ἀλλὰ καί, εἴ ποτε νύκτωρ ἀνεφέλου D καὶ καθαρᾶς αἰ|θρίας οὔσης προέλθοιμι, πάντα ἀθρόως ἀφεὶς τοῖς 10 οὐρανίοις προσεῖχον κάλλεσιν, οὐκέτι ξυνιεὶς οὐδὲ εἴ τι λέγοι τις πρός με οὔτε αὐτὸς ὅ τι πράττοιμι προσέχων· ἐδόκουν τε περιεργότερον ἔχειν πρὸς αὐτὰ καὶ πολυπράγμων τις εἶναι, καί με τις 131A ἤδη ἀστρόμαντιν ὑπέλαβεν | ἄρτι γενειήτην. Καίτοι νὴ τοὺς θεοὺς

2 Hom. **P** 447, σ 131 ‖ **14** cf. Xen. Cyr. IV 6,5 (ἄρτι γενειάσκοντα), Theocr. Id. 11,9 (ἄρτι γενειάσδων), Call. hymn. 5,75s. (ἄρτι γένεια περκάζων) et Bulloch ad loc.; Pfeiffer Call. I p. 11 ad Schol. Flor. 18

tit. Ἰ. αὐτοκράτορος V: Ἰ. καίσαρος K: τοῦ Ἰ. TR (τοῦ om. R): τοῦ αὐτοῦ G πρ. Σαλούστιον V: πρ. Σαλουστῖνον K: om. h ‖ **2** ὅσσα Hom.: ὅσα codd. ἔπι πνείει codex Homericus „recentior quidam" (West; v. app. editionis Ludwichianae [Homeri Ilias vol. II, 1907] ad **P** 447) compluresque auctores Homerum citantes (e.g. Dio Prus. or. 23 [73 v. Arn.],1, Plut. Anim. an corp. aff. sint peiores 1 p. 500B): ἐπιπνείει codd. Iuliani et vet. vulg., complures codd. Homeri auctoresque Homerum citantes (e.g. [Plat.] Axioch. 367e; Plut. De am. prol. 3 p. 496B, Greg. Naz. Carm. quae spectant ad alios, PG XXXVII p. 1528,2; Porph. ad Il. 22,341; Stob. IV 34,47. 75; Schol. Hom. Il. P 447a1) **3** καὶ νοῦ om. f | μετείληφεν Hertlein: -φέναι V (έναι in ras.): -φότα f **6** δεινὸς VKC: -ῶς TLZ (et ante corr., ut vid., R): -ᾶ G ‖ **11** ξυνιεὶς codd.., Marcilius: ξυνεὶς Petavius, Spanheim | οὐδὲ codd.: οὐδὲν vet. vulg. | τι λέγοι τις V (τι ex τις corr.): τις λ. τι KC: τι λέγοιτο h ‖ **12** οὔτε codd.: οὐδὲ Hertlein (v. praef. p. XXVs.) | αὐτὸς V: ἐμαυτὸν f: ἐμαυτῷ Marcilius: αὐτὸς ἐμαυτῷ Petavius, Spanheim ‖ **14** ὑπέλαβεν V: ὑπελάμβανεν f: ὑπέλαβεν ⟨ἂν⟩ Lacombrade dub. in app. | γενειήτην V: -ῶντα f

οὔποτε τοιαύτη βίβλος εἰς ἐμὰς ἀφῖκτο χεῖρας, οὔτε ἠπιστάμην ὅ τί ποτέ ἐστι τὸ χρῆμά πω τότε.

Ἀλλὰ τί ταῦτα ἐγώ φημι, μείζω ἔχων εἰπεῖν, εἰ φράσαιμι ὅπως ἐφρόνουν τὸ τηνικαῦτα περὶ θεῶν; λήθη δὲ ἔστω τοῦ σκότους 5 ἐκείνου. Τοῦ δὲ ὅτι με τὸ οὐράνιον πάντῃ περιήστραπτε φῶς ἤγειρέ τε καὶ παρώξυνεν ἐπὶ τὴν θέαν, ὥστε ἤδη καὶ τῆς σελήνης τὴν ἐναντίαν πρὸς τὸ πᾶν αὐτὸς ἀπ' ἐμαυτοῦ κίνησιν ξυν|εῖδον, B οὐδενί πω ξυντυχὼν τῶν τὰ τοιαῦτα φιλοσοφούντων, ἔστω μοι τὰ ῥηθέντα σημεῖα.

10 [2] Ζηλῶ μὲν οὖν ἔγωγε τῆς εὐποτμίας καὶ εἴ τῳ τὸ σῶμα παρέσχε θεὸς ἐξ ἱεροῦ καὶ προφητικοῦ συμπαγὲν σπέρματος ἀναλαβόντι σοφίας ἀνοῖξαι θησαυρούς· οὐκ ἀτιμάζω δὲ ταύτην, ἧς ἠξιώθην αὐτὸς παρὰ τοῦ θεοῦ τοῦδε μερίδος ἐν τῷ κρατοῦντι καὶ βασιλεύοντι τῆς γῆς γένει τοῖς κατ' ἐμαυτὸν χρόνοις γενόμενος, 15 ἀλλ' ἡγοῦμαι {κοινότερον μέν}, | εἴπερ χρὴ πείθεσθαι τοῖς σοφοῖς, C ἁπάντων ἀνθρώπων εἶναι τοῦτον κοινὸν πατέρα – λέγεται γὰρ ὀρθῶς *ἄνθρωπος ἄνθρωπον γεννᾶν καὶ ἥλιος* –, ψυχὰς ⟨δὲ⟩ οὐκ ἀφ' ἑαυτοῦ μόνον, ἀλλὰ καὶ παρὰ τῶν ἄλλων θεῶν *σπείρειν εἰς γῆν*, ἐφ' ὅ τι δὲ χρῆμα, δηλοῦσιν αὗται τοῖς βίοις οὓς προαιροῦνται. 20 Κάλλιστον μὲν οὖν, εἴ τῳ ξυνηνέχθη καὶ πρὸ τριγονίας ἀπὸ

17 Arist. Phys. II 2 p. 194b13 (ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος) **18** cf. Plat. Tim. 42d (ἔσπειρεν τοὺς μὲν εἰς γῆν)

1 οὔποτε V: -πω f ‖ **2** πω τότε Cobet: πώποτε codd. ‖ **3** ἔχων VKCG: -ω RTLZ | fortasse ⟨ἢ⟩ εἰ legendum ‖ **4** τὸ VL (et post corr., ut vid., T): τῶ codd. rell. (om. R) | τῶν ante θεῶν dub. inser. Marcilius (in adn.) | δὲ VKCGR: τε TLZ ‖ **5** τοῦ δὲ Reiske: τὸ δὲ codd. | περιήστραπτε C (αι supra -τε scr.) GTZ: -πται KR: -ψε VL ‖ **8** ξυντυχὼν Vh: συν- KC | τὰ[1] om. KC **10** τῆς εὐποτμίας: τ. -τυχίας suprascr. C ‖ **12** ἀναλαβόντι VKCGR (θελήσαντι suprascr. C): -τα TLZ | ἀτιμάζω V (ex -ων corr.) CGR et, ut. vid., TL : -ων KZ ‖ **14** γενόμενος VKCTL : -ον GRZ ‖ **15** κοινότερον (V: καιν- f, κοιν- in mg. R) μέν del. Petavius in adn. (post λέγεται γὰρ transpos. Reiske, add. δὲ post ὀρθῶς): ⟨μὴ⟩ καιν. μέν Prato (coll. 31 infra p. 162,7 τοῦτο … λέγοντες οὐ καινοτομοῦμεν), sed ⟨οὐ⟩ καιν. μέν Marcone ad loc ‖ **17** γεννᾶν: -ᾷ C | δὲ add. vet. vulg. ‖ **18** παρὰ VCh: περὶ K | σπείρειν codd.: -ων Hertlein in app. (Marcilii δὲ non accepto) ‖ **19** αὗται: suprascr. αἱ ψυχαί C τοῖς βίοις VK C (βίοις post προαιροῦνται transp. et τοῖς om., sed supra lineam corr.): ταῖς βίβλοις h | οὓς VKCGRZ: ἃς T (suprascr.) L **20** ξυνηνέχθη V: συν- f | καὶ om. C

πολλῶν πάνυ προπατόρων ἐφεξῆς τῷ θεῷ δουλεῦσαι· μεμπτὸν δὲ
D οὐδὲ ὅστις | ἐπεγνωκὼς ἑαυτὸν τοῦ θεοῦ τοῦδε θεράποντα φύσει
μόνος ἐξ ἁπάντων ἢ ξὺν ὀλίγοις αὑτὸν ἐπιδίδωσι τῇ θεραπείᾳ τοῦ
δεσπότου.

[3] Φέρε οὖν, ὅπως ⟨ἂν⟩ οἷοί τε ὦμεν, ὑμνήσωμεν αὐτοῦ τὴν 5
ἑορτήν, ἣν ἡ βασιλεύουσα πόλις ἐπετησίοις ἀγάλλει θυσίαις.
Ἔστι μὲν οὖν, εὖ οἶδα, χαλεπὸν καὶ τὸ ξυνεῖναι περὶ αὐτοῦ μόνον
132A ὁπόσος τίς ἐστιν ὁ ἀφανὴς ἐκ τοῦ φανεροῦ λογισαμένῳ, | φράσαι
δὲ ἴσως ἀδύνατον, εἰ καὶ τῆς ἀξίας ἔλαττον ἐθελήσειέ τις. Ἐφικέ-
σθαι μὲν γὰρ τοῦ πρὸς ἀξίαν εὖ οἶδα ὅτι τῶν ἁπάντων οὐθεὶς ἂν 10
δύναιτο, τοῦ μετρίου δὲ μὴ διαμαρτεῖν ἐν τοῖς ἐπαίνοις τὸ
κεφάλαιόν ἐστι τῆς ἀνθρωπίνης ἐν τῷ δύνασθαι φράζειν δυνάμεως.
Ἀλλ' ἔμοιγε τούτου παρασταίη βοηθὸς ὅ τε λόγιος Ἑρμῆς ξὺν
ταῖς Μούσαις ὅ τε Μουσηγέτης Ἀπόλλων – ἐπεὶ καὶ αὐτῷ προσ-
B ήκει τῶν λόγων –, καὶ δοῖεν δὲ εἰπεῖν ὁπόσα | τοῖς θεοῖς φίλα 15
λέγεσθαί τε καὶ πιστεύεσθαι περὶ αὐτῶν.

[4] Τίς οὖν ὁ τρόπος ἔσται τῶν ἐπαίνων; ἢ δῆλον ὅτι περὶ τῆς
οὐσίας αὐτοῦ, καὶ ὅθεν προῆλθε, καὶ τῶν δυνάμεων καὶ τῶν
ἐνεργειῶν διελθόντες ὁπόσαι φανεραὶ ὅσαι τε ἀφανεῖς, καὶ περὶ
τῆς τῶν ἀγαθῶν δόσεως, ἣν κατὰ πάντας ποιεῖται τοὺς κόσμους, 20
οὐ παντάπασιν ἀπᾴδοντα ποιησόμεθα τῷ θεῷ τὰ ἐγκώμια; ῥητέον
δὲ ἔνθεν.

C [5] Ὁ θεῖος οὗτος καὶ πάγκαλος κόσμος | ἀπ' ἄκρας ἁψῖδος
οὐρανοῦ μέχρι γῆς ἐσχάτων ὑπὸ τῆς ἀλύτου συνεχόμενος τοῦ θεοῦ

23–24 Max. Tyr. 10,9c ὑπὲρ ἄκραν τὴν οὐρανοῦ ἁψῖδα; Procl. in Plat. Remp. II p. 200,21s. ἀπὸ τῆς ἄκρας ἁψῖδος τοῦ οὐρανοῦ τεταμένον ἕως τοῦ κέντρου τῆς γῆς; cf. Plat. Phdr. 247e

1 πολλῶν om. h | πάνυ: πάντες K ‖ **2** οὐδέ om. C | φύσει VC: -εως K: -ιν R (suprascr.) GZ: τὴν φύσιν T (τήν supra lineam) L ‖ **3** ξὺν V: σὺν f ‖ **5** ἂν suppl. Hertlein | ὑμνήσωμεν VKCGTLZ: ὑπομνή- R | αὐτοῦ VKCGTLZ: -ήν R ‖ **7** ξυνεῖναι V: συν- f ‖ **8** λογισαμένῳ V: -σάμενος KCGR (cuius in marg. -σαμένοις): -σάμενον TLZ ‖ **12** δύνασθαι del. Klimek ‖ **13** ξὺν V: σὺν f **14** Μουσηγέτης V: Μουσι- f | αὐτῷ codd.: -οῖς Asmus[1] ‖ **15** δὲ Hertlein: τε codd. ‖ **16** αὐτῶν VKC: -οῦ h ‖ **18** αὐτοῦ Vh: -ῶν KC | προῆλθε Vh: -ον KC ‖ **19** καὶ ante ὅσαι add. f ‖ **20** δόσεως VKC: δυναμένως (i.e. δυνάμεως?) h τοὺς κόσμους VKCGR: τῷ κόσμῳ TLZ ‖ **21–22** ῥητέον δὲ ἔνθεν codd.: ἀρκτέον δὲ ἐνθένδε Cobet (v. praef. XXV) ‖ **24** ἐσχάτων codd.: -ης vet. vulg.

προνοίας ἐξ ἀιδίου γέγονεν ἀγέννητος ἔς τε τὸν ἐπίλοιπον χρόνον ἀίδιος, οὐχ ὑπ' ἄλλου του φρουρούμενος ἢ προσεχῶς μὲν ὑπὸ τοῦ πέμπτου σώματος, οὗ τὸ κεφάλαιόν ἐστιν *ἀκτὶς ἀελίου*, βαθμῷ δὲ ὥσπερ δευτέρῳ τῷ νοητῷ κόσμῳ, πρεσβυτέρως δὲ ἔτι διὰ *τὸν*
5 *πάντων βασιλέα, περὶ ὃν πάντα ἐστίν*. Οὗτος τοίνυν – εἴτε *τὸ ἐπέκεινα τοῦ νοῦ* καλεῖν αὐτὸν θέμις | εἴτε ἰδέαν τῶν ὄντων, ὃ δή D φημι τὸ νοητὸν ξύμπαν, εἴτε ἕν (ἐπειδὴ πάντων τὸ ἓν δοκεῖ πως πρεσβύτατον), εἴτε ὃ Πλάτων εἴωθεν ὀνομάζειν τἀγαθόν – αὕτη δὴ οὖν ἡ μονοειδὴς τῶν ὅλων αἰτία, πᾶσι τοῖς οὖσιν ἐξηγουμένη
10 κάλλους τε καὶ τελειότητος ἑνώσεώς τε καὶ δυνάμεως ἀμηχάνου, κατὰ τὴν ἐν αὐτῇ μένουσαν πρωτουργὸν οὐσίαν μέσον ἐκ μέσων τῶν νοερῶν καὶ δημιουργικῶν αἰτιῶν Ἥλιον θεὸν μέγιστον ἀνέφηνεν ἐξ ἑαυτοῦ πάντα ὅμοιον | ἑαυτῷ· καθάπερ καὶ ὁ δαιμό- 133A νιος οἴεται Πλάτων, „Τοῦτον τοίνυν“ λέγων „ἦν δὲ ἐγώ, φάναι
15 με λέγειν τὸν τοῦ ἀγαθοῦ ἔκγονον, ὃν τἀγαθὸν ἐγέννησεν ἀνάλογον ἑαυτῷ, ὅτιπερ αὐτὸ ἐν τῷ νοητῷ τόπῳ πρός τε νοῦν καὶ τὰ νοούμενα, τοῦτο τοῦτον ἐν τῷ ὁρατῷ πρός τε ὄψιν καὶ τὰ ὁρώμενα“.

[6] Ἔχει μὲν δὴ τὸ φῶς αὐτοῦ ταύτην οἶμαι τὴν ἀναλογίαν
20 πρὸς τὸ ὁρατόν, ἥνπερ πρὸς τὸ νοητὸν ἀλήθεια. Αὐτὸς δὲ ὁ

3 Pind. fr. 52k,1 Sn.-M.; Soph. Ant. 100 ‖ **4–5** cf. Plat. ep. 2 p. 312e (περὶ τὸν πάντων βασιλέα πάντ' ἐστὶ) ‖ **5–6** Arist. fr. 49 Rose (ὁ θεὸς ἢ νοῦς ἐστὶν ἢ ἐπέκεινά τι τοῦ νοῦ); Plot. 5,1,8 (τὸ ἐπέκεινα νοῦ); cf. Procl. Inst. Theol. 20 (ἐπέκεινα ἄρα τὸ ἓν τοῦ νοῦ) ‖ **14–18** Plat. Rep. VI 508bc (Τοῦτον τοίνυν, ἦν δ' ἐγώ, φάναι με λέγειν τὸν τοῦ ἀγαθοῦ ἔκγονον, ὃν τἀγαθὸν ἐγέννησεν ἀνάλογον ἑαυτῷ, ὅτιπερ αὐτὸ ἐν τῷ νοητῷ τόπῳ πρός τε νοῦν καὶ τὰ νοούμενα, τοῦτο τοῦτον ἐν τῷ ὁρατῷ πρός τε ὄψιν καὶ τὰ ὁρώμενα)

1 ἀγέννητος R (quod etiam Hertlein dub. proposuit in app.): -ήτως VKCGTLZ ‖ **4** τῷ νοητῷ κόσμῳ codd.: τοῦ -οῦ -ου Hertlein.: de ὑπὸ … κόσμου cog. Lacombrade ‖ **7** ξύμπαν V: σύμ- f | δοκεῖ πως V: -κεῖται KC: -κεῖ τὸ h ‖ **8** πρεσβύτατον VCh: -τερον K ‖ **9** ἡ om. h | ὅλων VKh: ἄλλων C ‖ **12** θεὸν f: -ῶν V ‖ **13** ἑαυτοῦ VKC: -ῆς h | πάντα VKCGTLZ: -η R ἑαυτῷ URTLZ: ἐν ἑαυτῷ V (sed ἐν del.) KC: ἐναυτω G (ex ἑαυτω, ut videtur) **14–15** φάναι με Plat.: φαίνομαι codd. ‖ **15** τἀγαθὸν R Plat.: ἀγ- VKCGTLZ **15–16** ἀνάλογον Plat.: λόγον codd. ‖ **16** αὐτὸ Plat.: ἑαυτῶ codd. (in αὐτὸ, ut videtur, corr. R) | τε Plat.: γε codd. ‖ **17** τοῦτο R Plat.: om. VKCGTLZ τοῦτον om. R ‖ **19** ταύτην codd.: αὐτὴν Prato ‖ **20** „Fort. ἀλήθεια “ Hertlein in app.

B ξύμπας, ἅτε δὴ τοῦ πρώτου | καὶ μεγίστου, τῆς ἰδέας τἀγαθοῦ, γεγονὼς ἔκγονος, ὑποστὰς αὐτοῦ περὶ τὴν μόνιμον οὐσίαν ἐξ ἀιδίου, καὶ τὴν ἐν τοῖς νοεροῖς θεοῖς παρεδέξατο δυναστείαν, ὧν τἀγαθόν ἐστι τοῖς νοητοῖς αἴτιον, ταῦτα αὐτὸς τοῖς νοεροῖς νέμων. Ἔστι δὲ αἴτιον οἶμαι τἀγαθὸν τοῖς νοητοῖς κάλλους, οὐσίας, 5 τελειότητος, ἑνώσεως, συνέχον αὐτὰ καὶ περιλάμπον ἀγαθοειδεῖ δυνάμει.

Ταῦτα δὴ καὶ τοῖς νοεροῖς Ἥλιος δίδωσιν, ἄρχειν καὶ C βασιλεύ|ειν αὐτῶν ὑπὸ τἀγαθοῦ τεταγμένος, εἰ καὶ συμπροῆλθον αὐτῷ καὶ συνυπέστησαν, ὅπως οἶμαι καὶ τοῖς νοεροῖς θεοῖς ἀγαθο- 10 ειδὴς αἰτία προκαθηγουμένη τῶν ἀγαθῶν πᾶσιν ἅπαντα κατὰ νοῦν εὐθύνῃ. Ἀλλὰ καὶ τρίτος ὁ φαινόμενος οὑτοσὶ δίσκος ἐναργῶς αἴτιός ἐστι τοῖς αἰσθητοῖς τῆς σωτηρίας, καὶ ὅσων ἔφαμεν τοῖς νοεροῖς θεοῖς τὸν μέγαν Ἥλιον ⟨αἴτιον⟩, τοσούτων καὶ ὁ φαινόμενος ὅδε τοῖς φανεροῖς. 15

[7] Τούτων δὲ ἐναργεῖς αἱ πίστεις ἐκ τῶν φαινομένων τὰ ἀφα- D |νῆ σκοποῦντι. Φέρε δὴ πρῶτον αὐτὸ τὸ φῶς οὐκ εἶδός ἐστιν ἀσώματόν τι ⟨καὶ⟩ θεῖον τοῦ κατ’ ἐνέργειαν διαφανοῦς; αὐτὸ δὲ ὅ τί ποτέ ἐστι τὸ διαφανές, πᾶσι μὲν ὡς ἔπος εἰπεῖν συνυποκείμενον τοῖς στοιχείοις καὶ ὂν αὐτῶν προσεχὲς εἶδος, οὐ σωματοειδές 20 ⟨ἐστιν⟩ οὐδὲ συμμιγνύμενον οὐδὲ τὰς οἰκείας σώματι προσιέμενον ποιότητας. Οὔκουν ἰδίαν αὐτοῦ θέρμην ἐρεῖς, οὐ τὴν ἐναντίαν αὐτῇ ψυχρότητα, οὐ τὸ σκληρόν, οὐ τὸ μαλακὸν ἀποδώσεις, οὐδ’ ἄλλην

17–18 cf. Arist. De an. II 7 p. 418b3s. (περὶ φωτὸς πρῶτον λεκτέον τί ἐστιν. ἔστι δή τι διαφανές) ‖ **20–22** cf. Arist. De an. II 7 p. 418b14s. (τὸ διαφανὲς καὶ ... τὸ φῶς ... οὔτε πῦρ οὔθ’ ὅλως σῶμα οὐδ’ ἀπορροὴ σώματος οὐδενός)

1 ξύμπας V: σύμ- f | τῆς ἰδέας ut glossema del. Marcilius ‖ **4** θεοῖς post νοητοῖς add. Petavius et Spanheim | αὐτὸς codd.: -ῷ Marcilius: -οῖς Petavius et Spanheim ‖ **5** νοητοῖς h: ν. θεοῖς VKC (θεοῖς deleverat Horkel) **6** συνέχον KGTLZ: -ων V^{ac}CR (praemisso θεός) | αὐτὰ V: αὖ f: αὐτοὺς Asmus^{1+3} (servato θεοῖς post νοητοῖς) | περιλάμπον VKGTLZ: -ων CR **8–9** a verbis καὶ βασιλεύειν incipit O ‖ **13** τῆς om. h ‖ **13–14** ὅσων — τοσούτων VO: -ον — -ον Ch (-ων — -ων corr. R in mg.) ‖ **14** αἴτιον post Hertlein addidi („Aut post Ἥλιον excidit αἴτιον aut pro καὶ post τοσούτων scribendum est αἴτιος") ‖ **16** τούτων V: -του f ‖ **18** ἀσώματόν τι ⟨καὶ⟩ θεῖον Z (verisimiliter ex coniectura): ἀσ. τι θ. VOCGRTL: ἀσ. καὶ θ. vet. vulg. post διαφανοῦς lacunam ind. Marcilius ‖ **20** ὂν αὐτῶν V: ὧν αὐτὸ f **21** ἐστιν addidi | προσιέμενον Petavius in mg.: προ- codd.

| τινὰ τῶν κατὰ τὴν ἀφὴν διαφορῶν, οὔκουν οὐδὲ γεῦσιν οὐδὲ 134A
ὀδμήν· ὄψει δὲ μόνον ὑποπίπτει πρὸς ἐνέργειαν ὑπὸ τοῦ φωτὸς ἡ
τοιαύτη φύσις ἀγομένη. Τὸ δὲ φῶς εἶδός ἐστι ταύτης οἷον ὕλης
ὑπεστρωμένης καὶ παρεκτεινομένης τοῖς σώμασιν. Αὐτοῦ δὲ τοῦ
5 φωτὸς ὄντος ἀσωμάτου ἀκρότης ἂν εἴη τις καὶ ὥσπερ ἄνθος
ἀκτῖνες. Ἡ μὲν οὖν τῶν Φοινίκων δόξα, σοφῶν τὰ θεῖα καὶ
ἐπιστημόνων, ἄχραντον εἶναι ἐνέργειαν αὐτοῦ τοῦ καθαροῦ νοῦ
τὴν ἀπανταχῇ προϊοῦ|σαν αὐγὴν ἔφη· οὐκ ἀπᾴδει δὲ οὐδὲ ὁ λόγος, B
εἴπερ αὐτὸ τὸ φῶς ἀσώματον, εἴ τις αὐτοῦ μηδὲ τὴν πηγὴν
10 ὑπολάβοι σῶμα, νοῦ δὲ ἐνέργειαν ἄχραντον εἰς τὴν οἰκείαν ἕδραν
ἐλλαμπομένην, ἣ τοῦ παντὸς οὐρανοῦ τὸ μέσον εἴληχεν, ὅθεν
ἐπιλάμπουσα πάσης μὲν εὐτονίας πληροῖ τοὺς οὐρανίους κύκλους,
πάντα δὲ περιλάμπει θείῳ καὶ ἀχράντῳ φωτί.

[8] Τὰ μέντοι ἐν τοῖς θεοῖς ἔργα προϊόντα παρ’ αὐτοῦ μετρίως
15 τε ἡμῖν ὀλίγῳ πρότερον εἴρηται | καὶ ῥηθήσεται μετ’ ὀλίγον. C
Ὅσα δὲ ὁρῶμεν αὐτῇ πρῶτον ὄψει, ὄνομα μόνον ἐστὶν ἔργου
τητώμενον, εἰ μὴ προσλάβοι τὴν τοῦ φωτὸς ἡγεμονικὴν βοήθειαν.
Ὁρατὸν δὲ ὅλως εἴη ἂν τί μὴ φωτὶ πρῶτον ὥσπερ ὕλη τεχνίτῃ
προσαχθέν, ἵν’ οἶμαι τὸ εἶδος δέξηται; καὶ γὰρ τὸ χρυσίον ἁπλῶς
20 οὑτωσὶ κεχυμένον ἔστι μὲν χρυσίον, οὐ μὴν ἄγαλμα οὐδὲ εἰκών,
πρὶν ἂν ὁ τεχνίτης αὐτῷ περιθείη τὴν μορφήν. Οὐκοῦν καὶ ὅσα
πέφυκεν ὁρᾶσθαι μὴ ξὺν | φωτὶ τοῖς ὁρῶσι προσαγόμενα τοῦ D
ὁρατὰ εἶναι παντάπασιν ἐστέρηται. Διδοὺς οὖν τοῖς τε ὁρῶσι τὸ
ὁρᾶν τοῖς τε ὁρωμένοις τὸ ὁρᾶσθαι δύο φύσεις ἐνεργείᾳ μιᾷ τελειοῖ,
25 ὄψιν καὶ ὁρατόν· αἱ δὲ τελειότητες εἴδη τέ εἰσι καὶ οὐσία.

2–3 cf. Arist. De an. II 7 p. 418b9s. (φῶς δέ ἐστιν ἡ τούτου ἐνέργεια, τοῦ διαφανοῦς ᾗ διαφανές)

16–17 Suda τ 629 (ὄνομα μόνον ἐστὶν ἔργου τιμώμενον)

1 οὔκουν C: οὐκοῦν VOh ‖ **3** ὕλης VOCGTLZ: ὅλοις (ex ὅλης) R ‖ **6** αἱ ante ἀκτῖνες add. Klimek ‖ **8** ἀπανταχῇ V: -χοῦ Oh: -χ¯ C | ὁ om. TLZ **10** ὑπολάβοι VR: -ει OC: -η GTLZ ‖ **14** αὐτοῦ VOh: -ῷ C ‖ **15** τε codd.: γε Hertlein dub. in app. ‖ **16** πρῶτον V: πρότερον f ‖ **17** τητώμενον C: τιμ- VOh Suda | προσλάβοι VR: -ει OC: -η GTLZ ‖ **18** inde a verbis ὅλως εἴη ἂν incipit W ‖ **19** προσαχθέν V: προ- f ‖ **21** περιθείη codd.: -θῇ Hertlein (v. praef. XXVI) ‖ **22** ξύν V: σύν f

[9] Ἀλλὰ τοῦτο μὲν ἴσως λεπτότερον· ᾧ δὲ παρακολουθοῦμεν ξύμπαντες, ἀμαθεῖς καὶ ἰδιῶται, φιλόσοφοι καὶ λόγιοι, τίνα ἐν τῷ παντὶ δύναμιν ἀνίσχων ἔχει καὶ καταδυόμενος ὁ θεός; νύκτα καὶ
135A ἡμέραν ἐργάζεται καὶ μεθίστησι | φανερῶς καὶ τρέπει τὸ πᾶν. Καίτοι τίνι τοῦτο τῶν ἄλλων ἀστέρων ὑπάρχει; πῶς οὖν οὐκ ἐκ 5 τούτων ἤδη καὶ περὶ τῶν θειοτέρων πιστεύομεν, ὡς ἄρα καὶ τὰ ὑπὲρ τὸν οὐρανὸν ἀφανῆ καὶ θεῖα νοερῶν θεῶν γένη τῆς ἀγαθοειδοῦς ἀποπληροῦται παρ' αὐτοῦ δυνάμεως, ᾧ πᾶς μὲν ὑπείκει χορὸς ἀστέρων, ἕπεται δὲ ἡ γένεσις ὑπὸ τῆς τούτου κυβερνωμένη προμηθείας; οἱ μὲν γὰρ πλάνητες ὅτι περὶ αὐτὸν ὥσπερ βασιλέα 10
B χορεύοντες ἔν τισιν ὡρισμένοις | πρὸς αὐτὸν διαστήμασιν ἁρμοδιώτατα φέρονται κύκλῳ, στηριγμούς τινας ποιούμενοι καὶ πρόσω καὶ ὀπίσω πορείαν, ὡς οἱ τῆς σφαιρικῆς ἐπιστήμονες θεωρίας ὀνομάζουσι τὰ περὶ αὐτοὺς φαινόμενα, καὶ ὡς τὸ τῆς σελήνης αὔξεται καὶ λήγει φῶς, πρὸς τὴν ἀπόστασιν ἡλίου πάσχον, πᾶσί 15 που δῆλον.

Πῶς οὖν οὐκ εἰκότως καὶ τὴν πρεσβυτέραν τῶν σωμάτων ἐν τοῖς νοεροῖς θεοῖς διακόσμησιν ὑπολαμβάνομεν ἀνάλογον ἔχειν τῇ
C τοιαύτῃ τάξει; | λάβωμεν οὖν ἐξ ἁπάντων τὸ μὲν τελεσιουργὸν ἐκ τοῦ πάντα ἀποφαίνειν ὁρᾶν τὰ ὁρατικά – τελειοῖ γὰρ αὐτὰ διὰ τοῦ 20 φωτός –, τὸ δὲ δημιουργικὸν καὶ γόνιμον ἀπὸ τῆς περὶ τὸ ξύμπαν μεταβολῆς, τὸ δὲ ἐν ἑνὶ πάντων συνεκτικὸν ἀπὸ τῆς περὶ τὰς κινήσεις πρὸς ἓν καὶ τὸ αὐτὸ συμφωνίας, τὸ δὲ μέσον ἐξ ἑαυτοῦ μέσου, τὸ δὲ τοῖς νοεροῖς αὐτὸν ἐνιδρῦσθαι βασιλέα ἐκ τῆς ἐν τοῖς
D πλανωμένοις μέ|σης τάξεως. 25

[10] Εἰ μὲν οὖν ταῦτα περί τινα τῶν ἄλλων ἐμφανῶν ὁρῶμεν θεῶν ἢ τοσαῦτα ἕτερα, μή τοι τούτῳ τὴν περὶ τοὺς θεοὺς ἡγεμονίαν προσνείμωμεν· εἰ δὲ οὐκ ἔστιν οὐδὲν αὐτῷ κοινὸν πρὸς τοὺς ἄλλους ἔξω τῆς ἀγαθοεργίας, ἧς καὶ αὐτῆς μεταδίδωσι τοῖς πᾶσι,

2 ξύμπαντες V: ἅπ- f ‖ 2–3 τίνα ἐν τῷ παντὶ V: τὴν αὐτοῦ παντὶ f (παντὶ in ras. O) ‖ 3 ἔχει VOCW (ὄψει TLZ) ‖ 5 ὑπάρχει VC: -ον OW ‖ 7 τὸν οὐρανόν VOC et, ut vid., W (corr. τόν ex τῶν) ‖ 8 ἀποπληροῦται VO et, ut vid., C: -οῦνται W (-οῦντα TL) ‖ 18 ἀνάλογον codd.: ἀναλογίαν Marcilius τι post ἔχειν add. Boulenger[2] ‖ 20 πάντα Lacombrade dub. in app.: παντὸς codd.: πάντως Marcilius ‖ 21 ξύμπαν V: σύμ- f ‖ 23 τὸ αὐτὸ V: αὐτὸ f 23–24 τὸ δὲ μέσον – μέσου fortasse ut glossa, quae ineptam tautologiam profert, delendum ‖ 23 ἑαυτοῦ codd.: αὐ- Hertlein in app.: αὐ. ⟨τοῦ⟩ Praechter ‖ 28 οὐδὲν αὐτῷ κοινὸν V: αὐτοῦ κ. ο. f

μαρτυράμενοι τούς τε Κυπρίων ἱερέας, οἳ κοινοὺς ἀποφαίνουσι βωμοὺς Ἡλίῳ καὶ Διί, πρὸ τούτων δὲ ἔτι τὸν Ἀπόλλω συνεδρεύοντα τῷ θεῷ τῷδε παρακαλέσαντες μάρτυρα – φησὶ γὰρ ὁ θεὸς οὗτος· | „Εἷς Ζεύς, εἷς Ἀίδης, εἷς Ἥλιός ἐστι Σάραπις“ –, κοινὴν 136A
5 ὑπολάβωμεν, μᾶλλον δὲ μίαν Ἡλίου καὶ Διὸς ἐν τοῖς νοεροῖς θεοῖς δυναστείαν. Ὅθεν μοι δοκεῖ καὶ Πλάτων οὐκ ἀπεικότως φρόνιμον θεὸν Ἅιδην νομίσαι. Καλοῦμεν δὲ τὸν αὐτὸν τοῦτον καὶ Σάραπιν, τὸν ἀιδῆ δηλονότι καὶ νοερόν, πρὸς ὅν φησιν ἄνω πορεύεσθαι τὰς ψυχὰς τῶν ἄριστα βιωσάντων καὶ δικαιότατα. Μὴ γὰρ δή τις
10 ὑπολάβοι τοῦτον, ὃν οἱ μῦθοι πείθουσι φρίττειν, ἀλλὰ τὸν πρᾷον καὶ μείλιχον, | ὃς ἀπολύει παντελῶς τῆς γενέσεως τὰς ψυχάς, B οὐχὶ δὲ λυθείσας αὐτὰς σώμασιν ἑτέροις προσηλοῖ κολάζων καὶ πραττόμενος δίκας, ἀλλὰ πορεύων ἄνω καὶ ἀνατείνων τὰς ψυχὰς ἐπὶ τὸν νοητὸν κόσμον.

15 **[11]** Ὅτι δὲ οὐδὲ νεαρὰ παντελῶς ἐστιν ἡ δόξα, προὔλαβον δὲ αὐτὴν οἱ πρεσβύτατοι τῶν ποιητῶν, Ὅμηρός τε καὶ Ἡσίοδος, εἴτε καὶ νοοῦντες οὕτως εἴτε καὶ ἐπιπνοίᾳ θείᾳ καθάπερ οἱ μάντεις ἐνθουσιῶντες πρὸς τὴν ἀλήθειαν, ἔνθεν ἂν | γένοιτο γνώριμον· Ὁ C μὲν γενεαλογῶν αὐτὸν Ὑπερίονος ἔφη καὶ Θείας, μόνον οὐχὶ διὰ
20 τούτων αἰνιττόμενος τοῦ πάντων ὑπερέχοντος αὐτὸν ἔγγονον γνήσιον φῦναι· ὁ γὰρ Ὑπερίων τίς ἂν ἕτερος εἴη παρὰ τοῦτον; ἡ Θεία δὲ αὐτὴ τρόπον ἕτερον οὐ τὸ θειότατον τῶν ὄντων λέγεται; μὴ δὲ συνδυασμὸν μηδὲ γάμους ὑπολαμβάνωμεν, ἄπιστα καὶ παράδοξα ποιητικῆς μούσης ἀθύρματα, πατέρα δὲ αὐτοῦ καὶ γεν-
25 |νήτορα νομίζωμεν τὸν θειότατον καὶ ὑπέρτατον· τοιοῦτος δὲ τίς D

4 cf. Macr. Sat. I 18,18 (contulit Merkelbach, Isis Regina – Zeus Sarapis p. 83 n. 5) ‖ **6–7** cf. Plat. Phaed. 80d (εἰς Ἅιδου … παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν) ‖ **19** cf. Hes. Theog. 371–374

2 τοὺς ante βωμοὺς add. Asmus[3] | ἔτι f: ἐπὶ V ‖ **5** ὑπολάβωμεν VOC: -ομεν W (h) ‖ **6** οὐκ ἀπεικότως om. f ‖ **7** νομίσαι codd. (ὑμνίσε R in mg.): ὀνομάσαι Hertlein ‖ **8** ἀιδῆ VOW(h): ἀει- C ‖ **10** ὑπολάβοι codd.: -ῃ Hertlein ‖ **11** μείλιχον VOW (h): -ίχιον C | ὃς VOC: ὅστις W (h) | ἀπολύει V: -σει f ‖ **12** δὲ VOC: δὴ W (h) ‖ **13** ἄνω VOC: ἄν W (h) | τὰς ψυχὰς del. Asmus[3] ‖ **15** οὐδὲ V: οὐ f | παντελῶς: -λῆ O ‖ **17** καὶ[2] om. V ‖ **18** ἔνθεν codd.: ἐνθένδ’ Hertlein (v. praef. XXV) ‖ **19** γὰρ post μὲν add. TLZ et Asmus[3] ‖ **20** ἔγγονον V: ἔκγ- f ‖ **21** ἕτερος om. f ‖ **22** αὐτὴ V: αὕτη f **23** συνδυασμὸν f: -δοι- V ‖ **25** δὲ τίς V (ut vid.) OC et W (ut vid.): δέ τις vet. vulg. (δὲ τὶς [sic] Marcilius) ‖ **25–148,1** τίς ἂν ⟨ἄλλος⟩ Hertlein dub. in app.

ἂν ⟨ἄλλος⟩ εἴη τοῦ *πάντων ἐπέκεινα* καὶ περὶ ὃν πάντα καὶ οὗ ἕνεκα πάντα ἐστίν; Ὅμηρος δὲ αὐτὸν ἀπὸ τοῦ πατρὸς Ὑπερίονα καλεῖ, καὶ δείκνυσί γε αὐτοῦ τὸ αὐτεξούσιον καὶ πάσης ἀνάγκης κρεῖττον. Ὁ γάρ τοι Ζεύς, ὡς ἐκεῖνός φησιν, ἁπάντων ὢν κύριος τοὺς ἄλλους προσαναγκάζει, ἐν δὲ τῷ μύθῳ τοῦ θεοῦ τοῦδε λέγον- 5
137A τος ὅτι ἄρα διὰ τὴν ἀσέβειαν | τῶν Ὀδυσσέως ἑταίρων ἀπολείψει τὸν Ὄλυμπον, οὐκέτι φησὶν „Αὐτῇ κεν γαίῃ ἐρύσαιμ' αὐτῇ τε θαλάσσῃ" οὐδὲ ἀπειλεῖ δεσμὸν οὐδὲ βίαν, ἀλλὰ τὴν δίκην φησὶν ἐπιθήσειν τοῖς ἡμαρτηκόσιν, αὐτὸν δὲ ἀξιοῖ φαίνειν ἐν τοῖς θεοῖς. Ἆρ' οὐχὶ διὰ τούτων πρὸς τῷ αὐτεξουσίῳ καὶ τελεσιουργὸν εἶναί 10 φησι τὸν Ἥλιον; ἐπεὶ τί γὰρ αὐτοῦ οἱ θεοὶ δέονται, πλὴν εἰ μὴ
B πρὸς τὴν οὐσίαν αὐτοῖς καὶ τὸ εἶναι ἀφανῶς | ἐναστράπτων ὧν ἔφαμεν ἀγαθῶν ἀποπληρωτικὸς τυγχάνοι; τὸ γὰρ „Ἠέλιόν τ' ἀκάμαντα βοῶπις πότνια Ἥρη / πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι" πρὸ τοῦ καιροῦ φησι νομισθῆναι τὴν νύκτα διά 15 τινα χαλεπὴν ὁμίχλην. Αὕτη γὰρ ἡ θεός που καὶ ἄλλοθι τῆς
C ποιήσεώς φησιν „ἠέρα δ' Ἥρη / | πίτνα πρόσθε βαθεῖαν".

Ἀλλὰ τὰ μὲν τῶν ποιητῶν χαίρειν ἐάσωμεν – ἔχει γὰρ μετὰ τοῦ θείου πολὺ καὶ τὸ ἀνθρώπινον –, ἃ δὲ ἡμᾶς ἔοικεν αὐτὸς ὁ θεὸς διδάσκειν ὑπέρ τε αὐτοῦ καὶ τῶν ἄλλων, ἐκεῖνα ἤδη διέλθωμεν. 20

1 cf. Cels. Aleth. 7,45 (ἐν τοῖς νοητοῖς ἐκεῖνος … πάντων ἐπέκεινα ὤν); Plot. Enn. 5,3,11 (δεῖ τὸ πάντῃ ἁπλοῦν καὶ πρῶτον ἁπάντων ἐπέκεινα νοῦ εἶναι) **2–3** cf. Hom. Θ 480, α 8, al., Schol. D. Θ 480 ed. van Thiel ‖ **5–7** cf. Hom. μ 382s. ‖ **7–8** Hom. Θ 24 ‖ **8–9** cf. Hom. μ 384–388 ‖ **13–15** Hom. Σ 239s. **17** Hom. Φ 6s.

2 τοῦ om. f ‖ **6** ἀσέβειαν VOC: εὐ- W | ἑταίρων VOW (h): -αῖρον C ‖ **7** αὐτῇ κεν f: αὐτίκ' ἐν V ‖ **8** δεσμὸν VOW (h) : -ῶν C ‖ **10** τὸ ante τελεσιουργὸν add. Boulenger[2] (qui τοῦ Ἡλίου post φησι legere vult) ‖ **11** τὸν Ἥλιον W (h): τοῦ Ἡλίου VOC | ἐπεὶ codd.: ἐπὶ vet. vulg. ‖ **13** ἀποπληρωτικὸς V (quod ex ἀποπληκτ- corr. altera manus): ἀποπληστικὸς f (-άς W); vox ἀποπληστικὸς nusquam alias in scriptis Neoplatonicorum invenitur; cf. Procl. in Plat. Remp. I p. 136,25: ἀποπληρωτικοὶ … ἀγαθῶν, in Tim. I p. 213,6s.: τῶν ἀγαθῶν ἀποπληρωτική | τυγχάνοι V: -ει f ‖ **14** πέμψεν VOC: -ψαι W (h) ‖ **15** ἀέκοντα V: ἄκοντα OCW (GR): ἅπαντα TLZ | νέεσθαι VOC: ναί- W, ut vid. (h) | νομισθῆναι codd.: κομ- Marcilius in adn. ‖ **16** περὶ ἧς ante καὶ habet Marcilius in adn. ‖ **17** πίτνα VOC: πότνια W (h) | πρόσθε VO: -θεν W: πρός τε C ‖ **18** τὰ μὲν τῶν VOC: τῶν μέν W (h) ‖ **18–19** μετὰ — τὸ ἀνθρώπινον V: τι μετὰ — ἀνθρώπινον f ‖ **20** τε αὐτοῦ codd.: θ' ἑαυτοῦ Marcilius

[12] Ὁ περὶ γῆν τόπος ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. Τίς οὖν ἐστιν ὁ τὴν ἀιδιότητα δωρούμενος αὐτῷ; ἆρ' οὐχ ὁ ταῦτα μέτροις ὡρισμένοις συνέχων; ἄπειρον μὲν γὰρ | εἶναι φύσιν σώματος οὐχ D
οἷόν τε ἦν, ἐπεὶ μηδὲ ἀγέννητός ἐστι μηδὲ αὐθυπόστατος· ἐκ δὲ
5 τῆς οὔσης εἰ πάντως ἐγίνετό τι συνεχῶς, ἀνελύετο δὲ εἰς αὐτὴν μηδέν, ἐπέλειπεν ἂν τῶν γιγνομένων ἡ οὐσία. Τὴν δὴ τοιαύτην φύσιν ὁ θεὸς ὅδε μέτρῳ κινούμενος προσιὼν μὲν ὀρθοῖ καὶ ἐγείρει, πόρρω δὲ ἀπιὼν ἐλαττοῖ καὶ φθείρει· μᾶλλον δὲ αὐτὸς ἀεὶ ζωοποιεῖ κινῶν καὶ ἐποχετεύων αὐτῇ τὴν ζωήν, ἡ δὲ ἀπόλειψις
10 αὐτοῦ καὶ ἡ πρὸς θάτερα μετάστασις αἰτία γίνεται φθορᾶς τοῖς φθίνουσιν. Ἀεὶ | μὲν οὖν ἡ παρ' αὐτοῦ τῶν ἀγαθῶν δόσις ἴση 138A
κάτεισιν ἐπὶ τὴν γῆν· ἄλλοτε γὰρ ἄλλη δέχεται τὰ τοιαῦτα χώρα πρὸς τὸ μήτε τὴν γένεσιν ἐπιλείπειν μήτε τοῦ συνήθους ποτὲ τὸν θεὸν ἔλαττον ἢ πλέον εὖ ποιῆσαι τὸν παθητὸν κόσμον. Ἡ γὰρ
15 ταυτότης ὥσπερ τῆς οὐσίας, οὕτω δὴ καὶ τῆς ἐνεργείας ἐν τοῖς θεοῖς, καὶ πρό γε τῶν ἄλλων παρὰ τῷ βασιλεῖ τῶν ὅλων Ἡλίῳ, ὃς καὶ τὴν κίνησιν ἁπλουστάτην ὑπὲρ ἅπαντας ποιεῖται τοὺς τῷ παντὶ τὴν ἐναντίαν φε|ρομένους· ὃ δὴ καὶ αὐτὸ τῆς πρὸς τοὺς B
ἄλλους ὑπεροχῆς αὐτοῦ σημεῖον ποιεῖται ὁ κλεινὸς Ἀριστοτέλης.
20 [13] Ἀλλὰ καὶ παρὰ τῶν ἄλλων νοερῶν θεῶν οὐκ ἀμυδραὶ καθήκουσιν εἰς τὸν κόσμον τόνδε δυνάμεις. Εἶτα τί τοῦτο; μὴ γὰρ ἀποκλείομεν τοὺς ἄλλους, τούτῳ τὴν ἡγεμονίαν ὁμολογοῦντες δεδόσθαι; πολὺ δὲ πλέον ἐκ τῶν ἐμφανῶν ἀξιοῦμεν ὑπὲρ τῶν ἀφανῶν πιστεύειν. Ὥσπερ γὰρ τὰς ἐνδιδομένας ἅπασιν ἐκεῖθεν
25 δυνάμεις εἰς τὴν γῆν οὗτος φαίνεται τελεσιουργῶν καὶ συναρμόζων πρός τε | ἑαυτὸν καὶ τὸ πᾶν, οὕτω δὴ νομιστέον καὶ ἐν τοῖς C

18–19 Arist. Cael. II 12 p. 291b28–292a3 confert Prato, sed dubito an non recte. melius Lacombrade, qui Procl. in Tim. III p. 81,6ss. confert, sed ibi nulla Aristotelis mentio fit

2 post ἆρ' οὐχ desinit W | οὐχ ὁ VOh: οὐχί C ‖ **3** ὡρισμένοις om. h **5** οὔσης codd.: οὐσίας Marcilius | τι VO: τις Ch ‖ **6** ἡ om. h | δὴ VOC: δὲ h ‖ **8** ἀεὶ om. TLZ ‖ **9** ζωοποιεῖ VOh: -εῖν C ‖ **10** μετάστασις V: -θεσις f **11** φθίνουσιν f: φθείρ- V ‖ **12** τὴν γῆν VOC: τῇ γῇ h ‖ **13** τὴν om. h ἐπιλείπειν f: ἀπο- V | τοῦ om. h ‖ **13–14** τὸν θεὸν VOh: τῶν θεῶν C **15** δὴ codd.: δὲ Hertlein ‖ **16** ὃς VOCGR: οἳ TLZ ‖ **21** μὴ codd.: de μῶν cog. Prato, sed iunctura μῶν γάρ nusquam invenitur ‖ **22** ἀποκλείομεν f (-νομεν Z): -ωμεν V ‖ **23** δὲ om. h

ἀφανέσιν αὐτῶν τὰς συνουσίας ἔχειν πρὸς ἀλλήλας, ἡγεμόνα μὲν ἐκείνην, συμφωνούσας δὲ πρὸς αὐτὴν τὰς ἄλλας ἅμα. Ἐπεὶ καί, εἰ μέσον ἔφαμεν ἐν μέσοις ἱδρῦσθαι τὸν θεὸν τοῖς νοεροῖς θεοῖς, ποταπή τις ἡ μεσότης ἐστὶν ὧν αὖ χρὴ μέσον αὐτὸν ὑπολαβεῖν, αὐτὸς ἡμῖν ὁ βασιλεὺς εἰπεῖν Ἥλιος δοίη. Μεσότητα μὲν δή 5 φαμεν οὐ τὴν ἐν τοῖς ἐναντίοις θεωρουμένην ἴσον ἀφεστῶσαν τῶν D ἄκρων, | οἷον ἐπὶ χρωμάτων τὸ ξανθὸν ἢ φαιόν, ἐπὶ δὲ θερμοῦ καὶ ψυχροῦ τὸ χλιαρόν, καὶ ὅσα τοιαῦτα, ἀλλὰ τὴν ἑνωτικὴν καὶ συνάγουσαν τὰ διεστῶτα, ὁποίαν τινά φησιν Ἐμπεδοκλῆς τὴν ἁρμονίαν ἐξορίζων αὐτῆς παντελῶς τὸ νεῖκος. Τίνα οὖν ἐστιν, ἃ 10 συνάγει, καὶ τίνων ἐστὶ μέσος; φημὶ δὴ οὖν ὅτι τῶν τε ἐμφανῶν καὶ περικοσμίων θεῶν καὶ τῶν ἀΰλων καὶ νοητῶν, οἳ περὶ τἀγα- 139A θόν εἰσιν, ὥσπερ πολυπλα|σιαζομένης ἀπαθῶς καὶ ἄνευ προσθή- κης τῆς νοητῆς καὶ θείας οὐσίας.

[14] Ὡς μὲν οὖν ἐστι μέση τις, οὐκ ἀπὸ τῶν ἄκρων κραθεῖσα, 15 τελεία δὲ καὶ ἀμιγὴς ἀφ' ὅλων τῶν θεῶν ἐμφανῶν τε καὶ ἀφανῶν καὶ αἰσθητῶν καὶ νοητῶν ἡ τοῦ βασιλέως Ἡλίου νοερὰ καὶ πάγκαλος οὐσία, καὶ ὁποίαν τινὰ χρὴ τὴν μεσότητα νομίζειν, εἴρηται. Εἰ δὲ δεῖ καὶ τοῖς καθ' ἕκαστον ἐπεξελθεῖν, ἵν' αὐτοῦ καὶ B κατ' εἴδη τὸ μέσον τῆς οὐσίας – ὅπως ἔχει πρός τε τὰ πρῶτα | καὶ 20 τελευταῖα – τῷ νῷ κατίδωμεν, εἰ καὶ μὴ πάντα διελθεῖν ῥᾴδιον, ἀλλ' οὖν τὰ δυνατὰ φράσαι πειραθῶμεν.

[15] Ἓν παντελῶς τὸ νοητὸν ἀεὶ προϋπάρχον, ταῦτα δὴ πάντα ὁμοῦ συνειληφὸς ἐν τῷ ἑνί. Τί δέ; οὐχὶ καὶ ὁ σύμπας κόσμος ἕν ἐστι ζῷον ὅλον δι' ὅλου ψυχῆς καὶ νοῦ πλῆρες, τέλειον 25 ἐκ μερῶν τελείων; ταύτης οὖν τῆς διπλῆς ἑνοειδοῦς τελειότητος – φημὶ δὴ τῆς ἐν τῷ νοητῷ πάντα ἐν ἑνὶ συνεχούσης, καὶ τῆς περὶ C τὸν κόσμον | εἰς μίαν καὶ τὴν αὐτὴν φύσιν τελείαν συναγομένης

8–10 Empedocl. VS 31 B 17s.

1 ἀλλήλας VOCGR: -ους TLZ ‖ **2** δὲ post ἐπεὶ add. Petavius in mg. | εἰ f: εἰς V: om. vet. vulg. (del. Boulenger[2]) ‖ **3** ἐν μέσοις om. h ‖ **4** αὐτὸν VOC: -ῶν h ‖ **6** τὴν ἐν om. h ‖ **15** μέση τις V: μεσότης f ‖ **18** ὁποίαν VOCGR: ποίαν TLZ | χρὴ om. TLZ ‖ **20** κατ' εἴδη VOC: κατίδη h ‖ **21** de τὰ ante τελευταῖα addendo cog. Hertlein ‖ **23** παντελῶς Petavius: -λὲς codd. | de τὰ δὲ pro ταῦτα δὴ substituendo cog. Hertlein ‖ **24** συνειληφὸς VO: -φῶς C: σαφῶς h ‖ **25** ὅλου f: -ης V ‖ **27** δὴ VOC: δὲ h

ἑνώσεως – ἡ τοῦ βασιλέως Ἡλίου μέση τελειότης ἑνοειδής ἐστιν, ἐν τοῖς νοεροῖς ἱδρυμένη θεοῖς.

Ἀλλὰ δὴ τὸ μετὰ τοῦτο συνοχή τίς ἐστιν ἐν τῷ νοητῷ τῶν θεῶν κόσμῳ πάντα πρὸς τὸ ἓν συντάττουσα. Τί δέ; οὐχὶ καὶ περὶ 5 τὸν οὐρανὸν φαίνεται κύκλῳ πορευομένη ⟨ἡ⟩ τοῦ πέμπτου σώματος οὐσία, ἣ πάντα συνέχει τὰ μέρη καὶ σφίγγει πρὸς αὑτά, συνέχουσα τὸ φύσει σκεδαστὸν αὐτῶν καὶ ἀπορρέον ἀπ' | D ἀλλήλων; δύο δὴ ταύτας ⟨τὰς⟩ οὐσίας συνοχῆς αἰτίας, τὴν μὲν ἐν τοῖς νοητοῖς, τὴν δὲ ἐν τοῖς αἰσθητοῖς φαινομένην ὁ βασιλεὺς 10 Ἥλιος εἰς ταὐτὸ συνάπτει, τῆς μὲν μιμούμενος τὴν συνεκτικὴν δύναμιν ἐν τοῖς νοεροῖς, ἅτε ἐξ αὐτῆς προελθών, τῆς δὲ τελευταίας προκατάρχων, ἣ περὶ τὸν ἐμφανῆ θεωρεῖται κόσμον. Μή ποτε οὖν καὶ τὸ αὐθυπόστατον πρῶτον μὲν ἐν τοῖς νοητοῖς ὑπάρχον, τελευταῖον δὲ ⟨ἐν⟩ τοῖς κατ' οὐρανὸν φαινομένοις, μέσην ἔχει | τὴν τοῦ 140A 15 βασιλέως οὐσίαν αὐθυπόστατον Ἡλίου, ἀφ' ἧς κάτεισιν οὐσίας πρωτουργοῦ εἰς τὸν ἐμφανῆ κόσμον ἡ περιλάμπουσα τὰ σύμπαντα αὐγή;

[16] Πάλιν δὲ κατ' ἄλλο σκοποῦντι εἷς μὲν ὁ τῶν ὅλων δημιουργός, πολλοὶ δὲ οἱ κατ' οὐρανὸν περιπολοῦντες δημιουργι- 20 κοὶ θεοί· μέσην ἄρα καὶ τούτων τὴν ἀφ' Ἡλίου καθήκουσαν εἰς τὸν κόσμον δημιουργίαν θετέον. Ἀλλὰ καὶ τὸ γόνιμον τῆς ζωῆς πολὺ μὲν καὶ ὑπέρπληρες ἐν τῷ νοητῷ, φαίνεται δὲ ζωῆς | γονίμου καὶ B ὁ κόσμος ὢν πλήρης· πρόδηλον οὖν ὅτι καὶ τὸ γόνιμον τοῦ βασιλέως Ἡλίου τῆς ζωῆς μέσον ἐστὶν ἀμφοῖν, ἐπεὶ τούτῳ μαρτυ- 25 ρεῖ καὶ τὰ φαινόμενα· τὰ μὲν γὰρ τελειοῖ τῶν εἰδῶν, τὰ δὲ ἐργάζεται, τὰ δὲ κοσμεῖ, τὰ δὲ ἀνεγείρει, καὶ ἓν οὐδέν ἐστιν, ὃ δίχα τῆς ἀφ' Ἡλίου δημιουργικῆς δυνάμεως εἰς φῶς πρόεισι καὶ γένεσιν.

4 συντάττουσα VOGR: συνάπτ- CTLZ ‖ **5** ἡ suppl. Klimek | πέμπτου VOh: νέου C ‖ **6** αὑτά Hertlein: αὐ- codd. (αὐτὸ R): αὑτὴν Reiske ‖ **8** τὰς suppl. Hertlein in app. | συνοχῆς VOC: συνεχεῖς h ‖ **10** ταὐτὸ Hertlein: ταὐτὰ OC: αὐτὰ Vh (-ῶ G) | συνάπτει V: -άγει f | πρώτης post μὲν add. Asmus[3] **11** τῆς δὲ τελευταίας codd.: τῇ δὲ τῆς τελειότητος Friederich ‖ **12** de προϋπάρχων pro προκατ- substituendo cog. Hertlein ‖ **13** νοητοῖς f: νοερ- V ‖ **14** ἐν suppl. Hertlein | κατ' οὐρανὸν f: κατὰ τὸν οὐ. V ‖ **16** πρωτουργοῦ VOh: -ῶν C ‖ **19–20** δημιουργικοὶ V: -ουργοὶ C h et fortasse O[a.c.] **24** τούτῳ V: τοῦτο f ‖ **26** ἓν οὐδέν codd.: οὐδὲ ἓν malim (sed cf. praef. XXVI)

Ἔτι πρὸς τούτοις εἰ τὴν ἐν τοῖς νοητοῖς ἄχραντον καὶ καθαρὰν
C καὶ ἄϋλον οὐσίαν νοήσαιμεν, οὐδενὸς ἔξωθεν αὐτῇ | προσιόντος
οὐδὲ ἐνυπάρχοντος ἀλλοτρίου, πλήρη δὲ τῆς οἰκείας ἀχράντου
καθαρότητος, τήν τε ἐν τῷ κόσμῳ περὶ τὸ κύκλῳ φερόμενον σῶμα
πρὸς πάντα ἀμιγῆ τὰ στοιχεῖα λίαν εἰλικρινῆ καὶ καθαρὰν φύσιν 5
ἀχράντου καὶ δαιμονίου σώματος, εὑρήσομεν καὶ τὴν τοῦ
βασιλέως Ἡλίου λαμπρὰν καὶ ἀκήρατον οὐσίαν ἀμφοῖν μέσην,
τῆς τε ἐν τοῖς νοητοῖς ἀΰλου καθαρότητος καὶ τῆς ἐν τοῖς αἰ-
D |σθητοῖς ἀχράντου καὶ ἀμιγοῦς πρὸς γένεσιν καὶ φθορὰν καθαρᾶς
εἰλικρινείας. Μέγιστον δὲ τούτου τεκμήριον, ὅτι μηδὲ τὸ φῶς, ὃ 10
μάλιστα ἐκεῖθεν ἐπὶ γῆν φέρεται, συμμίγνυταί τινι μηδὲ ἀναδέχε-
ται ῥύπον καὶ μίασμα, μένει δὲ πάντως ἐν πᾶσι τοῖς οὖσιν ἄχραν-
τον καὶ ἀμόλυντον καὶ ἀπαθές.

Ἔτι δὲ προσεκτέον τοῖς ἀΰλοις εἴδεσι καὶ νοητοῖς, ἀλλὰ καὶ
τοῖς αἰσθητοῖς, ὅσα περὶ τὴν ὕλην ἐστὶν ἢ περὶ τὸ ὑποκείμενον· 15
141A ἀναφανήσεται πάλιν ἐνταῦθα μέσον τὸ νοερὸν τῶν | περὶ τὸν
μέγαν Ἥλιον εἰδῶν, ὑφ᾽ ὧν καὶ τὰ περὶ τὴν ὕλην εἴδη βοηθεῖται,
μήποτε ἂν δυνηθέντα μήτε εἶναι μήτε σῴζεσθαι μὴ παρ᾽ ἐκείνου
πρὸς τὴν οὐσίαν συνεργούμενα. Τί γάρ; οὐχ οὗτός ἐστι τῆς
διακρίσεως τῶν εἰδῶν καὶ συγκρίσεως τῆς ὕλης αἴτιος, οὐ νοεῖν 20
ἡμῖν αὐτὸν μόνον παρέχων, ἀλλὰ καὶ ὁρᾶν ὄμμασιν; ἡ γάρ τοι
τῶν ἀκτίνων εἰς πάντα τὸν κόσμον διανομὴ καὶ ἡ τοῦ φωτὸς
B ἕνωσις τὴν δημιουργικὴν ἐνδείκνυται | διάκρισιν τῆς ποιήσεως.

[17] Πολλῶν δὲ ὄντων ἔτι περὶ τὴν οὐσίαν τοῦ θεοῦ τῶν φαινο-
μένων ἀγαθῶν, ἃ δὴ ὅτι μέσος ἐστὶ τῶν τε νοητῶν καὶ τῶν 25
ἐγκοσμίων θεῶν παρίστησιν, ἐπὶ τὴν τελευταίαν αὐτοῦ μετίωμεν
ἐμφανῆ λῆξιν. Πρώτη μὲν οὖν ἐστιν αὐτοῦ τῶν περὶ τὸν τελευ-
ταῖον κόσμον ἡ τῶν ἡλιακῶν ἀγγέλων οἷον ἐν παραδείγματι τὴν
ἰδέαν καὶ τὴν ὑπόστασιν ἔχουσα· μετὰ ταύτην δὲ ἡ τῶν αἰσθητῶν

2 καὶ om. V | οὐσίαν om. TLZ ‖ **3** οἰκείας ἀχράντου f: ἀχρ. οἰκ. V ‖ **5** fort. καὶ ante λίαν addendum ‖ **9** ἀχράντου om. h (sed in mg. add. T) | καὶ ante καθαρᾶς add. vet. vulg. ‖ **10** τούτου VOCR: τοῦτο TLZ vet. vulg., -ον G **11** γῆν V: γῆς f | φέρεται VOCG: φαίν- RTLZ ‖ **12** πάντως VOC: -α h **15** αἰσθητοῖς VOCGR: νοη- TLZ ‖ **21** αὐτὸν VOC: αὐτὸς h: αὑτὸν vet. vulg. (etiam de αὐτὰ, scil. τὰ εἴδη, cog. Marcilius) ‖ **22** πάντα V: ἅπ- f ‖ **25** ὅτι μέσος ἐστὶ Hertlein: τὸ μέσον ἐστὶ codd. : τ. μ. ἐπὶ Marcilius in adn.: τ. μ. {ἐστὶ} Petavius: τ. μ. αὐτοῦ Asmus[3] ‖ **28** οὐσιῶν post κόσμον add. Asmus[3] **29** τὴν om. f

γεννητική, ἧς τὸ μὲν τιμιώτερον | οὐρανοῦ καὶ ἀστέρων ἔχει τὴν C
αἰτίαν, τὸ δὲ ὑποδεέστερον ἐπιτροπεύει τὴν γένεσιν, ἐξ ἀιδίου
περιέχον αὐτῆς ἐν ἑαυτῷ τὴν ἀγέννητον αἰτίαν.

Ἅπαντα μὲν οὖν τὰ περὶ τὴν οὐσίαν τοῦ θεοῦ τοῦδε διελθεῖν
5 οὔτε εἴ τῳ δοίη νοῆσαι αὐτὸς οὗτος ὁ θεὸς δυνατόν, ὅπου καὶ τὰ
πάντα περιλαβεῖν τῷ νῷ ἔμοιγε φαίνεται ἀδύνατον.

[18] Ἐπεὶ δὲ πολλὰ διεληλύθαμεν, ἐπιθετέον ὥσπερ σφραγῖδα
τῷ λόγῳ τῷδε, μέλλοντας ἐφ' ἕτερα μεταβαίνειν οὐκ ἐ|λάττονος D
τῆς θεωρίας δεόμενα. Τίς οὖν ἡ σφραγὶς καὶ οἷον ἐν κεφαλαίῳ τὰ
10 πάντα περιλαμβάνουσα ἡ περὶ τῆς οὐσίας τοῦ θεοῦ νόησις, αὐτὸς
ἡμῖν ἐπὶ νοῦν θείη, βουλομένοις ἐν βραχεῖ συνελεῖν τήν τε αἰτίαν,
ἀφ' ἧς προῆλθε, καὶ αὐτὸς ὅστις ἐστί, τίνων τε ἀποπληροῖ τὸν
ἐμφανῆ κόσμον.

Ῥητέον οὖν ὡς ἐξ ἑνὸς μὲν προῆλθε τοῦ θεοῦ εἷς ἀφ' ἑνὸς τοῦ
15 νοητοῦ κόσμου βασιλεὺς Ἥλιος, τῶν νοερῶν θεῶν μέσος ἐν μέσοις
τεταγμένος κατὰ παντοίαν | μεσότητα, τὴν ὁμόφρονα καὶ φίλην 142A
καὶ τὰ διεστῶτα συνάγουσαν, εἰς ἕνωσιν ἄγων τὰ τελευταῖα τοῖς
πρώτοις, τελειότητος καὶ συνοχῆς καὶ γονίμου ζωῆς καὶ τῆς
ἑνοειδοῦς οὐσίας τὰ μέσα ἔχων ἐν ἑαυτῷ, τῷ τε αἰσθητῷ κόσμῳ
20 παντοίων ἀγαθῶν προκαθηγούμενος, οὐ μόνον δι' ἧς αὐτὸς αὐγῆς
περιλάμπει κοσμῶν καὶ φαιδρύνων, ἀλλὰ καὶ τὴν οὐσίαν τῶν
ἡλιακῶν ἀγγέλων ἑαυτῷ συνυποστήσας καὶ τὴν ἀγέννητον αἰτίαν
τῶν γινομένων πε|ριέχων, ἔτι τε πρὸ ταύτης τῶν ἀιδίων σωμάτων B
τὴν ἀγήρω καὶ μόνιμον τῆς ζωῆς αἰτίαν.

25 **[19]** Ἃ μὲν οὖν περὶ τῆς οὐσίας ἐχρῆν εἰπεῖν τοῦ θεοῦ τοῦδε,
καίτοι τῶν πλείστων παραλειφθέντων, εἴρηται ὅμως οὐκ ὀλίγα·
ἐπεὶ δὲ τὸ τῶν δυνάμεων αὐτοῦ πλῆθος καὶ τὸ τῶν ἐνεργειῶν
κάλλος τοσοῦτόν ἐστιν, ὥστε εἶναι τῶν περὶ τὴν οὐσίαν αὐτοῦ
θεωρουμένων ὑπερβολήν — ἐπεὶ καὶ πέφυκε τὰ θεῖα προϊόντα εἰς
30 τὸ ἐμφανὲς πληθύνε|σθαι διὰ τὸ περιὸν καὶ γόνιμον τῆς ζωῆς –, C

2 ἐπιτροπεύει V: ὑπο- f ‖ **3** αἰτίαν V: οὐσίαν f ‖ **5** οὔτε codd.: οὐδὲ Hertlein (v. praef. XXVs.) | αὐτὸς οὗτος ὁ θεὸς f: αὐτὰ ὁ θ. οὗτ. V ‖ **10** ἣν ante αὐτὸς add. f ‖ **12** ἀφ' om. f ‖ **15** ὁ ante βασιλεὺς add. Boulenger[2] ‖ **17** καὶ ante εἰς add. f ‖ **18** τελειότητος καὶ συνοχῆς VOC: τελειοτάτης κ. συνεχοῦς h ‖ **19** ἐν ἑαυτῷ om. f ‖ **20** προκαθηγούμενος OC: -μένου h: προηγούμενος V | αὐτὸς αὐγῆς VOC: αὐγ. αὐτ. h ‖ **25** περὶ τῆς οὐσίας om. f (περί ante τοῦ θεοῦ add. T in mg., L in mg.) | ἐχρῆν εἰπεῖν VCG: εἰπ. ἐχρ. ORTLZ

ὅρα τί δράσομεν, οἳ πρὸς ἀχανὲς πέλαγος ἀποδυόμεθα, μόγις καὶ ἀγαπητῶς ἐκ πολλοῦ τοῦ πρόσθεν ἀναπαυόμενοι λόγου. Τολμητέον δὲ ὅμως τῷ θεῷ θαρροῦντα καὶ πειρατέον ἅψασθαι τοῦ λόγου.

[20] Κοινῶς μὲν δὴ τὰ πρόσθεν ῥηθέντα περὶ τῆς οὐσίας αὐτοῦ ταῖς δυνάμεσι προσήκειν ὑποληπτέον. Οὐ γὰρ ἄλλο μέν ἐστιν 5 οὐσία θεοῦ, δύναμις δὲ ἄλλο, καὶ νὴ Δία τρίτον παρὰ ταῦτα D ἐνέργεια. Πάντα | γὰρ ἅπερ βούλεται, ταῦτα ἔστι καὶ δύναται καὶ ἐνεργεῖ· οὐδὲ γὰρ ὃ μὴ ἔστι βούλεται, οὐδὲ ὃ βούλεται δρᾶν οὐ σθένει, οὔθ' ὃ μὴ δύναται ἐνεργεῖν ἐθέλει.

Ταῦτα μὲν οὖν περὶ τὸν ἄνθρωπον οὐχ ὧδε ἔχει· διττὴ γάρ 10 ἐστι μαχομένη φύσις εἰς ἓν κεκραμένη, ψυχῆς καὶ σώματος, τῆς μὲν θείας, τοῦ δὲ σκοτεινοῦ τε καὶ ζοφώδους, ἔοικέ τε εἶναι μάχη τις καὶ στάσις. Ἐπεὶ καὶ Ἀριστοτέλης φησὶ διὰ τὸ τοιοῦτο μηδὲ 143A τὰς ἡδονὰς ὁμολογεῖν μηδὲ τὰς λύπας ἀλλήλαις | ἐν ἡμῖν· τὸ γὰρ θατέρᾳ, φησί, τῶν ἐν ἡμῖν φύσεων ἡδὺ τῇ πρὸς ταύτην ἀντικει- 15 μένῃ πέφυκεν ἀλγεινόν. Ἐν δὲ τοῖς θεοῖς οὐδέν ἐστι τούτων· οὐσίᾳ γὰρ αὐτοῖς ὑπάρχει τἀγαθὰ καὶ διηνεκῶς, οὐ ποτὲ μέν, ποτὲ δὲ οὔ.

Πρῶτον οὖν ὅσαπερ ἔφαμεν, τὴν οὐσίαν αὐτοῦ παραστῆσαι βουλόμενοι, ταῦθ' ἡμῖν εἰρῆσθαι καὶ περὶ τῶν δυνάμεων καὶ 20 ἐνεργειῶν νομιστέον· ἐπεὶ δὲ ἐν τοῖς τοιούτοις ὁ λόγος ἔοικεν B ἀντιστρέφειν, ὅσα καὶ περὶ τῶν δυνάμεων αὐτοῦ καὶ ἐνεργειῶν | ἐφεξῆς σκοποῦμεν, ταῦτα οὐκ ἔργα μόνον, ἀλλὰ καὶ οὐσίαν νομιστέον.

2 cf. Plat. Criti. 106a (Ὡς ἄσμενος, ..., οἷον ἐκ μακρᾶς ἀναπεπαυμένος ὁδοῦ, νῦν οὕτως ἐκ τῆς τοῦ λόγου διαπορείας ἀγαπητῶς ἀπήλλαγμαι) **13–16** cf. Arist. EN VII 15 p. 1154b20–26

1 ὅρα f: ὥρα V (et φροντίς in mg.) ‖ **2** ἀγαπητῶς VOC: -τὸν h ‖ **3** θαρροῦντα f: θαρσ- V ‖ **6** νὴ codd.: μὰ Hertlein (v. praef. XXV) | παρὰ VOR: περὶ CGTLZ ‖ **7** μὲν post πάντα add. h | ἅπερ f: ὅ- V ‖ **7–8** ταῦτα — ὃ βούλεται om. h ‖ **8** οὐδὲ — οὐδὲ (—οὔθ') codd.: οὔτε — οὔτε Hertlein (v. praef. XXVI) **9** ἐθέλει VOC: οὐ θέλει h ‖ **10** οὐχ VOCGR: οὐδ' TLZ ‖ **12** τε[1] om. f **13–14** μηδὲ — μηδὲ codd.: μήτε — μήτε Hertlein (v. Praef. XXVI) **14** ἀλλήλαις GTLZ: -ας VOCR | τὸ f: ἡ V ‖ **15** ἡδὺ τῇ Petavius in adn. (ἡδὺ τοῦτο iam Marcilius in adn.): αὕτη (— ἀντικειμένη) codd. ‖ **16** de τοιοῦτον pro τούτων substituendo cog. Hertlein ‖ **17** τἀγαθὰ f: τὰ ἀγ- V **21–24** ἐπεί — οὐσίαν νομιστέον om. h (in mg. habet G)

[21] Εἰσὶ γάρ τοι θεοὶ συγγενεῖς Ἡλίῳ καὶ συμφυεῖς, τὴν ἄχραντον οὐσίαν τοῦ θεοῦ κορυφούμενοι, πληθυνόμενοι μὲν ἐν τῷ κόσμῳ, περὶ αὐτὸν δὲ ἑνοειδῶς ὄντες. Ἄκουε δὴ πρῶτον ὅσα φασὶν οἱ τὸν οὐρανὸν οὐχ ὥσπερ ἵπποι καὶ βόες ὁρῶντες ἤ τι τῶν
5 ἀλόγων καὶ ἀμαθῶν ζῴων, ἀλλ᾽ ἐξ αὐτοῦ τὴν ἀφανῆ πολυπραγμονοῦντες φύσιν· ἔτι δὲ πρὸ τούτων, εἴ σοι φίλον, περὶ τῶν ὑπερκοσμίων δυνάμεων αὐτοῦ καὶ | ἐνεργειῶν καὶ ἐκ μυρίων τὸ C
πλῆθος ὀλίγα θέασαι.

[22] Πρώτη δὴ τῶν δυνάμεών ἐστιν αὐτοῦ, δι᾽ ἧς ὅλην δι᾽
10 ὅλης τὴν νοερὰν οὐσίαν, τὰς ἀκρότητας αὐτῆς εἰς ἓν καὶ ταὐτὸ συνάγων, ἀποφαίνει μίαν. Ὅπερ γὰρ περὶ τὸν αἰσθητὸν ἔστι κόσμον ἐναργῶς κατανοῆσαι, πυρὸς καὶ γῆς εἰλημμένον ἀέρα καὶ ὕδωρ ἐν μέσῳ τῶν ἄκρων σύνδεσμον, τοῦτο οὐκ ἄν τις εἰκότως ἐπὶ τῆς πρὸ τῶν σωμάτων αἰτίας κεχωρισμέ|νης, ᾗ τῆς γενέσεως D
15 ἔχουσα τὴν ἀρχὴν οὐκ ἔστι γένεσις, οὕτω διατετάχθαι νομίσειεν, ὥστε καὶ ἐν ἐκείνοις τὰς ἄκρας αἰτίας κεχωρισμένας πάντη τῶν σωμάτων ὑπό τινων μεσοτήτων εἰς ταὐτὸ παρὰ τοῦ βασιλέως Ἡλίου συναγομένας ἑνοῦσθαι περὶ αὐτόν;

Συντρέχει δὲ αὐτῷ καὶ ἡ τοῦ Διὸς δημιουργικὴ δύναμις, ⟨δι᾽⟩
20 ἣν ἔφαμεν καὶ πρότερον ἱδρῦσθαί τε αὐτοῖς ἐν Κύπρῳ καὶ ἀποδεδεῖχθαι κοινῇ τὰ τεμένη· καὶ τὸν Ἀπόλλω δὲ αὐτὸν ἐμαρτυρόμεθα | τῶν λόγων, ὃν εἰκὸς δήπουθεν ὑπὲρ τῆς ἑαυτοῦ φύσεως ἄμεινον 144A
εἰδέναι· σύνεστι γὰρ καὶ οὗτος Ἡλίῳ καὶ ἐπικοινωνεῖ κατὰ τὴν ἁπλότητα τῶν νοήσεων καὶ τὸ μόνιμον τῆς οὐσίας καὶ κατὰ ταὐτὰ
25 ὂν τῆς ἐνεργείας. Ἀλλὰ καὶ τὴν Διονύσου μεριστὴν δημιουργίαν οὐδαμοῦ φαίνεται χωρίζων ὁ θεὸς Ἡλίου, τούτῳ δὲ αὐτὴν ὑποτάτ-

1 εἰς ante τὴν inserere vult Nautin ‖ **3** ἄκουε Petavius (praeeunte Marcilio qui ἄκουε ταῦτα legere voluit): ἀκούετε codd. ‖ **7** δυνάμεων αὐτοῦ VOC: αὐτ. δυν. h ‖ **8** θέασαι Hertlein: θεάσῃ codd. ‖ **9** δὴ f: δὲ V ‖ **10** ἀκρότητας VOGR: -τατας C[a.c.]TLZ | αὐτῆς f (-οῦ L): -ὴν V ‖ **11** ὅπερ (sic) codd.: ὅσπερ Hertlein (mendo typogr.) ‖ **11–12** τὸν αἰσθητὸν … κόσμον VOh: τῶν -ῶν … -ῶν C ‖ **11** ἔστι Lacombrade: ἐστι codd. (ante περὶ τὸν αἰσθητόν positum in f) ‖ **14** αἰτίας V: οὐσίας f | ᾗ RTLZ: ἡ VOCG ‖ **17** ταὐτὸ Hertlein: ταῦτα codd. ‖ **18** signum interrogationis post περὶ αὐτόν primus pos. Asmus[3] **19** αὐτῷ V (et R[p.c.]): αὐτοῦ f | δι᾽ suppl. Hertlein ‖ **22** τῶν λόγων V: τῷ -ῳ f ‖ **23** κατὰ R in mg. (coni. Asmus[3]): καὶ VOCGTLZ: διὰ Hertlein in app. (coll. 32 infra p. 162,15: Ἀπόλλων ἐπικοινωνεῖ διὰ τῆς ἁπλότητος τῶν νοήσεων Ἡλίῳ) ‖ **26** αὐτὴν om. f

των ἀεὶ καὶ ἀποφαίνων σύνθρονον ἐξηγητὴς ἡμῖν ἐστι τῶν ὑπὲρ
τοῦ θεοῦ καλλίστων διανοημάτων. Πάσας δὲ ἐν ἑαυτῷ περιέχων ὁ
B | θεὸς ὅδε τὰς ἀρχὰς τῆς καλλίστης νοερᾶς συγκράσεως Ἥλιος
Ἀπόλλων ἐστὶ Μουσηγέτης· ἐπεὶ δὲ καὶ ὅλην ἡμῖν τὴν τῆς
εὐταξίας ζωὴν συμπληροῖ, γεννᾷ μὲν ἐν κόσμῳ τὸν Ἀσκληπιόν, 5
ἔχει δὲ αὐτὸν καὶ πρὸ τοῦ κόσμου παρ' ἑαυτῷ.

[23] Ἀλλὰ πολλὰς μὲν ἄν τις καὶ ἄλλας περὶ τὸν θεὸν τόνδε
δυνάμεις θεωρῶν οὔποτ' ἂν ἐφίκοιτο πασῶν· ἀπόχρη ⟨δὲ⟩ τῆς μὲν
χωριστῆς καὶ πρὸ τῶν σωμάτων ἐπ' αὐτῶν οἶμαι τῶν αἰτιῶν, αἳ
C κεχωρισμέναι τῆς φανερᾶς προϋπάρχουσι δημιουργί|ας, ἴσην 10
Ἡλίῳ καὶ Διὶ τὴν δυναστείαν καὶ μίαν ὑπάρχουσαν τεθεωρηκέναι,
τὴν δὲ ἁπλότητα τῶν νοήσεων μετὰ τοῦ διαιωνίου καὶ κατὰ ταὐτὰ
μονίμου ξὺν Ἀπόλλωνι τεθεαμένοις, τὸ δὲ μεριστὸν τῆς δημιουρ-
γίας μετὰ τοῦ τὴν μεριστὴν ἐπιτροπεύοντος οὐσίαν Διονύσου, τὸ
δὲ τῆς καλλίστης συμμετρίας καὶ νοερᾶς κράσεως περὶ τὴν τοῦ 15
Μουσηγέτου δύναμιν τεθεωρηκόσι, τὸ συμπληροῦν δὲ τὴν
εὐταξίαν τῆς ὅλης ζωῆς ξὺν Ἀσκληπιῷ νοοῦσι.

D [24] Τοσαῦτα μὲν ὑπὲρ τῶν προκοσμίων αὐτοῦ | δυνάμεων·
ἔργα δὲ ὁμοταγῆ ταύταις ὑπὲρ τὸν ἐμφανῆ κόσμον ἡ τῶν ἀγαθῶν
ἀποπλήρωσις. Ἐπειδὴ γάρ ἐστι γνήσιος ἔγγονος τἀγαθοῦ, παρα- 20
δεξάμενος παρ' αὐτοῦ τελείαν τὴν ἀγαθὴν μοῖραν, αὐτὸς ἅπασι
τοῖς νοεροῖς διανέμει θεοῖς, ἀγαθοεργὸν καὶ τελείαν αὐτοῖς διδοὺς
τὴν οὐσίαν.

Ἓν μὲν δὴ τουτί· δεύτερον δὲ ἔργον ἐστὶ τοῦ θεοῦ ἡ τοῦ νοητοῦ
145A κάλλους ἐν τοῖς | νοεροῖς καὶ ἀσωμάτοις εἴδεσι τελειοτάτη 25

1 ὑπὲρ Klimek (coll. or. 3[2],33 p. 92D τῆς ὑπὲρ τούτων διηγήσεως): ὑπὸ codd.: ἐπὶ Petavius ‖ **2** ἑαυτῶ V: αὐτῶ f ‖ **3** συμμετρίας καὶ post καλλίστης add. Asmus[3] ‖ **3–4** Ἥλιος Ἀπόλλων del. Asmus[3] (de Ἥλιος delendo iam cog. Petavius) ‖ **4** τὴν om. h ‖ **5** τῷ ante κόσμῳ add. Asmus[1+3] ‖ **7** ἂν om. R, ex οὖν corr. O ‖ **8** ἀπόχρη Hertlein: ἀποχρῆν codd. | δὲ suppl. Marcilius in adn. ‖ **9** ἐπ' VOh: ὑπ' C: ἔτ' Marcilius in adn. | αἰτιῶν V: -ίων OC: ἀρτίων h ‖ **12** si τὴν δὲ respondet verbis τῆς μὲν (supra l. 8), infinitivus desideratur, qui infinitivo τεθεωρηκέναι respondet; sed fortasse τὴν μὲν pro τὴν δὲ legendum | τὴν post μετὰ add. h | ταὐτὰ V: -ὸν f ‖ **13** μονίμου VOC: ὁμωνύμου h | ξὺν V: σὺν f ‖ **14–15** αἴτιον post τὸ δὲ add. Asmus[3] **15** κράσεως codd.: συγκρ- Asmus[3] ‖ **16–17** τὴν εὐταξίαν τῆς ὅλης ζωῆς codd.: τῆς -ας τὴν -ην -ὴν Asmus[3] ‖ **17** ξὺν V: σὺν f ‖ **20** ἔγγονος V: ἔκγ- f (cf. 11 supra p. 147,20: τοῦ πάντων ὑπερέχοντος αὐτὸν ἔγγονον γνήσιον φῦναι) ‖ **24** νοητοῦ V: νοερ- f

διανομή. Τῆς γὰρ ἐν τῇ φύσει φαινομένης οὐσίας γονίμου γεννᾶν ἐφιεμένης ἐν τῷ καλῷ καὶ ὑπεκτίθεσθαι τὸν τόκον, ἔτι ἀνάγκη προηγεῖσθαι τὴν ἐν τῷ νοητῷ κάλλει τοῦτο αὐτὸ διαιωνίως καὶ ἀεὶ ποιοῦσαν, ἀλλ' οὐχὶ νῦν μέν, εἰσαῦθις δὲ οὔ, καὶ ποτὲ μὲν
5 γεννῶσαν, αὖθις δὲ ἄγονον· ὅσα γὰρ ἐνταῦθα ποτὲ καλά, ταῦτα ἐν τοῖς νοητοῖς ἀεί. Ῥητέον τοίνυν αὐτοῦ τῆς ἐν τοῖς φαινομένοις αἰτίας γονίμου προ|καθηγεῖσθαι τὸν ἐν τῷ νοερῷ καὶ διαιωνίῳ B κάλλει τόκον ἀγέννητον, ὃν ὁ θεὸς οὗτος ἔχει {καὶ} περὶ ἑαυτὸν ὑποστήσας, ᾧ καὶ τὸν τέλειον νοῦν διανέμει, καθάπερ ὄμμασιν
10 ἐνδιδοὺς διὰ τοῦ φωτὸς τὴν ὄψιν· οὕτω δὲ καὶ ἐν τοῖς ⟨νοητοῖς⟩ διὰ τοῦ νοεροῦ παραδείγματος, ὃ προτείνει πολὺ φανότερον τῆς αἰθερίας αὐγῆς, πᾶσιν οἶμαι τοῖς νοεροῖς τὸ νοεῖν καὶ τὸ νοεῖσθαι παρέχει.

Ἑτέρα πρὸς ταύταις ἐνέργεια θαυμαστὴ φαί|νεται περὶ τὸν C
15 βασιλέα τῶν ὅλων Ἥλιον, ἡ τοῖς κρείττοσι γένεσιν ἐνδιδομένη μοῖρα βελτίων, ἀγγέλοις, δαίμοσιν, ἥρωσι ψυχαῖς τε μερισταῖς, ὁπόσαι μένουσιν ἐν παραδείγματος καὶ ἰδέας λόγῳ, μήποτε ἑαυτὰς διδοῦσαι σώματι.

[25] Τὴν μὲν οὖν προκόσμιον οὐσίαν τοῦ θεοῦ δυνάμεις τε
20 αὐτοῦ καὶ ἔργα, τὸν βασιλέα τῶν ὅλων ὑμνοῦντες Ἥλιον, ἐφ' ὅσον ἡμῖν οἷόν τε ἦν ἐφικέσθαι τῆς περὶ αὐτὸν εὐφημίας, σπεύδοντες

6 αὐτοῦ τῆς V: αὐτοῦ τῷ h (αὐτῷ R, sed τῷ punctis subscriptis deleto et τῆς suprascripto); quid αὐτοῦ hic significet non intellego ‖ **8** ἔχει om. f | καὶ om. R, del. Hertlein: καὶ ⟨πρὸ τοῦ κόσμου⟩ Asmus[3] | ἑαυτὸν V: αὐ- f ‖ **9** γὰρ ἐν τοῖς φαινομένοις post καθάπερ add. Asmus[3] ‖ **10** τὴν om. C | καὶ τοῖς ὁρωμένοις τὸ ὁρατὸν post ὄψιν add. Asmus[3] | νοητοῖς suppl. Petavius in mg. (νοερ- Asmus[1], sed retraxit Asmus[3]) ‖ **11** νοεροῦ codd.: νοητ- Asmus[1+3], fortasse recte | φανότερον Petavius in mg.: -τέρου V: φανερωτέρου f (-τέρον sic R): -ώτερον Marcilius ‖ **12** αἰθερίας VO: -θρίας Ch | τὸ[2] om. OCGTLZ **13** παρέχει om. C ‖ **14** fortasse δὲ post ἑτέρα addendum (καὶ ἑτέρα R) ταύταις VOGR: -τη C: -την TLZ ‖ **15** τῶν ὅλων VOC: om. RZ: ὅλων GL et (sed τῶν in mg. add.) T | γένεσιν V: -ις f ‖ **18** ἑαυτὰς f: αὐ- V | διδοῦσαι VOh: -σα C ‖ **21** ἦν V: εἶναι f | post εὐφημίας primus interpunxit Asmus[3]

D διεληλύθαμεν. Ἐπεὶ δὲ ὄμμα|τα, φησίν, ἀκοῆς ἐστι πιστότερα, καίτοι τῆς νοήσεως ὄντα γε ἀπιστότερα καὶ ἀσθενέστερα, φέρε καὶ περὶ τῆς ἐμφανοῦς αὐτοῦ δημιουργίας αἰτησάμενοι παρ' αὐτοῦ τὸ μετρίως εἰπεῖν πειραθῶμεν.

[26] Ὑπέστη μὲν οὖν περὶ αὐτὸν ὁ φαινόμενος ἐξ αἰῶνος 5 κόσμος, ἕδραν δὲ ἔχει τὸ περικόσμιον φῶς ἐξ αἰῶνος, οὐχὶ νῦν μέν, τότε δὲ οὔ, οὐδὲ ἄλλοτε ἄλλως, ἀεὶ δὲ ὡσαύτως. Ἀλλ' εἴ τις ταύτην τὴν διαιώνιον φύσιν ἄχρις ἐπινοίας ἐθελήσειε χρονικῶς κατανοῆ-
146A σαι, τὸν βασιλέα τῶν | ὅλων Ἥλιον ἀθρόως καταλάμποντα ῥᾷστα ἂν γνοίη πόσων αἴτιός ἐστι δι' αἰῶνος ἀγαθῶν τῷ κόσμῳ. 10

Οἶδα μὲν οὖν καὶ Πλάτωνα τὸν μέγαν καὶ μετὰ τοῦτον ἄνδρα τοῖς χρόνοις οὔτι μὴν τῇ φύσει καταδεέστερον – τὸν Χαλκιδέα φημί {τὸν Ἰάμβλιχον}, ὃς ἡμᾶς τά τε ἄλλα περὶ τὴν φιλοσοφίαν καὶ δὴ καὶ ταῦτα διὰ τῶν λόγων ἐμύησεν – ἄχρις ὑποθέσεως τῷ γεννητῷ προσχρωμένους καὶ οἱονεὶ χρονικήν τινα τὴν ποίησιν 15
B ὑποτιθεμένους, ἵνα | τὸ μέγεθος τῶν παρ' αὐτοῦ γινομένων ἔργων ἐπινοηθείη· πλὴν ἀλλ' ἔμοιγε τῆς ἐκείνων ἀπολειπομένῳ παντάπασι δυνάμεως οὐδαμῶς ἐστι παρακινδυνευτέον, εἴπερ ἀκίνδυνον οὐδὲ αὐτὸ τὸ μέχρι ψιλῆς ὑποθέσεως χρονικήν τινα περὶ τὸν κόσμον ὑποθέσθαι ποίησιν ὁ κλεινὸς ἥρως ἐνόμισεν Ἰάμβλιχος. 20

Πλὴν ἀλλ' ἐπείπερ ὁ θεὸς ἐξ αἰωνίου προῆλθεν αἰτίας, μᾶλλον
C δὲ προήγαγε πάντα ἐξ αἰῶνος, ἀπὸ τῶν ἀφανῶν τὰ φανερὰ | βουλήσει θείᾳ καὶ ἀρρήτῳ τάχει καὶ ἀνυπερβλήτῳ δυνάμει πάντα ἀθρόως ἐν τῷ νῦν ἀπογεννήσας χρόνῳ, ἀπεκληρώσατο μὲν οἷον

1 Dio or. 12,71 (τὸ λεγόμενον, ὡς ἔστιν ἀκοῆς πιστότερα ὄμματα); cf. Iul. or. 1,30 p. 37C (τὰς ἀκοὰς … ἀπιστοτέρας … εἶναι τῶν ὀμμάτων); Heraclit. VS 22 B 101a (ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες); Hdt. I 8,2 (ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα ἀπιστότερα ὀφθαλμῶν), et vide Pfeiffer ad Callimachum fr. 282

1 φησίν VCOGTLZ: φα- R et vet. vulg. (v. praef. XXV) | ἐστι om. RLZ (macula in T) ‖ **4** εἰπεῖν om. h ‖ **5–6** ἐξ αἰῶνος κόσμος V: κ. ἐξ αἰ. f **6** περικόσμιον VOCGR: περὶ κόσμον TLZ ‖ **9** τὸν βασιλέα τῶν ὅλων V: τὸν μὲν τ. ὅ. Oh (βασιλέα post ἥλιον add. R in mg.): om. C (in spatio vacuo τον μα τῶν ἄλων add. C[2]) ‖ **10** γνοίη VOC: -ης h ‖ **13** τὸν Ἰάμβλιχον ut glossema del. Prato coll. Misop. 29 infra p. 200,8 (Χαιρωνέως ἀνδρὸς) **14** τῶν λόγων V: τὸν -ον f ‖ **18** εἴπερ codd.: ἐπείπερ Hertlein ‖ **19** αὐτὸ f: -ῷ V (quod Prato praefert: „scil. Iamblicho") ‖ **20** ἥρως VOh: ὅρος C **21** προῆλθεν vet. vulg.: παρ- codd.

οἰκειοτέραν ἕδραν τὸ μέσον οὐρανοῦ, ἵνα πανταχόθεν ἴσα διανέμῃ τἀγαθὰ τοῖς ὑπ' αὐτοῦ καὶ σὺν αὐτῷ προελθοῦσι θεοῖς, ἐπιτροπεύει δὲ τὰς ἑπτὰ καὶ τὴν ὀγδόην οὐρανοῦ κυκλοφορίαν, ἐνάτην τε οἶμαι δημιουργίαν τὴν ἐν γενέσει καὶ φθορᾷ συνεχεῖ διαιωνίως
5 ἀνακυκλουμένην γένεσιν. Οἵ τε γὰρ πλάνη|τες εὔδηλον ὅτι περὶ D
αὐτὸν χορεύοντες μέτρον ἔχουσι τῆς κινήσεως τὴν πρὸς τὸν θεὸν τόνδε τοιάνδε περὶ τὰ σχήματα συμφωνίαν, ὅ τε ὅλος οὐρανὸς αὐτῷ κατὰ πάντα συναρμοζόμενος ἑαυτοῦ τὰ μέρη θεῶν ἐστιν ἐξ Ἡλίου πλήρης. Ἔστι γὰρ ὁ θεὸς ὅδε πέντε μὲν κύκλων ἄρχων
10 κατ' οὐρανόν, τρεῖς δὲ ἐκ τούτων ἐπιὼν ἐν τρισὶ τρεῖς γεννᾷ τὰς Χάριτας, οἱ λειπόμενοι δὲ μεγάλης Ἀνάγκης εἰσὶ πλάστιγγες.

Ἀξύνετον ἴσως λέγω τοῖς | Ἕλλησιν, ὥσπερ δέον μόνον τὰ 147A
συνήθη καὶ γνώριμα λέγειν· οὐ μὴν οὐδὲ τοῦτό ἐστιν, ὡς ἄν τις ὑπολάβοι, παντελῶς ξένον. Οἱ Διόσκουροι τίνες ὑμῖν εἰσιν, ὦ
15 σοφώτατοι καὶ ἀβασανίστως τὰ πολλὰ παραδεχόμενοι; οὐχ ἑτερήμεροι λέγονται, διότι μὴ θέμις ὁρᾶσθαι τῆς αὐτῆς ἡμέρας; ὑμεῖς ὅπως ἀκούετε εὔδηλον, ὅτι τῆς χθὲς καὶ τήμερον. Εἶτα τί νοεῖ τοῦτο, πρὸς αὐτῶν τῶν Διοσκούρων; ἐφαρμόσωμεν αὐτὸ φύσει τινὶ καὶ πράγματι, | καινὸν ἵνα μηθὲν μηδὲ ἀνόητον λέγωμεν. Ἀλλ' B
20 οὐκ ἂν εὕροιμεν ⟨μὴ⟩ ἀκριβῶς ἐξετάζοντες. Οὐ γάρ, ὡς ὑπέλαβον εἰρῆσθαί τινες πρὸς τῶν θεολόγων ἡμισφαίρια τοῦ παντὸς τὰ δύο, λόγον ἔχει τινά· πῶς γάρ ἐστιν ἑτερήμερον αὐτῶν ἕκαστον, οὐδὲ ἐπινοῆσαι ῥᾴδιον, ἡμέρας ἑκάστης ἀνεπαισθήτου τῆς κατὰ τὸν φωτισμὸν αὐτῶν παραυξήσεως γινομένης. Σκεψώμεθα δὲ νῦν ὑπὲρ
25 ὧν αὐτοὶ καινοτομεῖν ἴσως τῳ δοκοῦμεν· τῆς αὐτῆς ἡμέρας ἐκεῖνοι

1 τοῦ ante οὐρανοῦ add. C ‖ **2–3** ἐπιτροπεύει f: -ῃ V ‖ **3** ἐνάτην C: ἐνν- VOh ‖ **4** φθορᾷ VCR: -άν O (ut vid.) GTLZ | συνεχεῖ vet. vulg.: -έχει codd. **8** αὐτῷ Petavius in mg.: -οῦ codd. ‖ **8–9** θεῶν ἐστιν ἐξ Ἡλίου πλήρης f: θ. ἐς τὸ ἐξ Ἡ. πλῆρες V ‖ **9** ἄρχων codd.: ἅρ- Prato coll. Misop. 20 infra p. 191,17 (ubi ἅρχων pro ἄρ. coni. Hertlein) ‖ **11** μεγάλης V: -ας O: -οι Ch (ut vid.) **12** δέον f: δὲ V ‖ **13** post λέγειν desinit V | τις om. h ‖ **14** ὑμῖν U: ἡ- f **16** μὴ UOC: οὐ h | ὑμεῖς UR: ἡ- OCGTLZ ‖ **17** τί codd. (et Marcilius in adn.): καὶ vet. vulg. | νοεῖ codd.: νόει Petavius in mg. ‖ **18** τινὶ UOC: τε TLZ: τι GR ‖ **19** καινὸν codd.: κεν- Hertlein in app. | μηθὲν UOC: -δὲν h (ex -δὲ corr. G) ‖ **19–20** ἀλλ' οὐκ ἂν UOC: ἀλλὰ κἂν h ‖ **20** μὴ suppl. Boulenger[2] | οὐ U: οὐδὲ f ‖ **23** ἑκάστης om. f ‖ **24** γινομένης om. TLZ ὑπὲρ f: lacuna 4 litterarum in U ‖ **25** καινοτομεῖν UOh: κενο- C | τῳ vet. vulg.: τῷ codd.

C | μετέχειν ὀρθῶς ἂν ῥηθεῖεν, ὁπόσοις ἴσος ἐστὶν ὁ τῆς ὑπὲρ γῆν ἡλίου πορείας χρόνος ἐν ἑνὶ καὶ τῷ αὐτῷ μηνί. Ὁράτω τις νῦν, εἰ μὴ τὸ ἑτερήμερον τοῖς κύκλοις ἐφαρμόζει τοῖς τε ἄλλοις καὶ τοῖς τροπικοῖς. Ὑπολήψεταί τις· οὐκ ἴσον ἐστίν. Οἱ μὲν γὰρ ἀεὶ φαίνονται, καὶ τοῖς τὴν ἀντίσκιον οἰκοῦσι γῆν ἀμφοτέροις ἀμφό- 5 τεροι· τῶν δὲ οἱ θάτερον ὁρῶντες οὐδαμῶς ὁρῶσι θάτερον.

D [27] Ἀλλ᾽ ἵνα μὴ πλείω περὶ τῶν αὐτῶν | λέγων διατρίβω, τὰς τροπὰς ἐργαζόμενος, ὥσπερ ἴσμεν, πατὴρ Ὡρῶν ἐστιν, οὐκ ἀπολείπων δὲ οὐδαμῶς τοὺς πόλους Ὠκεανὸς ἂν εἴη, διπλῆς ἡγεμὼν οὐσίας. Μῶν ἀσαφές τι καὶ τοῦτο λέγομεν, ἐπείπερ πρὸ 10 ἡμῶν αὐτὸ καὶ Ὅμηρος ἔφη „Ὠκεανός, ὅσπερ γένεσις πάντεσσι τέτυκται", θνητῶν τε καὶ „θεῶν", ὡς ἂν αὐτὸς φαίη, „μακάρων"; 148A ἀληθῶς. Ἓν γὰρ τῶν | πάντων οὐδέν ἐστιν, ὃ μὴ τῆς Ὠκεανοῦ πέφυκεν οὐσίας ἔγγονον. Ἀλλὰ τί τοῦτο πρὸς τοὺς πόλους; βούλει σοι φράσω; καίτοι σιωπᾶσθαι κρεῖσσον ἦν· εἰρήσεται δὲ ὅμως. 15

[28] Λέγεται γοῦν – εἰ καὶ μὴ πάντες ἑτοίμως ἀποδέχονται – ὁ δίσκος ἐπὶ τῆς ἀνάστρου φέρεσθαι πολὺ τῆς ἀπλανοῦς ὑψηλότερος· καὶ οὕτω δὴ τῶν μὲν πλανωμένων οὐχ ἕξει τὸ μέσον, τριῶν δὲ B τῶν κόσμων, κατὰ τὰς τελεστικὰς ὑποθέσεις, εἰ χρὴ τὰ τοιαῦτα | καλεῖν ὑποθέσεις, ἀλλὰ μὴ ταῦτα μὲν δόγματα, τὰ δὲ τῶν σφαιρι- 20 κῶν ὑποθέσεις. Οἱ μὲν γὰρ θεῶν ἢ δαιμόνων μεγάλων δή τινων ἀκούσαντές φασιν, οἱ δὲ ὑποτίθενται τὸ πιθανὸν ἐκ τῆς πρὸς τὰ φαινόμενα συμφωνίας. Αἰνεῖν μὲν οὖν ἄξιον καὶ τούσδε· πιστεύειν δὲ ἐκείνοις ὅτῳ βέλτιον εἶναι δοκεῖ, τοῦτον ἐγὼ παίζων καὶ

11–12 Hom. Ξ 246 (Ὠκεανοῦ, ὅς περ γένεσις πάντεσσι τέτυκται) ‖ **12** e.g. Hom. Α 339, θ 281

1 ἴσος f: -ως U (ἶσος in mg.) ‖ **2** νῦν codd.: οὖν Hertlein ‖ **5–6** ἀμφότεροι om. h ‖ **7** λέγων UOCGR: -ω TLZ ‖ **8** ὡρῶν OGTLZ: ὁρ- UCR ‖ **11** Ὠκεανός codd.: -οῦ Hom. | ὅσπερ UGR: ὥσ- CTLZ et (ut vid.) O[ac] | πάντεσσι U: πᾶσι f ‖ **12** τέτυκται UCh: τέτικτε O | καὶ θεῶν U: θ. τε h: θ. OC | αὐτὸς UOC: αὐ- Prato: αὐτὸ h ‖ **13** ἓν γὰρ — οὐδέν codd.: καὶ γ. — ο. vet. vulg.): καὶ γ. — οὐδὲ ἕν malim (sed cf. praef. XXVI) | τῆς UOCR: τοῖς GTLZ ‖ **14** ἔγγονον U: ἔκγ- f | πόλους f: πολλούς U ‖ **18** δὴ Hertlein dub. in app.: δὲ codd. ‖ **21** οἱ μὲν UC: οἶμαι Oh

σπουδάζων ἄγαμαί τε καὶ τεθαύμακα. Καὶ ταῦτα μὲν δὴ ταύτῃ, φασί.

| [29] Πολὺ δὲ πρὸς οἷς ἔφην πλῆθός ἐστι περὶ τὸν οὐρανὸν θεῶν, οὓς κατενόησαν οἱ τὸν οὐρανὸν μὴ παρέργως μηδὲ ὥσπερ τὰ βοσκήματα θεωροῦντες. Τοὺς τρεῖς γὰρ τετραχῇ τέμνων διὰ τῆς τοῦ ζῳοφόρου κύκλου πρὸς ἕκαστον αὐτῶν κοινωνίας τοῦτον αὖθις τὸν ζῳοφόρον εἰς δώδεκα θεῶν δυνάμεις διαιρεῖ, καὶ μέντοι τούτων ἕκαστον εἰς τρεῖς, ὥστε ποιεῖν ἓξ ἐπὶ τοῖς τριάκοντα. Ἔνθεν οἶμαι καθήκει ἄνωθεν ἡμῖν ἐξ οὐρανῶν τριπλῆ Χαρίτων | δόσις, ἐκ τῶν κύκλων, οὓς ὁ θεὸς ὅδε τετραχῇ τέμνων τὴν τετραπλῆν ἐπιπέμπει τῶν ὡρῶν ἀγλαΐαν, αἳ δὴ τὰς τροπὰς ἔχουσι τῶν καιρῶν. Κύκλον τοι καὶ αἱ Χάριτες ἐπὶ γῆς διὰ τῶν ἀγαλμάτων μιμοῦνται, χαριδότης τέ ἐστιν ὁ Διόνυσος ἐς ταὐτὸν λεγόμενος Ἡλίῳ συμβασιλεύειν. (C, D; lines 5, 10)

[30] Τί οὖν ἔτι σοι τὸν Ὧρον λέγω καὶ τἆλλα θεῶν ὀνόματα, τὰ πάντα Ἡλίῳ προσήκοντα; ξυνῆκαν γὰρ ἄνθρωποι τῶν θεῶν ἐξ ὧν ὁ θεὸς ὅδε ἐργάζεται, τὸν | ξύμπαντα οὐρανὸν τοῖς νοεροῖς ἀγαθοῖς τελειωσάμενος καὶ μεταδοὺς αὐτῷ τοῦ νοητοῦ κάλλους, ἀρξάμενός τε ἐκεῖθεν ὅλον τε αὐτὸν καὶ κατὰ μέρη τῇ τῶν ἀγαθῶν ἁδρᾷ δόσει ⟨***⟩ πᾶσαν γὰρ ἐπιτροπεύουσι κίνησιν ἄχρι τῆς τελευταίας τοῦ κόσμου λήξεως· φύσιν τε καὶ ψυχὴν καὶ πᾶν ὅ τι ποτέ ἐστι, πάντα πανταχοῦ τελειοῦται. (15, 149A, 20)

1 cf. Ar. Plut. 8 et Plat. Symp. 220c (καὶ ταῦτα μὲν δὴ ταῦτα), Crat. 401e (καὶ ταῦτα μὲν δὴ ταύτῃ … εἰρήσθω), Phaedr. 246d (ἀλλὰ ταῦτα μὲν δή … ταύτῃ ἐχέτω), Ep. 13 p. 360d (καὶ ταῦτα μὲν δὴ ταύτῃ) ; Ath. VIII 12 et X 67, Plot. Enn. I 8,10. IV 4,28. VI 7,28 (καὶ ταῦτα μὲν ταύτῃ); cf. ad C. Heracl. 20 supra p. 41,5

2 φασί UOh: φη- C: de hoc verbo delendo cog. Hertlein ‖ **3** περὶ τὸν οὐρανὸν codd.: τῶν π. τ. ο. Petavius in mg.: τῶν προσουρανίων vet. vulg. ‖ **8** ὥστε UOCGR: ὥσπερ TLZ ‖ **11** ὡρῶν codd.: Ὡρ- Lacombrade | καιρῶν UOCGR: ὡρῶν TLZ ‖ **12** τοι UOC: γέ τοι h ‖ **13** τέ U: δὲ h ‖ **15** Ὧρον Petavius in mg.: ὅ- codd. ‖ **16** ξυνῆκαν U: συν- f | ἄνθρωποι Hertlein: ἄν- codd. | τῶν θεῶν UO^{ac}C^{pc}: τὸν θεὸν O^{pc}C^{ac}h ‖ **17** ὁ θεὸς ὅδε del. Klimek (antea τὸν θεόν pro τῶν θεῶν legens) ‖ **19** ἀρξάμενός U: -νοί f | κατὰ U: τὰ f ‖ **20** ἁδρᾷ Hertlein in app.: ἀνδρῶν codd.: ἁδρῶν Marcilius in adn.: ἀθρόως Asmus[1] lacunam stat. Petavius: ⟨πληρῶν διὰ τῶν ἐγκοσμίων θεῶν⟩ temptavit Asmus[1] | ἐπιτροπεύουσι codd.: -εύει Wright (nulla lacuna antea statuta) | κίνησιν codd.: ⟨τὴν⟩ γένεσιν Asmus[1] ‖ **22** τελειοῦται codd.: -οῦσι Marcilius

[31] Τὴν δὴ τοσαύτην στρατιὰν τῶν θεῶν εἰς μίαν ἡγεμονικὴν
B ἕνωσιν συντάξας Ἀθηνᾷ Προνοίᾳ παρέ|δωκεν, ἣν ὁ μὲν μῦθός
φησιν ἐκ τῆς τοῦ Διὸς γενέσθαι κορυφῆς, ἡμεῖς δὲ ὅλην ἐξ ὅλου
τοῦ βασιλέως Ἡλίου προβληθῆναι συνεχομένην ἐν αὐτῷ, ταύτῃ
διαφέροντες τοῦ μύθου, ὅτι μὴ ἐκ τοῦ ἀκροτάτου μέρους, ὅλην δὲ 5
ἐξ ὅλου. Ἐπεὶ τἆλλά γε οὐδὲν διαφέρειν Ἡλίου Δία νομίζοντες
ὁμολογοῦμεν τῇ παλαιᾷ φήμῃ· καὶ τοῦτο δὲ αὐτὸ Πρόνοιαν
Ἀθηνᾶν λέγοντες οὐ καινοτομοῦμεν, εἴπερ ὀρθῶς ἀκούομεν
C „Ἵκετο δ᾿ ἐς Πυθῶνα καὶ ἐς Γλαυκῶπα Προνοίην“. | Οὕτως ἄρα
καὶ τοῖς παλαιοῖς ἐφαίνετο Ἀθηνᾶ Πρόνοια ξύνθρονος Ἀπόλλωνι, 10
τῷ νομιζομένῳ μηδὲν Ἡλίου διαφέρειν. Μή ποτε οὖν καὶ θείᾳ
μοίρᾳ τοῦτο Ὅμηρος – ἦν γάρ, ὡς εἰκός, θεόληπτος – ἀπεμαντεύ-
σατο πολλαχοῦ τῆς ποιήσεως „Τιοίμην δ᾿ ὡς τίετ᾿ Ἀθηναίη καὶ
Ἀπόλλων“, ὑπὸ Διὸς δήπουθεν, ὅσπερ ἐστὶν ὁ αὐτὸς Ἡλίῳ;

[32] Καθάπερ ⟨δ᾿⟩ ὁ βασιλεὺς Ἀπόλλων ἐπικοινωνεῖ διὰ τῆς 15
ἁπλότητος τῶν νοήσεων Ἡλίῳ, οὕτω δὴ καὶ τὴν Ἀθηνᾶν νομι-
D |στέον ἂν ἀπ᾿ αὐτοῦ παραδεξαμένην τὴν οὐσίαν οὖσάν τε αὐτοῦ
τελείαν νόησιν συνάπτειν μὲν τοὺς περὶ τὸν Ἥλιον θεοὺς αὖ τῷ
βασιλεῖ τῶν ὅλων Ἡλίῳ δίχα συγχύσεως εἰς ἕνωσιν, αὐτὴν δὲ τὴν
ἄχραντον καὶ καθαρὰν ζωὴν ἀπ᾿ ἄκρας ἀψῖδος οὐρανοῦ διὰ τῶν 20
ἑπτὰ κύκλων ἄχρι τῆς Σελήνης νέμουσαν ἐποχετεύειν, ἣν ἡ θεὸς
150A ἥδε τῶν κυκλικῶν οὖσαν | σωμάτων ἐσχάτην ἐπλήρωσε {διὰ} τῆς

3–14 cf. Eust. In Il. 83,41 (= I 132 Van der Valk): ὁ δὲ Παραβάτης, ἐν οἷς Δία νοεῖ τὸν ἥλιον, ἐξ αὐτοῦ γενέσθαι λέγει τὴν Ἀθηνᾶν ἤτοι τὴν πρόνοιαν. διό, φησί, καὶ θείᾳ μοίρᾳ Ὅμηρος (Θ 540, Ν 827) ἀπεμαντεύσατο τὸ "τιοίμην, ὡς τίεται Ἀθηναίη καὶ Ἀπόλλων". γεννᾷ δέ, φησίν, οὐκ ἐξ ἀκροτάτου μέρους, ἀλλὰ ὅλην ἐξ ὅλου. ὅτι δὲ Ἀθηνᾶ πρόνοια λέγεται, φέρει ἐκεῖνος καὶ χρῆσιν τοιαύτην· "ἵκετο δ᾿ ἐς Πυθὼ καὶ ἐς γλαυκῶπα προνοίην" (Euphor. fr. 2,2 Powell = fr. 190 Lightfoot = fr. 2b Acosta-Hughes).

1 δὴ codd.: δὲ vet. vulg. ‖ **2** Ἀθηνᾷ vel -ᾶν Petavius in mg.: -ᾶ codd.s Προνοίᾳ Hertlein: -αν codd. ‖ **9** Πυθῶνα codd.: -θὼ Eust. | γλαυκῶπα Eust.: -ῶνα codd. ‖ **10** ξύνθρονος U: συν- f ‖ **11** μή ποτε f: μή τε U ‖ **13** τίετ᾿ f: τι ἔτ᾿ U ‖ **14** ὅσπερ OCGR: ὥσ- UTLZ | Ἡλίῳ Hertlein ex Petavii vers. Lat.: Ἥλιος codd. ‖ **15** δ᾿ suppl. Hertlein: οὖν Prato (coll. 36 infra p. 164,11: Καθάπερ οὖν κτλ.) ‖ **16** δὴ UOCRTLZ: δὲ G (coni. Hertlein) ‖ **17** ἂν del. Hertlein ‖ **18** αὖ τῷ codd. (αὐτῶ C): αὐ⟨τῷ⟩ τῷ Asmus[3] ‖ **19** Ἡλίῳ δίχα συγχύσεως f: δ. σ. Ἡ. U ‖ **21** ἡ UOh: ὁ C ‖ **22** ἥδε om. TLZ | οὖσαν — ἐσχάτην vet. vulg.: -α — -η codd. | διὰ del. Hertlein (def. Boulenger[2])

φρονήσεως, ὑφ’ ἧς ἡ Σελήνη τά τε ὑπὲρ τὸν οὐρανὸν θεωρεῖ νοητὰ καὶ τὰ ὑφ’ ἑαυτὴν ⟨καὶ⟩ κοσμοῦσα τὴν ὕλην τοῖς εἴδεσιν ἀναιρεῖ τὸ θηριῶδες αὐτῆς καὶ ταραχῶδες καὶ ἄτακτον. Ἀνθρώποις δὲ ἀγαθὰ δίδωσιν Ἀθηνᾶ σοφίαν ⟨τό⟩ τε νοεῖν καὶ τὰς δημιουργικὰς τέχνας·
5 κατοικεῖ δὲ τὰς ἀκροπόλεις αὕτη δήπουθεν, καταστησαμένη τὴν πολιτικὴν διὰ σοφίας κοινωνίαν.

[33] Ὀλίγα ἔτι περὶ Ἀφροδίτης, ἣν | συνεφάπτεσθαι τῆς δημιουργίας τῷ θεῷ Φοινίκων ὁμολογοῦσιν οἱ λόγιοι καὶ ἐγὼ πείθομαι. Ἔστι δὴ οὖν αὕτη σύγκρασις τῶν οὐρανίων θεῶν, καὶ B
10 τῆς ἁρμονίας αὐτῶν ἔτι φιλία καὶ ἕνωσις. Ἡλίου γὰρ ἐγγὺς οὖσα καὶ συμπεριθέουσα καὶ πλησιάζουσα πληροῖ μὲν τὸν οὐρανὸν εὐκρασίας, ἐνδίδωσι δὲ τὸ γόνιμον τῇ γῇ, προμηθουμένη καὶ αὐτὴ τῆς ἀειγενεσίας τῶν ζῴων, ἧς ὁ μὲν βασιλεὺς Ἥλιος ἔχει τὴν πρωτουργὸν αἰτίαν, Ἀφροδίτη δὲ αὐ|τῷ συναίτιος, ἡ θέλγουσα μὲν C
15 τὰς ψυχὰς ἡμῶν σὺν εὐφροσύνῃ, καταπέμπουσα δὲ εἰς τὴν γῆν ἐξ αἰθέρος αὐγὰς ἡδίστας καὶ ἀκηράτους, αὐτοῦ τοῦ χρυσίου στιλπνοτέρας.

[34] Ἔτι ἐπιμετρῆσαι βούλομαι τῆς Φοινίκων θεολογίας· εἰ δὲ μὴ μάτην, ὁ λόγος προϊὼν δείξει. Οἱ τὴν Ἔδεσσαν οἰκοῦντες,
20 ἱερὸν ἐξ αἰῶνος Ἡλίου χωρίον, Μόνιμον αὐτῷ καὶ Ἄζιζον συγκαθιδρύουσιν· αἰνίττεσθαι δέ φησιν Ἰάμβλιχος, | παρ’ οὗπερ καὶ D

9–10 cf. Eusth. In Od. p. 1597,57–8 (ὁ παραβάτης φησὶν ὅτι σύγκρασις τῶν οὐρανίων ἡ Ἀφροδίτη καὶ τῆς ἁρμονίας αὐτῶν φιλία καὶ ἕνωσις)

1 ὑφ’ UOCR: ἐφ’ G (ut vid.) et TLZ ‖ **2** καὶ[2] suppl. Klimek, αἰσθητὰ ἐπιτροπεύει καὶ suppl. Asmus[1] ‖ **4** ⟨τό⟩ τε Hertlein: τε codd.: τὸ Boulenger[2]: τε ⟨καὶ⟩ Marcilius | τε νοεῖν codd.: τ’ ἔνθεον Asmus[3] (sine ⟨τό⟩ Hertleinii) **5** αὕτη OCh: αὔ.. U ‖ **10** ἔτι U: ἐστι f (ἐστι similiter repetitur or. 1,3 p. 5B; Ad Them. 8 supra p. 10,14-16; C. Cyn. 12 supra p. 95,7s.; Contra Gal. p. 228,16–18 Neumann) ‖ **11** καὶ[2] del. Asmus[3] | πλησιάζουσα UOC: συμπλ- h ‖ **12** προμηθουμένη UOh: προθυμου- C | αὐτὴ vet. vulg.: αὔ- codd. **14** αὐτῷ Uh: -οῦ O: -ῇ C ‖ **15** σύν om. h | εὐφροσύνῃ codd.: Εὐ- Asmus[2] τὴν om. f ‖ **16** καὶ ante αὐτοῦ add. Asmus[3] | τοῦ T (del. T[2]) et vet. vulg.: om. UOCGRLZ ‖ **18** ἐπιμετρῆσαι Hertlein in app.: μετριάσαι codd.: μέτριά ⟨σοι φρά⟩σαι Brinkmann: με φράσαι βούλει τι Asmus[3] | τι ante τῆς add. Boulenger[2], post ἐπιμετρῆσαι dubitanter Lacombrade (in app.): an post ἔτι ponendum?: ⟨περὶ⟩ τῆς Petavius in mg. (servato μετριάσαι) ‖ **19** Ἔδεσσαν codd.: Ἔμεσαν Spanheim in mg. (cf. 40 infra p. 168,2) ‖ **21** δέ om. f

τἆλλα πάντα ἐκ πολλῶν σμικρὰ ἐλάβομεν, ὡς ὁ Μόνιμος μὲν Ἑρμῆς εἴη, Ἄζιζος δὲ Ἄρης, Ἡλίου πάρεδροι, πολλὰ καὶ ἀγαθὰ τῷ περὶ γῆν ἐποχετεύοντες τόπῳ.

[35] Τὰ μὲν οὖν περὶ τὸν οὐρανὸν ἔργα τοῦ θεοῦ τοιαῦτά ἐστι, καὶ διὰ τούτων ἐπιτελούμενα μέχρι τῶν τῆς γῆς προήκει τελευ- 5 ταίων ὅρων· ὅσα δὲ ὑπὸ τὴν Σελήνην ἐργάζεται, μακρὸν ἂν εἴη τὰ 151A πάντα ἀπαριθμεῖσθαι, πλὴν ὡς ἐν κεφαλαίῳ | καὶ ταῦτα ῥητέον. Οἶδα μὲν οὖν ἔγωγε καὶ πρότερον μνημονεύσας, ὁπηνίκα ἠξίουν ἐκ τῶν φαινομένων τὰ ἀφανῆ περὶ τῆς τοῦ θεοῦ σκοπεῖν οὐσίας· ὁ λόγος δὲ ἀπαιτεῖ με καὶ νῦν ἐν τάξει περὶ αὐτῶν δηλῶσαι. 10

[36] Καθάπερ οὖν ἐν τοῖς νοεροῖς ἔχειν ἔφαμεν τὴν ἡγεμονίαν Ἥλιον, πολὺ περὶ τὴν ἀμέριστον οὐσίαν ἑαυτοῦ πλῆθος ἑνοειδῶς ἔχοντα τῶν θεῶν, ἔτι δὲ ἐν τοῖς αἰσθητοῖς, ἃ δὴ τὴν κύκλῳ διαιω- B νίαν πορεύεται | μάλα εὐδαίμονα πορείαν, ἀπεδείκνυμεν αὐτὸν ἀρχηγὸν καὶ κύριον, ἐνδιδόντα μὲν ⟨***⟩, πληροῦντα δὲ τὸν ὅλον 15 οὐρανὸν ὥσπερ τῆς φαινομένης αὐγῆς οὕτω δὲ καὶ μυρίων ἀγαθῶν ἀφανῶν ἄλλων, τελειούμενα δὲ ἐξ αὐτοῦ καὶ τὰ παρὰ τῶν ἄλλων ἐμφανῶν θεῶν ἀγαθὰ χορηγούμενα, καὶ πρό γε τούτων αὐτοὺς ἐκείνους ὑπὸ τῆς ἀπορρήτου καὶ θείας αὐτοῦ τελειουμένους ἐνεργείας, οὕτω δὴ καὶ περὶ τὸν ἐν γενέσει τόπον θεούς τινας 20 C ἐπιβεβηκέναι νομιστέ|ον ὑπὸ τοῦ βασιλέως Ἡλίου συνεχομένους, οἳ τὴν τετραπλῆν τῶν στοιχείων κυβερνῶντες φύσιν, περὶ ἃς ἐστήρικται ταῦτα ψυχάς, μετὰ τῶν τριῶν κρειττόνων ἐνοικοῦσι γενῶν.

1 σμικρὰ U: μ- f ‖ **2** πάρεδροι UOh: -ος C ‖ **3** γῆν UOCGRT: γῆς LZ **4** οὖν om. U ‖ **5–6** καὶ — ὅρων om. h ‖ **5** τούτων OC: τοιού- U ‖ **6** ὅσα UOC: ἃ h | μακρὸν UOCL: -ὰν GRTZ ‖ **8** ἠξίουν UL et R (ν super υ scr.): -ου OCGTZ ‖ **13** τῶν θεῶν UO^{pc}C^{ac}: τὸν -ὸν hO^{ac}C^{pc} | ἔτι Petavius in mg.: εἰ codd. ‖ **14** ἀπεδείκνυμεν O: ἀποδ- UCGTLZ: ἀποδείκνυσι μὲν R ‖ **15** καὶ om. h | ἐνδιδόντα μὲν ⟨τὸ γόνιμον τῇ φύσει, ἀπο⟩πληροῦντα Marcilius (cf. 33 supra p. 163,12: ἐνδίδωσι δὲ τὸ γόνιμον τῇ γῇ, et 36 infra p. 165,3: ἐνδιδοὺς ἄνωθεν αὐτῇ τὸ γόνιμον): ἐνδιδόντα μὲν ⟨αὐτοῖς τὴν εὐταξίαν⟩, πληροῦντα Lacombrade dub. in app. ‖ **20** δὴ codd.: δὲ Hertlein | τὸν ἐν γενέσει om. C (spatio octo fere litterarum relicto) | τόπον UOC: τρό- h (sed corr. R supra lin.) ‖ **21** ὑπὸ UOCGR: ὑπὲρ TLZ ‖ **23** ταῦτα U: ταύτας O (ex corr., ut vid.): -τη h: -τ* C (lac. unius litterae): τὰ τοιαῦτα Petavius | ψυχάς om. TLZ

Αὐταῖς δὲ ταῖς μερισταῖς ψυχαῖς ὅσων ἀγαθῶν ἐστιν αἴτιος, κρίσιν τε αὐταῖς προτείνων καὶ δίκῃ κατευθύνων καὶ ἀποκαθαίρων λαμπρότητι. τὴν ὅλην δὲ οὐχ οὗτος φύσιν, ἐνδιδοὺς ἄνωθεν αὐτῇ τὸ γόνιμον, κινεῖ καὶ ἀναζωπυρεῖ; ἀλλὰ καὶ ταῖς μερισταῖς
5 φύσεσιν | οὐ τῆς εἰς τέλος πορείας οὗτός ἐστιν ἀληθῶς αἴτιος; D
ἄνθρωπον γὰρ ὑπὸ ἀνθρώπου γεννᾶσθαί φησιν Ἀριστοτέλης καὶ ἡλίου. Ταὐτὸν δὴ οὖν καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, ὅσα τῶν μεριστῶν ἐστι φύσεων ἔργα, περὶ τοῦ βασιλέως Ἡλίου προσήκει διανοεῖσθαι. Τί δέ; οὐχ ἡμῖν ὄμβρους καὶ ἀνέμους καὶ τὰ ἐν τοῖς
10 μεταρσίοις γιγνόμενα τῷ διττῷ τῆς ἀναθυμιάσεως οἷον ὕλῃ χρώμενος ὁ θεὸς οὗτος ἐργάζεται; θερμαίνων γὰρ τὴν γῆν ἀτμίδα καὶ καπνὸν ἕλκει, γίνεται | δὲ ἐκ τούτων οὐ τὰ μετάρσια μόνον, 152A
ἀλλὰ καὶ ὅσα ἐπὶ γῆς πάθη, σμικρὰ καὶ μεγάλα.

[37] Τί οὖν ἐπὶ τῶν αὐτῶν ἐπέξειμι μακρότερον, ἐξὸν ἐπὶ τὸ
15 πέρας ἤδη βαδίζειν, ὑμνήσαντα πρότερον ὅσα ἔδωκεν ἀνθρώποις Ἥλιος ἀγαθά; γινόμενοι γὰρ ἐξ αὐτοῦ τρεφόμεθα παρ᾽ ἐκείνου. Τὰ μὲν οὖν θειότερα καὶ ὅσα ταῖς ψυχαῖς δίδωσιν ἀπολύων αὐτὰς τοῦ σώματος, εἶτα ἐπανάγων ἐπὶ τὰς τοῦ θεοῦ συγ|γενεῖς οὐσίας, B
καὶ τὸ λεπτὸν καὶ εὔτονον τῆς θείας αὐγῆς οἷον ὄχημα τῆς εἰς τὴν
20 γένεσιν ἀσφαλοῦς διδόμενον καθόδου ταῖς ψυχαῖς ὑμνείσθω τε ἄλλοις ἀξίως καὶ ὑφ᾽ ἡμῶν πιστευέσθω μᾶλλον ἢ δεικνύσθω· τὰ δὲ ὅσα γνώριμα πέφυκε τοῖς πᾶσιν οὐκ ὀκνητέον ἐπεξελθεῖν.

[38] Οὐρανόν φησι Πλάτων ἡμῖν γενέσθαι τῆς σοφίας διδάσκαλον. Ἔνθεν γὰρ ἀριθμοῦ κατενοήσαμεν φύσιν, ἧς τὸ
25 διαφέρον οὐκ ἄλλως ἢ διὰ τῆς ἡλίου περιόδου κα|τενοήσαμεν. C

6–7 Arist. Phys. II 2 p. 194b13 (ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος) **23–24** cf. [Plat.] Epin. 977ab

1 ὅσων Hertlein: ὁπόσων codd.: fortasse πόσων scribendum (cum interrogationis signo in fine) ‖ **2** δίκῃ UOC: -ην h ‖ **3** αὐτῇ f: -ὴ U **4** ἀναζωπυρεῖ f: -ζωποιεῖ U ‖ **5** οὐ Marcilius in adn.: ὁ codd. ‖ **8** περὶ URTLZ: παρὰ OCG ‖ **10** γιγνόμενα UOC: γεν- h (γιν- R) ‖ **13** ἐπὶ γῆς Hertlein: ὑπὸ γῆν codd. | σμικρὰ UOC: μ- h ‖ **14** ἐπὶ[1] UOC: πρὸς h: „malim περὶ" Hertlein in app. | αὐτῶν UOC: αὐγ- h | ἐπέξειμι Marcilius in adn.: -ίειμι OC: -ίημι h: -ήει U | μακρότερον codd.: -ρα Hertlein ‖ **15** πέρας vet. vulg.: κ- codd. ‖ **16** γινόμενοι f: γεν- U | ἐξ UOCRTLZ: δὲ G („voluit δι᾽" Reiske) ‖ **17** θειότερα f: ἀμφότερα U: ἀμφότερα θειότερα Prato **20** ἀσφαλοῦς UOh: ἀσθαλῶς C | καθόδου UOGR: -λου C: μεθόδου TLZ **23** τῆς om. f

Φησί τοι καὶ αὐτὸς Πλάτων ἡμέραν καὶ νύκτα πρότερον ⟨***⟩ εἶτα ἐκ τοῦ φωτὸς τῆς σελήνης, ὃ δὴ δίδοται τῇ θεῷ ταύτῃ παρ' ἡλίου, μετὰ τοῦτο προήλθομεν ἐπὶ πλέον τῆς τοιαύτης συνέσεως, ἁπανταχοῦ τῆς πρὸς τὸν θεὸν τοῦτον στοχαζόμενοι συμφωνίας. Ὅπερ αὐτός πού φησιν, ὡς ἄρα τὸ γένος ἡμῶν ἐπίπονον ὂν φύσει 5 θεοὶ ἐλεήσαντες ἔδωκαν ἡμῖν τὸν Διόνυσον καὶ τὰς Μούσας D συγχορευτάς. Ἐφάνη δὲ ἡμῖν Ἥλιος τούτων κοινὸς ἡγε|μών, Διονύσου μὲν πατὴρ ὑμνούμενος, ἡγεμὼν δὲ Μουσῶν.

[39] Ὁ δὲ αὐτῷ συμβασιλεύων Ἀπόλλων οὐ πανταχοῦ μὲν ἀνῆκε τῆς γῆς χρηστήρια, σοφίαν δὲ ἔδωκεν ἀνθρώποις ἔνθεον, 10 ἐκόσμησε δὲ ἱεροῖς καὶ πολιτικοῖς τὰς πόλεις θεσμοῖς; οὕτως ἡμέρωσε μὲν διὰ τῶν Ἑλληνικῶν ἀποικιῶν τὰ πλεῖστα τῆς οἰκουμένης, παρεσκεύασε δὲ ῥᾷον ὑπακοῦσαι Ῥωμαίοις, ἔχουσι καὶ αὐτοῖς οὐ γένος μόνον Ἑλληνικόν, ἀλλὰ καὶ θεσμοὺς ἱερούς καὶ 153A τὴν | περὶ τοὺς θεοὺς εὐπιστίαν ἐξ ἀρχῆς εἰς τέλος Ἑλληνικὴν 15 καταστησαμένοις τε καὶ φυλάξασι, πρὸς δὲ τούτοις καὶ τὸν περὶ τὴν πόλιν κόσμον οὐδεμιᾶς τῶν ἄριστα πολιτευσαμένων πόλεων καταστησαμένοις φαυλότερον, εἰ μὴ καὶ τῶν ἄλλων ἁπασῶν, ὅσαι γε ἐν χρήσει γεγόνασι πολιτεῖαι, κρείσσονα· ἀνθ' ὧν οἶμαι καὶ αὐτὸς ἔγνω τὴν πόλιν Ἑλληνίδα γένος τε καὶ πολιτείαν. 20

B Ἔτι σοι λέγω, πῶς τῆς ὑγιείας καὶ | σωτηρίας πάντων προὐνόησε, τὸν σωτῆρα τῶν ὅλων ἀπογεννήσας Ἀσκληπιόν; ὅπως δὲ ἀρετὴν ἔδωκε παντοίαν Ἀφροδίτην Ἀθηνᾷ συγκαταπέμψας

1–2 cf. Plat. Tim. 39bc ‖ **5–7** Plat. Leg. II 653cd (θεοὶ δὲ οἰκτίραντες τὸ τῶν ἀνθρώπων ἐπίπονον πεφυκὸς γένος … Μούσας Ἀπόλλωνά τε μουσηγέτην καὶ Διόνυσον συνεορταστὰς ἔδοσαν), 665a (θεοὺς δὲ ἔφαμεν ἐλεοῦντας ἡμᾶς συγχορευτάς … ἡμῖν δεδωκέναι τόν τε Ἀπόλλωνα καὶ Μούσας, καὶ δὴ καὶ τρίτον … Διόνυσον)

1 αὐτὸς Boulenger[2]: αὐτ- codd. | ἡμέραν Uh: -ρα OC | post πρότερον lac. statuit Petavius, γεγονέναι dub. suppl. Lacombrade ‖ **2** τῇ f: τῷ U ‖ **6** θεοὶ UOC: -ὸν h | ἐλεήσαντες UOC: ἑλκύσ- h ‖ **10** ἀνῆκε UOC: ἐν- h ‖ **11** οὕτως U: οὗτος f ‖ **15** εὐπιστίαν R[pc] (et coni. Marcilius in adn.): ἀπιστίαν codd. (πίστιν TLZ, omnes in mg.) | Ἑλληνικὴν UOC: -ὸν h ‖ **16** φυλάξασι UOCL: -ξουσι GRTZ ‖ **17** πολιτευσαμένων UOC: -ευομένων h ‖ **19** γε Hertlein: τε codd. ‖ **20** αὐτὸς UOh: -ὴν C ‖ **21** ἔτι codd. (ὅτι TLZ): ⟨τί⟩ ἔτι Marcilius in adn.: „fort. vero praestat ἔτι σοι βούλει λέγω" Hertlein (cf. 41 infra p. 169,1: Ἔτι σοι βούλει … φράσω) | ὑγιείας vet. vulg.: ὑγεί- codd. ‖ **23** παντοίαν U: τοίαν f

ἡμῖν κηδεμόνα, μόνον οὐχὶ νόμον θέμενος πρὸς μηδὲν ἕτερον χρῆσθαι τῇ μίξει ἢ πρὸς τὴν γένεσιν τοῦ ὁμοίου; διά τοι τοῦτο καὶ κατὰ τὰς περιόδους αὐτοῦ πάντα τὰ φυόμενα καὶ τὰ παντοδαπῶν ζῴων φῦλα κινεῖται πρὸς ἀπογέννησιν τοῦ ὁμοίου. Τί χρὴ τὰς 5 ἀκτῖνας | αὐτοῦ καὶ τὸ φῶς σεμνῦναι; νὺξ γοῦν ἀσέληνός τε καὶ C ἄναστρος ὅπως ἐστὶ φοβερόν, ἆρα ἐννοεῖ τις, ἵν' ἐντεῦθεν, ὁπόσον ἔχομεν ἀγαθὸν ἐξ ἡλίου τὸ φῶς, τεκμήρηται; τοῦτο δὲ αὐτὸ συνεχὲς παρέχων καὶ ἀμεσολάβητον νυκτὶ ἐν οἷς χρὴ τόποις ἀπὸ τῆς σελήνης τοῖς ἄνω, ἐκεχειρίαν ἡμῖν διὰ τῆς νυκτὸς τῶν πόνων 10 δίδωσιν. Οὐδὲν ἂν γένοιτο πέρας τοῦ λόγου, εἰ πάντα ἐπιέναι τις ἐθελήσειε τὰ τοιαῦτα· ἓν γὰρ οὐδέν ἐστιν ἀγαθὸν | κατὰ τὸν βίον, D ὃ μὴ παρὰ τοῦδε τοῦ θεοῦ λαβόντες ἔχομεν, ἤτοι παρὰ μόνου τέλειον, ἢ διὰ τῶν ἄλλων θεῶν παρ' αὐτοῦ τελειούμενον.

[40] Ἡμῖν δέ ἐστιν ἀρχηγὸς καὶ τῆς πόλεως· οἰκεῖ γοῦν αὐτῆς 15 οὐ τὴν ἀκρόπολιν μόνον μετὰ τῆς Ἀθηνᾶς καὶ Ἀφροδίτης Ζεὺς ὁ πάντων πατὴρ ὑμνούμενος, ἀλλὰ καὶ Ἀπόλλων ἐπὶ τῷ Παλλαντίῳ λόφῳ καὶ Ἥλιος αὐτός, τοῦτο κοινὸν ὄνομα καὶ πᾶσι γνώριμον. Ὅπως δὲ αὐτῷ | πάντῃ καὶ πάντα προσήκομεν οἱ Ῥωμυλίδαι τε καὶ Αἰνεάδαι, πολλὰ ἔχων εἰπεῖν ἐρῶ βραχέα τὰ γνωριμώ- 154A 20 τατα.

Γέγονε, φασίν, ἐξ Ἀφροδίτης Αἰνείας, ἥπερ ἐστὶν ὑπουργὸς Ἡλίῳ καὶ συγγενής. Αὐτὸν δὲ τὸν κτίστην ἡμῶν τῆς πόλεως Ἄρεος ἡ φήμη παρέδωκε παῖδα, πιστουμένη τὸ παράδοξον τῶν λόγων διὰ τῶν ὕστερον ἐπακολουθησάντων σημείων· ὑπέσχε γὰρ

1 ἡμῖν f: -ῶν U | post κηδεμόνα interp. Asmus[3], post ἡμῖν edd. | νόμον UOC: -ους h ‖ **2** γένεσιν codd.: -ννησιν Asmus[3] (cf. infra l. 4) ‖ **3** αὐτοῦ UOC: -ῶν h ‖ **4** δὲ post τί add. Marcilius in adn. ‖ **6** φοβερόν codd.: -ρά vet. vulg. | ἆρα Uh: ἄ- O: om. C ‖ **9** τοῖς UO: τῆς Ch | οὐκ ante ἐκεχειρίαν suppl. K (et Marcilius, addito interrogationis signo post δίδωσιν) ἐκεχειρίαν f: -ας U | τῶν πόνων UOh: τὸν -ον C ‖ **10** ἐπιέναι UOC: ἐπεξ- Hertlein: πίονα h ‖ **11** ἓν γὰρ οὐδέν codd.: οὐδὲ ἓν γάρ malim (sed v. praef. XXVI) ‖ **12** λαβόντες U: λαμβάνειν f | παρὰ[2] UOCR: περὶ GTLZ ‖ **17** τὸ post τοῦτο add. Hertlein in app. (huius loci sensus mihi non satis perspicuus; verba τοῦτο — γνώριμον fortasse ut glossema delenda) | καὶ πᾶσι UOC: π. κ. h ‖ **18** πάντῃ Marcilius in adn.: παντί codd. | προσήκομεν U: -ήκει Ch: -ήκει*** O: -ήκουσιν Marcilius ‖ **18–19** Ῥωμυλίδαι Uh: -μιλ- OC **19** Αἰνεάδαι UOCGR: Οἱ- TZ et (sed in οἱ Αἰν- corr.) L **19–20** γνωριμώτατα U: -ρίσματα f ‖ **23** Ἄρεος Uh: -ως OC ‖ **24** ὕστερον UOC: -τέρων h

αὐτῷ μαζόν, φησί, θήλεια λύκος. Ἐγὼ δὲ ὅτι μὲν Ἄρης Ἄζιζος
B λεγόμενος | ὑπὸ τῶν οἰκούντων τὴν Ἔδεσσαν Σύρων Ἡλίου
προπομπεύει, καίπερ εἰδὼς καὶ προειπὼν ἀφήσειν μοι δοκῶ. Τοῦ
χάριν δὲ ὁ λύκος Ἄρει μᾶλλον, οὐχὶ δὲ Ἡλίῳ προσήκει; καίτοι
λυκάβαντά φασιν ἀπὸ τοῦ θεοῦ τὸν ἐνιαύσιον χρόνον· ὀνομάζει δὲ 5
αὐτὸν οὐχ Ὅμηρος μόνον οὐδὲ οἱ γνώριμοι τῶν Ἑλλήνων τοῦτο
τὸ ὄνομα, πρὸς δὲ καὶ ὁ θεός· διανύειν γάρ φησιν „ὀρχηθμῷ
λυκάβαντα, δυωδεκάμηνα κέλευθα.“ |

C Βούλει οὖν ἔτι σοι τούτου φράσω μεῖζον τεκμήριον, ὅτι ἄρα ὁ
τῆς πόλεως ἡμῶν οἰκιστὴς οὐχ ὑπ' Ἄρεος κατεπέμφθη μόνον, 10
ἀλλ' ἴσως αὐτῷ τῆς μὲν τοῦ σώματος κατασκευῆς συνεπελάβετο
δαίμων ἀρήϊος καὶ γενναῖος, ὁ λεγόμενος ἐπιφοιτῆσαι τῇ Σιλβίᾳ
λουτρὰ τῇ θεῷ φερούσῃ, τὸ δὲ ὅλον ἐξ Ἡλίου κατῆλθεν ἡ ψυχὴ τοῦ
θεοῦ Κυρίνου; πειστέον γὰρ οἶμαι τῇ φήμῃ. Σύνοδος ⟨αὕτη⟩
D ἀκριβὴς τῶν τὴν ἐμφανῆ κατανειμαμένων βασιλείαν | Ἡλίου τε 15
καὶ Σελήνης· ὥσπερ οὖν εἰς τὴν γῆν κατήγαγεν, οὕτω καὶ ἀνήγα-
γεν ὃν ἀπὸ τῆς γῆς ἐδέξατο, τὸ θνητὸν ἀφανίσασα πυρὶ κεραυνίῳ
τοῦ σώματος. Οὕτω προδήλως ἡ τῶν περιγείων δημιουργὸς ὑπ'
αὐτὸν ἄκρως γενομένη τὸν Ἥλιον ἐδέξατο εἰς γῆν πεμπόμενον
διὰ τῆς Ἀθηνᾶς τῆς Προνοίας τὸν Κυρῖνον, ἀνιπτάμενόν τε αὖθις 20
ἀπὸ γῆς ἐπὶ τὸν βασιλέα τῶν ὅλων ἐπανήγαγεν αὐτίκα Ἥλιον.

7–8 hic versus alibi non invenitur (hymnum Delphicum agnoscit Marcone)

1 μαζὸν φησί U: φ. μ. f (φασί Hertlein) ‖ **2** οἰκούντων UOC: ἐνοικ- h Ἔδεσσαν codd.: Ἔμεσαν Spanheim in mg. (cf. 34 supra p. 163,19) ‖ **4** δὲ[1] UOh: δὴ C ‖ **5** θεοῦ codd.: λύκου Petavius in mg. ‖ **6** post οὐδὲ lacunam statuit (et e.g. verbis οἱ ἄλλοι σοφοὶ explevit) Asmus[3] | οἱ vet. vulg.: οἵδε UOCGTZ: οἵ γε RL ‖ **7** αὐτὸς ante ὁ θεός add. Asmus[1] | διανύειν Asmus[3]: -ων codd. ‖ **8** δυωδεκάμηνα f: δυο- U ‖ **9** τούτου om. f ‖ **10** Ἄρεος UOh: -ως C ‖ **11** συνεπελάβετο UGR: συνυπ- TLZ: συνεπελάθ- OC ‖ **12** ἀρήϊος vet. vulg. (cf eandem iuncturam δαίμων ἀρήϊος ap. Synes. ep. 57 l. 156): ἀρηϊκός U (quae vox nusquam alibi invenitur): ἀρεϊκός f | Σιλβία f: Σιμαία U **14** αὕτη supplevi ‖ **16** οὕτω OC: -ως Us ‖ **16–17** οὕτω καὶ ἀνήγαγεν om. h ‖ **17** ὃν Marcilius in adn.: ἣν codd. (de ἀπὸ τῆς γῆς ἣν ἐδέξατο cog. Lacombrade in app.) ‖ **18** δημιουργὸς UOC: -γία h ‖ **19** πεμπόμενον Petavius in mg.: πεμπόμ… U: -μένη f

[41] Ἔτι σοι βούλει περὶ τῶν | αὐτῶν φράσω τεκμήριον ⟨τὸ⟩ 155A
τοῦ Νουμᾶ τοῦ βασιλέως ἔργον; ἄσβεστον ἐξ Ἡλίου φυλάττουσι
φλόγα παρθένοι παρ' ἡμῖν ἱεραὶ κατὰ τὰς ἀδιαφθόρους Ὥρας, αἳ
δὴ τὸ γενόμενον {ὑπὸ τῆς σελήνης} περὶ τὴν γῆν ὑπὸ τοῦ θεοῦ
5 πῦρ φυλάττουσιν.

Ἔτι τούτων μεῖζον ἔχω σοι φράσαι τοῦ θεοῦ τοῦδε τεκμήριον,
αὐτοῦ τοῦ θειοτάτου βασιλέως ἔργον· οἱ μῆνες ἅπασι μὲν ὡς ἔπος
εἰπεῖν τοῖς ἄλλοις ἀπὸ τῆς σελήνης ἀριθμοῦνται, μόνοι δὲ ἡμεῖς
καὶ | Αἰγύπτιοι πρὸς τὰς ἡλίου κινήσεις ἑκάστου μετροῦμεν ἐνιαυ- B
10 τοῦ τὰς ἡμέρας. Εἴ σοι μετὰ τοῦτο φαίην, ὡς καὶ τὸν Μίθραν
τιμῶμεν καὶ ἄγομεν Ἡλίῳ τετραετηρικοὺς ἀγῶνας, ἐρῶ νεώτερα·
βέλτιον δὲ ἴσως ἕν τι τῶν παλαιοτέρων προσθεῖναι.

[42] Τοῦ γὰρ ἐνιαυσίου κύκλου τὴν ἀρχὴν ἄλλος ἄλλοθεν
ποιούμενος, οἱ μὲν τὴν ἐαρινὴν ἰσημερίαν, οἱ δὲ τὴν ἀκμὴν τοῦ
15 θέρους, οἱ πολλοὶ δὲ φθίνουσαν ἤδη τὴν ὀπώραν, Ἡλίου τὰς ἐμφα-
νεστάτας ὑμνοῦσι δωρε|άς· ὁ μέν τις τὴν τῆς ἐργασίας ἐνδιδομένην C
εὐκαιρίαν, ὅτε ἡ γῆ θάλλει καὶ γαυριᾷ φυομένων ἄρτι τῶν
καρπῶν ἁπάντων, γίνεται δὲ ἐπιτήδεια πλεῖσθαι τὰ πελάγη καὶ
τὸ τοῦ χειμῶνος ἀμειδὲς καὶ σκυθρωπὸν ἐπὶ τὸ φαιδρότερον
20 μεθίσταται· οἱ δὲ τὴν τοῦ θέρους ἐτίμησαν ὥραν, ὡς ἀσφαλῶς τότε
ὑπὲρ τῆς τῶν καρπῶν ἕξοντες θαρρῆσαι γενέσεως, τῶν μὲν
σπερμάτων ἤδη συνειλεγμένων, ἀκμαίας δὲ οὔσης τῆς ὀπώρας
ἤδη καὶ | πεπαινομένων τῶν ἐπικειμένων καρπῶν τοῖς δένδροις. D

1 τὸ suppl. Boulenger[2] ‖ **2** τοῦ Νουμᾶ Marcilius in adn. (cf. Iul. Contra Gal. p. 195,21 Neumann: ὁ Ζεὺς τὸν φιλοσοφώτατον αὐτῇ Νουμᾶν ἐφίστησιν. οὗτος ἦν ὁ καλὸς καὶ ἀγαθὸς ὁ Νουμᾶς κτλ.): τοὔνομα codd.: τοῦ Νόμα Hertlein (cf. 42 infra p. 170,6), τοῦ Νομᾶ Thillet ‖ **3** ἀδιαφθόρους UO: διαφθ- C: διαφόρους h ‖ **3–4** αἳ δὴ potius ad παρθένοι quam ad Ὥρας referenda videntur („non videtur cohaerere sententia" Petavius); fortasse verba κατὰ τὰς — φυλάττουσιν serius addita sunt ‖ **4** γενόμενον OCh: γεννώ- U | verba ὑπὸ τῆς σελήνης iam Petavio suspecta del. Hertlein (qui etiam de ὑπὸ τὴν σελήνην cog.): ἀπὸ τῆς σελ. Asmus[1] ‖ **6** τούτων f: -ου U | τοῦ θεοῦ τοῦδε UOh: τοῦδε τ. θ. C ‖ **7–8** ὡς ἔπος εἰπεῖν τοῖς ἄλλοις U: τ. ἄ. ὡς ἔ. εἰπ. f **10** φαίην f: -η U ‖ **11** τετραετηρικοὺς UO: τετρακτη- C: τετραετιδοὺς h νεώτερα U: -ον f ‖ **12** προσθεῖναι codd.: προθ- Petavius in mg. ‖ **16** τις f: τις δὲ U | τὴν UOCR: τὰς GTLZ ‖ **17** εὐκαιρίαν om. f ‖ **18** πλεῖσθαι UOCR: -στα GTLZ ‖ **19** ἀμειδὲς codd.: ἀηδ- vet. vulg. ‖ **20** ὥραν U (et coni. Hertlein): ἡμέραν f (om. G): εὐημερίαν Klimek ‖ **21** ὑπὲρ om. U (in spatio vacuo) | ἕξοντες codd.: ἔχ- vet. vulg.

Ἄλλοι δὲ τούτων ἔτι κομψότεροι τέλος ὑπέλαβον ἐνιαυτοῦ τὴν τελειοτάτην τῶν καρπῶν ἁπάντων ἀκμὴν καὶ φθίσιν· ταῦτά τοι καὶ φθινούσης ἤδη τῆς ὀπώρας ἄγουσι τὰς κατ᾽ ἐνιαυτὸν νεομηνίας.

Οἱ δὲ ἡμέτεροι προπάτορες ἀπ᾽ αὐτοῦ τοῦ θειοτάτου βασιλέως 5 τοῦ Νουμᾶ μειζόνως ἔτι τὸν θεὸν τοῦτον σεβόμενοι τὰ μὲν τῆς χρείας ἀπέλιπον, ἅτε οἶμαι φύσει θεῖοι καὶ περιττοὶ τὴν διάνοιαν, 156A αὐτὸν δὲ εἶδον τούτων τὸν αἴτιον καὶ ἄγειν | ἔταξαν συμφώνως ἐν τῇ παρούσῃ τῶν ὡρῶν τὴν νεομηνίαν, ὁπότε ὁ βασιλεὺς Ἥλιος αὖθις ἐπανάγει πρὸς ἡμᾶς ἀφεὶς τῆς μεσημβρίας τὰ ἔσχατα καὶ 10 ὥσπερ περὶ νύσσαν τὸν αἰγοκέρωτα κάμψας ἀπὸ τοῦ νότου πρὸς τὸν βορρᾶν ἔρχεται μεταδώσων ἡμῖν τῶν ἐπετείων ἀγαθῶν. Ὅτι δὲ τοῦτο ἀκριβῶς ἐκεῖνοι διανοηθέντες οὕτως ἐνεστήσαντο τὴν ἐπέτειον νεομηνίαν, ἔνθεν ἄν τις κατανοήσειεν. Οὐ γὰρ οἶμαι καθ᾽ B ἣν ἡμέραν ὁ θεὸς τρέπε|ται, καθ᾽ ἣν δὲ τοῖς πᾶσιν ἐμφανὴς γίνεται 15 χωρῶν ἀπὸ τῆς μεσημβρίας ἐς τὰς ἄρκτους ἔταξαν οὕτω τὴν ἑορτήν. Οὔπω μὲν γὰρ ἦν αὐτοῖς ἡ τῶν κανόνων λεπτότης γνώριμος – οὓς ἐξεῦρον μὲν Χαλδαῖοι καὶ Αἰγύπτιοι, Ἵππαρχος δὲ καὶ Πτολεμαῖος ἐτελειώσαντο –, κρίνοντες δὲ αἰσθήσει τοῖς φαινομένοις ἠκολούθουν. Οὕτω δὲ ταῦτα καὶ παρὰ τῶν μεταγενεστέρων, 20 ὡς ἔφην, ἔχοντα κατενοήθη· Πρὸ τῆς νεομηνίας, εὐθέως μετὰ τὸν τελευταῖον τοῦ Κρόνου μῆνα, ποιοῦμεν Ἡλίῳ τὸν περιφανέστατον C ἀγῶνα, τὴν ἑορτὴν Ἡ|λίῳ καταφημίσαντες ἀνικήτῳ, μεθ᾽ ὃν οὐδὲν θέμις ὧν ὁ τελευταῖος μὴν ἔχει σκυθρωπῶν μέν, ἀναγκαίων

1 ὑπέλαβον ἐνιαυτοῦ U: ἐν. ὑπ. f ‖ **2** φθίσιν UOC: φύσιν h (φθύ- T) | τοι UOCGR: μοι TLZ ‖ **3–4** νεομηνίας Prato (cf. Misop. 4 infra p. 177,10 et 15 infra p. 186,5, ubi νεο- exhibent omnes codd.): νου- codd. (cf. infra l. 9) **6** τοῦ Νουμᾶ Marcilius in adn.: τοὔνομα codd.: τοῦ Νόμα Hertlein, τοῦ Νομᾶ Thillet (cf. 41 supra p. 169,2) ‖ **8** εἶδον U: ἰδόντες f | αἴτιον UOh: ἄρτ- C **9** νεομηνίαν U: νου- f (τῇ -ίᾳ C) ‖ **11** περὶ om. f ‖ **14** νεομηνίαν UOC: νου- h ‖ **16** μεσημβρίας vet. vulg.: -ινῆς codd. | οὕτω codd.: οὗτοι Hertlein **19** ἐτελειώσαντο f: -τελεώ- U ‖ **20** παρὰ UO: περὶ Ch ‖ **21** κατενοήθη UOC: -εμηνύθη h | νεομηνίας UOC: νου- h (νεου- T) ‖ **22** τοῦ codd.: τὸν Klimek fortasse recte | Κρόνου Petavius (κρ- iam Marcilius): χρ- codd. | de μῆνα voce fortasse delenda cog. Petavius in adn., ita ut τὸν τελευταῖον scil. ἀγῶνα intelligi posset ‖ **23** ὃν UOC: ὧν h ‖ **24** ὧν UOh: ὃν C | σκυθρωπῶν — ἀναγκαίων UO: -ῶν — -ος C: -ὸν — -ὸν h

δὲ ὅμως, ἐπιτελεσθῆναι θεαμάτων, ἀλλὰ τοῖς Κρονίοις οὖσι τελευ-
ταίοις εὐθὺς συνάπτει κατὰ τὸν κύκλον τὰ Ἡλίεια.

[43] Ἃ δὴ πολλάκις μοι δοῖεν οἱ βασιλεῖς ὑμνῆσαι καὶ ἐπιτε-
λέσαι θεοί, καὶ πρό γε τῶν ἄλλων αὐτὸς ὁ βασιλεὺς τῶν ὅλων
5 Ἥλιος, ὁ περὶ τὴν τἀγαθοῦ γόνιμον οὐσίαν ἐξ ἀιδίου προελθών,
μέσος ἐν μέσοις τοῖς νοεροῖς | θεοῖς, συνοχῆς τε αὐτοὺς πληρώσας D
καὶ κάλλους μυρίου καὶ περιουσίας γονίμου καὶ τελείου νοῦ καὶ
πάντων ἀθρόως τῶν ἀγαθῶν ἀχρόνως, καὶ ἐν τῷ νῦν ἐλλάμπων
εἰς τὴν ἐμφανῆ μέσην τοῦ παντὸς οὐρανοῦ φερομένην ἕδραν
10 οἰκείαν ἐξ ἀιδίου, καὶ μεταδιδοὺς τῷ φαινομένῳ παντὶ τοῦ νοητοῦ
κάλλους, τὸν δὲ οὐρανὸν σύμπαντα πληρώσας τοσούτων θεῶν
ὁπόσων αὐτὸς ἐν | ἑαυτῷ νοερῶς ἔχει, περὶ αὐτὸν ἀμερίστως 157A
πληθυνομένων καὶ ἑνοειδῶς αὐτῷ συνημμένων, οὐ μὴν ἀλλὰ καὶ
τὸν ὑπὸ τὴν σελήνην τόπον διὰ τῆς ἀειγενεσίας συνέχων καὶ τῶν
15 ἐνδιδομένων ἐκ τοῦ κυκλικοῦ σώματος ἀγαθῶν, ἐπιμελόμενός τε
τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους ἰδίᾳ τε τῆς ἡμετέρας πόλεως,
ὥσπερ οὖν καὶ τὴν ἡμετέραν ἐξ ἀιδίου ψυχὴν ὑπέστησεν, ὀπαδὸν
ἀποφήνας αὑτοῦ.

Ταῦτά τε οὖν ἡμῖν, ὅσα μικρῷ πρόσθεν ηὐ|ξάμην, δοίη, καὶ ἔτι B
20 κοινῇ μὲν τῇ πόλει τὴν ἐνδεχομένην ἀιδιότητα {τὰ} μετ᾽ εὐνοίας
χορηγῶν φυλάττοι, ἡμῖν δὲ ἐπὶ τοσοῦτον εὖ πρᾶξαι τά τε ἀνθρώ-
πινα καὶ τὰ θεῖα δοίη, ἐφ᾽ ὅσον βιῶναι ξυγχωρεῖ, ζῆν δὲ καὶ ἐμπο-
λιτεύεσθαι τῷ βίῳ δοίη ἐφ᾽ ὅσον αὐτῷ τε ἐκείνῳ φίλον ἡμῖν τε
λώιον καὶ τοῖς κοινοῖς Ῥωμαίων ξυμφέρον πράγμασι.

25 [44] Ταῦτά σοι, ὦ φίλε Σαλούστιε, κατὰ τὴν τριπλῆν τοῦ θεοῦ
δημιουργίαν ἐν τρι|σὶ μάλιστα νυξὶν ὡς οἷόν τε ἦν ἐπελθόντα μοι C
τῇ μνήμῃ καὶ γράψαι πρὸς σὲ ἐτόλμησα, ἐπεί σοι καὶ τὸ πρότερον
εἰς τὰ Κρόνια γεγραμμένον ἡμῖν οὐ παντάπασιν ἀπόβλητον

2 Ἡλίεια Cobet (Nov. Lect. 332; cf. fr. com. adesp. 247,3 K.-A. cum adn.): Ἥλεια codd (-ια U) ‖ **12** ὁπόσων codd.: -ους vet. vulg. ‖ **13** συνημμένων U (-ημένων R): συνηνωμένων OGTLZ et (ut vid.) C ‖ **14** συνέχων UOCGR: παρ- TLZ ‖ **15** ἀγαθῶν om. Uh | ἐπιμελόμενός UOCG: -ούμενός R: -ώμενός TLZ ‖ **15–16** τε τοῦ codd.: τοῦ τε Hertlein in app. ‖ **18** αὑτοῦ vet. vulg.: αὐ- codd. ‖ **19** τε UOCGR: μὲν TLZ | ἡμῖν om. f ‖ **20** τὰ del. Hertlein: καὶ Marcilius, quod del. Petavius ‖ **22** βιῶναι U: -σαι f | ξυγχωρεῖ U: συγ- f **24** Ῥωμαίων ξυμφέρον U: συμφ. Ῥ. f | πράγμασι Uh: -ατι OC ‖ **28** Κρόνια UOC: μόν- h

ἐφάνη. Τελειοτέροις δὲ εἰ βούλει περὶ τῶν αὐτῶν καὶ μυστικωτέροις λόγοις ἐπιστῆσαι, ⟨ἐντυχὼν τοῖς⟩ παρὰ τοῦ θείου γενομένοις Ἰαμβλίχου περὶ τῶν αὐτῶν τούτων συγγράμμασι τὸ τέλος ἐκεῖσε τῆς ἀνθρωπίνης εὑρήσεις σοφίας.

D Δοίη δὲ ὁ | μέγας Ἥλιος μηθὲν ἔλαττόν με τὰ περὶ αὐτοῦ 5 γνῶναι καὶ διδάξαι κοινῇ τε ἅπαντας, ἰδίᾳ δὲ τοὺς μανθάνειν ἀξίους. Ἕως δέ μοι τοῦτο δίδωσιν ὁ θεός, κοινῇ θεραπεύωμεν τὸν τῷ θεῷ φίλον Ἰάμβλιχον, ὅθεν δὴ καὶ νῦν ὀλίγα ἐκ πολλῶν ἐπὶ νοῦν ἐλθόντα διεληλύθαμεν. Ἐκείνου δὲ εὖ οἶδα ὡς οὐδεὶς ἐρεῖ ⟨τι⟩ τελειότερον, οὐδὲ εἰ πολλὰ πάνυ προσταλαιπωρήσας τῷ λόγῳ 10 158A καινοτομήσειεν, ἐκβήσεται δέ, ὡς εἰκός, τῆς ἀληθεστάτης | τοῦ θεοῦ νοήσεως. Ἦν μὲν οὖν ἴσως μάταιον, εἰ διδασκαλίας χάριν ἐποιούμην τοὺς λόγους, αὐτὸν μετ᾽ ἐκεῖνόν τι ξυγγράφειν· ἐπεὶ δὲ ὕμνον ἐθέλων διελθεῖν τοῦ θεοῦ χαριστήριον ἓν τοῦτο τὸ πᾶν ὑπελάμβανον τὸ περὶ τῆς οὐσίας αὐτοῦ φράσαι κατὰ δύναμιν τὴν 15 ἐμήν, οὐ μάτην οἶμαι πεποιῆσθαι τοὺς λόγους τούσδε, τὸ „κὰδ B δύναμιν δ᾽ ἔρδειν ἱέρ᾽ ἀθανάτοισι θεοῖσιν" | οὐκ ἐπὶ τῶν θυσιῶν μόνον, ἀλλὰ καὶ τῶν εὐφημιῶν τῶν εἰς τοὺς θεοὺς ἀποδεχόμενος.

16–17 Hes. Op. 336

1 τελειοτέροις UOC: -ότερον h ‖ **1–3** καὶ μυστικωτέροις — περὶ τῶν αὐτῶν om. U ‖ **2** verba ἐντυχὼν τοῖς a codd. omissa suppl. vet. vulg. („possis etiam … ⟨ἐπεξιὼν τοῖς⟩ … vel aliquid simile" Prato, coll. Misop. 21 infra p. 192,10 ἐπέξιθι τῷ βιβλίῳ (sed cf. textum ibi editum), C. Heracl. 21 supra p. 42,3: βίβλοις ἐμβαλὼν) ‖ **3** τέλος U: σθένος f ‖ **6** κοινῇ τε codd.: „praestat κοινῇ μὲν" Hertlein ad Iul. or. 3[2],1 p. 50C (ubi ἐθέλοντα … κοινῇ τε ἅπαντας ἀγαθόν τι δρᾶν, ἡμῖν δὲ ἰδίᾳ τιμὰς … παρασκευάζοντα codd.) | δὲ UOCGR: τε TLZ (fortasse recte; cf. 43 supra p. 171,15: ἐπιμελόμενός τε τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους ἰδίᾳ τε τῆς ἡμετέρας πόλεως) ‖ **7** θεραπεύωμεν OCTLZ: -ομεν GR: -σωμεν U: fortasse θεραπεύσομεν legendum ‖ **8** δὴ om. f ‖ **9** τι suppl. vet. vulg.: om. codd. ‖ **10** τελειότερον UCh: -ώτερον O | τῷ λόγῳ om. f ‖ **11** δέ U: γάρ f ‖ **13** αὐτὸν Hertlein dub. in app. (coll. Ad Sall. 6 p. 250B Τί δὲ δεῖ πράγματα ἔχειν αὐτὸν ἐπιζητοῦντα τὴν αἰτίαν …, αὐτοῦ γε [scil. τοῦ ποιητοῦ] ἐξὸν ἀκούειν;): αὐτῷ codd.: αὐτοῦ Marcilius (del. Petavius in mg.): ⟨περὶ⟩ αὐτοῦ Spanheim in mg.: ⟨ὑπὲρ⟩ αὐτοῦ Lacombrade dub. in app.: ⟨ὑπὲρ⟩ αὐτῶν Prato (qui etiam de αὐτὸν = ἐμαυτὸν cog.) | ξυγγράφειν U: συγ- f ‖ **14** ἐθέλων UOC: -ω h | ἓν τοῦτο codd.: ἐν τούτῳ vet. vulg. | τὸ πᾶν Petavius in mg.: τὸ πάνυ codd. (τὸ om. RTLZ): τόπον Hertlein (ἐν τούτῳ legens): οὐχ ἄτοπον Asmus[3] ‖ **15** τὸ f: τῷ U: τοῦ Hertlein dub. in app. | τὴν om. U ‖ **16** κὰδ᾽ U: κατὰ f (κατ᾽ R)

Εὔχομαι οὖν τρίτον ἀντὶ τῆς προθυμίας μοι ταύτης εὐμενῆ γενέσθαι τὸν βασιλέα τῶν ὅλων Ἥλιον καὶ δοῦναι βίον ἀγαθὸν καὶ τελειοτέραν φρόνησιν καὶ θεῖον νοῦν, ἀπαλλαγήν τε τὴν εἱμαρμένην ἐκ τοῦ βίου πρᾳϋτάτην ἐν καιρῷ τῷ προσήκοντι, 5 ἄνοδόν τε ἐπ᾽ αὐτὸν τὸ μετὰ τοῦτο καὶ μονὴν παρ᾽ αὐτῷ, μάλιστα μὲν ἀίδιον, εἰ δὲ τοῦτο μεῖζον εἴη | τῶν ἐμοὶ βεβιωμένων, πολλὰς C πάνυ καὶ μυριετεῖς περιόδους.

1 μοι om. Uh ‖ **4** πρᾳϋτάτην UOh: -οτάτην C ‖ **6** εἴη om. TLZ ‖ **7** μυριετεῖς U: πολυ- OCGTLZ (πολλυ- G): πολυτελεῖς R

Ἰουλιανοῦ Αὐτοκράτορος Ἀντιοχικὸς ἢ Μισοπώγων

337A [1] Ἀνακρέοντι τῷ ποιητῇ πολλὰ ἐποιήθη μέλη χαρίεντα (τρυφᾶν γὰρ ἔλαχεν ἐκ Μοιρῶν), Ἀλκαίῳ δὲ οὐκέτι οὐδὲ Ἀρχιλόχῳ τῷ Παρίῳ τὴν μοῦσαν ἔδωκεν ὁ θεὸς εἰς εὐφροσύνας καὶ ἡδονὰς τρέψαι· μοχθεῖν γὰρ ἄλλοτε ἄλλως ἀναγκαζόμενοι τῇ μουσικῇ πρὸς τοῦτο ἐχρῶντο, κουφότερα ποιοῦντες αὑτοῖς ὅσα ὁ 5
B δαίμων ἐδίδου τῇ εἰς | τοὺς ἀδικοῦντας λοιδορίᾳ. Ἐμοὶ δὲ ἀπαγορεύει μὲν ὁ νόμος ἐπ' ὀνόματος – ὥσπερ οἶμαι καὶ ἅπασι τοῖς ἄλλοις – αἰτιᾶσθαι τοὺς ἀδικουμένους μὲν οὐδέν, εἶναι δ' ἐπιχειροῦντας δυσμενεῖς, ἀφαιρεῖται δὲ τὴν ἐν τοῖς μέλεσι μουσικὴν ὁ νῦν ἐπικρατῶν ἐν τοῖς ἐλευθέροις τῆς παιδείας τρόπος· αἴσχιον 10 γὰρ εἶναι δοκεῖ νῦν μουσικὴν ἐπιτηδεύειν, ἢ πάλαι ποτὲ ἐδόκει τὸ πλουτεῖν ἀδίκως.

C Οὐ μὴν ἀφέξομαι διὰ τοῦτο τῆς ἐ|μοὶ δυνατῆς ἐκ Μουσῶν ἐπικουρίας. Ἐθεασάμην τοι καὶ τοὺς ὑπὲρ τὸν Ῥῆνον βαρβάρους ἄγρια μέλη λέξει πεποιημένα παραπλησίᾳ τοῖς κρωγμοῖς τῶν 15
338A τραχὺ βοώντων ὀρνίθων ᾄδοντας | καὶ εὐφραινομένους ἐπὶ τοῖς μέλεσιν. Εἶναι γάρ, οἶμαι, συμβαίνει τοῖς φαύλοις τὴν μουσικὴν λυπηροῖς μὲν τοῖς θεάτροις, σφίσι δ' αὐτοῖς ἡδίστοις· ὃ δὴ καὶ

1–4 Ἀνακρέοντι — τρέψαι exstat in Exc. fol. 327v, l. 24–26

tit. αὐτοκράτορος om. W | Ἀντιοχικὸς ἢ Μισοπώγων SVOW: Μ. ἢ Ἀ. B **1–2** ἐποιήθη – ἔλαχεν aegre leguntur in V (extant in U) ‖ **1** σεμνὰ καὶ post μέλη add. b ‖ **3** μοῦσαν SVOW: μουσῶν B | ἔδωκεν ὁ θεὸς SV: ἔδωκε θεὸς a ‖ **5** αὑτοῖς W: αὐτ- SUOB (V legi non potest) ‖ **7–8** ὥσπερ – ἄλλοις del. Cobet (Misc. crit. 1876, p. 40, coll. Ps.-Dem. or. 10,43) ‖ **9** τὴν ... μουσικὴν SV: τὰ ... -κὰ a ‖ **10** αἴσχιον Reiske: αἰσχρὸν codd. ‖ **11** νῦν om. S | ἢ O: ἡ b: ᾗ SV (ᾗ vetus vulgata, servato αἰσχρὸν): ὡς Jacob (item servato αἰσχρὸν) ἐδόκει SVO: ἀνετίθετο b ‖ **11–12** τὸ πλουτεῖν SV: τῷ πλ. ex τὸ πλ. O: τοῖς πλουτοῦσιν b ‖ **14** τὸν om. b ‖ **15** παραπλησία OW (-πλησίᾳ Reiske): -πλήσια SVB | τοῖς κρωγμοῖς SVO: ταῖς κλαγγαῖς b ‖ **16** ᾄδοντας SV, om. O: ἀσμενίζοντας b | ἐπὶ Hertlein (coll. 8 infra p. 181,11 et Caes. 27 supra p. 129,8; cf. etiam Ep. 89b p. 167,13 Bidez ἐπὶ τοῖς εὐσεβέσιν εὐφραίνονται): ἐν codd., def. Russo, Prato (sed or. 8,1 p. 241C ἐν δυσκολωτέροις εὐφραίνοιντο locus non comparabilis): del. Cobet ‖ **17** συμβαίνει om. S ‖ **17–18** τοῖς φαύλοις ... λυπηροῖς ... ἡδίστοις Va: τοὺς -ους ... -οὺς ... -ους S ‖ **18** σφίσι S (coniecerat Horkel 1841): φησι V: φύσει a | αὐτοῖς Sa: αὐτ- V | καὶ om. a

αὐτὸς ξυννοήσας εἴωθα πρὸς ἐμαυτὸν λέγειν ὅπερ ὁ Ἰσμηνίας – οὐκ ἀπὸ τῆς ἴσης μὲν ἕξεως, ἀπὸ δὲ τῆς ὁμοίας, ὡς ἐμαυτὸν πείθω, μεγαλοφροσύνης –, ὅτι δῆτα „ταῖς Μούσαις ᾄσω καὶ ἐμαυτῷ“.

5 [2] Τὸ δὲ ᾆσμα πεζῇ μὲν λέξει πεποίηται, λοιδορίας δὲ ἔχει πολλὰς καὶ μεγάλας, οὐκ εἰς ἄλλους μὰ | Δία – πῶς γάρ, ἀπαγο- B ρεύοντος τοῦ νόμου; – εἰς δὲ τὸν ποιητὴν αὐτὸν καὶ τὸν ξυγγραφέα· τὸ γὰρ εἰς ἑαυτὸν γράφειν οὔτε ἐπαίνους οὔτε ψόγους εἴργει νόμος οὐδείς. Ἐπαινεῖν μὲν δὴ καὶ σφόδρα ἐθέλων ἐμαυτὸν οὐκ 10 ἔχω, ψέγειν δὲ μυρία, καὶ πρῶτον ἄρξομαι ἀπὸ τοῦ προσώπου.

[3] Τούτῳ γὰρ οἶμαι φύσει γεγονότι μὴ λίαν καλῷ μηδὲ εὐπρεπεῖ μηδὲ ὡραίῳ ὑπὸ δυστροπίας καὶ δυσ|κολίας αὐτὸς C προστέθεικα τὸν βαθὺν τουτονὶ πώγωνα, δίκας αὐτὸ πραττόμενος, ὡς ἔοικεν, οὐδενὸς μὲν ἄλλου, τοῦ δὲ μὴ φύσει γενέσθαι καλόν. 15 Ταῦτά τοι διαθεόντων ἀνέχομαι τῶν φθειρῶν ὥσπερ ἐν λόχμῃ τῶν θηρίων, ἐσθίειν δὲ λάβρως ἢ πίνειν χανδὸν οὐ συγχωροῦμαι· δεῖ γὰρ οἶμαι προσέχειν μὴ λάθω καὶ συγκαταφαγὼν τὰς τρίχας τοῖς ἄρτοις. Ὑπὲρ δὲ τοῦ φιλεῖσθαι καὶ φιλεῖν ἥκιστα ἀλγῶ·

3–4 cf. Val. Max. III 7 ext. 2 (*Antigenidas tibicen discipulo suo … dixit ‘mihi cane et Musis’*), Dion. Chr. or. 78,18 (ὁ Θηβαῖος αὐλητὴς … αὑτῷ … καὶ ταῖς Μούσαις αὐλεῖν ἔφη), Themist. or. 33 p. 366bc (ἐμαυτῷ, φασί, καὶ ταῖς Μούσαις ᾄδω)

8–10 τὸ γὰρ — μυρία exstat in Exc. fol. 319r, l. 12–14. et f. 327v, l. 26–28 **15** Lex. Vind. τ 44 ταῦτά τοι· ἀντὶ τοῦ διὰ ταῦτα. Ἰουλιανός· ταῦτά τοι διαθεόντων ἀνέχομαι τῶν θεῶν ‖ **18–176,3** ὑπὲρ δὲ— προσμάττειν exstat in Exc. fol. 319r, l. 14–16

1 ξυννοήσας SV: συν- a ‖ **1–3** ὅπερ — πείθω SVO: μετὰ b ‖ **3** ᾄσω codd.: ᾄδω Hertlein ‖ **6–7** ἀπαγ. — νόμου del. Boulenger[2] ‖ **7–8** ξυγγραφέα SV: συγ- a ‖ **8** οὔτε ἐπ. οὔτε SVO: ἐπ. ἢ b: εἴτε ἐπ. εἴτε Exc. (cf. 35 infra p. 204,15 οὐδεὶς θύει οὔτε ἰδίᾳ τῶν πολιτῶν οὔτε ἡ πόλις κοινῇ, 39 infra p. 208,18 εὖ οἶδα δεινὸν οὐδένα ὑμῶν οὐδὲν οὐδὲ ἀνήκεστον ἐργασάμενος οὔτε ἰδίᾳ τοὺς ἄνδρας οὔτε κοινῇ τὴν πόλιν) ‖ **9** μὲν δὴ codd.: δὲ Exc. ‖ **10** ἄρξομαι S: ἀρξάμενος Va ‖ **11** τούτῳ Va: τοῦτο S | γεγονότι μὴ SV: μὴ γεγ. a **12** εὐπρεπεῖ Va: εὐτρ- S ‖ **13** τουτονὶ SV: τοῦτον a | αὐτὸ b: -ῷ VO: -ὸν S **14** καλόν SVb: -ῶ (ex -οῦ) O ‖ **15** τοι SVOB: τοι καὶ W ‖ **16** λάβρως B (β in ras.): λαύρ- SVOW ‖ **17** λάθω καὶ συγκαταφαγὼν Hertlein: λ. κ. συγκαταφάγω codd. (καὶ in ras. O): λάθω συγκαταφαγὼν vet. vulg.: λαθὼν συγκαταφάγω Russo ‖ **17–18** τὰς τρίχας τοῖς ἄρτοις V: τοῖς ἄ. τὰς τρ. Sa

D καίτοι καὶ τοῦτο | ἔχειν ἔοικεν ὁ πώγων ὥσπερ τὰ ἄλλα λυπηρόν, οὐκ ἐπιτρέπων καθαρὰ λείοις καὶ διὰ τοῦτο οἶμαι *γλυκερωτέροις χείλεσι χείλη προσμάττειν*, ὅπερ ἤδη τις ἔφη τῶν ἐργασαμένων ξὺν τῷ Πανὶ καὶ τῇ Καλλιόπῃ εἰς τὸν Δάφνιν ποιήματα. Ὑμεῖς δέ φατε δεῖν καὶ σχοινία πλέκειν ἐνθένδε· καὶ ἕτοιμος παρέχειν, ἢν 5 μόνον ἕλκειν δυνηθῆτε καὶ μὴ τὰς *ἀτρίπτους* ὑμῶν καὶ *μαλακὰς χεῖρας* ἡ τραχύτης αὐτῶν δεινὰ ἐργάσηται. Νομίσῃ δὲ μηδεὶς 339A δυσχεραίνειν ἐμὲ τῷ σκώμμα|τι· δίδωμι γὰρ αὐτὸς τὴν αἰτίαν ὥσπερ οἱ τράγοι τὸ γένειον ἔχων, ἐξὸν οἶμαι λεῖον αὐτὸ ποιεῖν καὶ ψιλόν, ὁποῖον οἱ καλοὶ τῶν παίδων ἔχουσιν ἅπασαί τε αἱ γυναῖ- 10 κες, αἷς φύσει πρόσεστι τὸ ἐράσμιον. Ὑμεῖς δὲ καὶ ἐν τῷ γήρᾳ ζηλοῦντες τοὺς ὑμῶν αὐτῶν υἱέας καὶ τὰς θυγατέρας ὑπὸ ἁβρότητος βίου καὶ ἴσως ἁπαλότητος τρόπου λεῖον ἐπιμελῶς ἐργάζεσθε, τὸν ἄνδρα ὑποφαίνοντες καὶ παραδεικνύντες διὰ τοῦ μετώπου καὶ B οὐχ | ὥσπερ ἡμεῖς ἐκ τῶν γνάθων. 15

Ἐμοὶ δὲ οὐκ ἀπέχρησε μόνον ἡ βαθύτης τοῦ γενείου, ἀλλὰ καὶ τῇ κεφαλῇ πρόσεστιν αὐχμός, καὶ ὀλιγάκις κείρομαι καὶ ὀνυχίζομαι, καὶ τοὺς δακτύλους ὑπὸ τοῦ καλάμου τὰ πολλὰ ἔχω μέλανας. Εἰ δὲ βούλεσθέ τι καὶ τῶν ἀπορρήτων μαθεῖν, ἔστι μοι τὸ στῆθος

2–3 Theocr. Id. 12,32 ὅς δέ κε προσμάξῃ γλυκερώτερα χείλεσι χείλη **6–7** cf. Hom. φ 150s (πρὶν γὰρ κάμε χεῖρας ... / ἀτρίπτους ἁπαλάς)

2–3 Lex. Vind. α 192 Ἰουλιανός· διὰ τοῦτο οἶμαι γλυκερωτέροις χείλεσι χείλη προσμάττειν ‖ **9–10** Lex. Vind. κ 47 (Ἰουλιανός· ὥσπερ οἱ τράγοι τὸ γένειον ἔχων, οἶμαι, λεῖον αὐτὸ ποιεῖν καὶ ψιλόν, ὁποῖον οἱ καλοὶ τῶν παίδων ἔχουσι)

1 καὶ om. Exc. | ἔχειν ἔοικεν Va: ἔοικ. ἔχ. S ‖ **2** ἐπιτρέπων codd.: ἐπὶ τούτων Exc. | λείοις καὶ διὰ τοῦτο οἶμαι codd.: λαγεὶς [?] καὶ Exc. | γλυκερωτέροις codd., Exc., Lex. Vind.: -ώτερα Meineke (ex Theocrito) ‖ **3** προσμάττειν codd., Lex. Vind.: -βάπτ- Exc. | ξὺν SV: σὺν a ‖ **4** τὸν Δάφνιν SV: τὴν δάφνην a | ποιήματα Va: ποίημα S ‖ **5** δεῖν καὶ σχοινία SV: κ. σχ. δ. a ἕτοιμος παρέχειν Cobet: ἑτοίμως π. SV: ἑτοίμως παρέχειν ἔχω a (def. Prato, sed iunctura ἑτοίμως ἔχω + παρέχειν nusquam invenitur) ‖ **6** μόνον Sa: μοῦ- V | ἕλκειν codd.: πλέκειν Reiske | δυνηθῆτε Cobet: -θείητε codd | ὑμῶν καὶ μαλακὰς SV: κ. μ. ὑ. a ‖ **9** ἐξὸν om. S, Lex. Vind. ‖ **12–13** ἁβρότητος Reiske: λαβρό- V: λαυρό- S: λαυρότητα O: λαυροτάτου W: λαβροτάτου B **13** ἁπαλότητος Reiske: ἁπλό- SV: ἁπλότητα O: ἁπλουστάτου b **14** ὑποφαίνοντες SV: ἀπο- a | διὰ SVOB: ἀπὸ W ‖ **18** ὑπὸ τοῦ καλάμου om. b ‖ **19** βούλεσθέ Vb: -σθαι SO

δασὺ καὶ λάσιον ὥσπερ τῶν λεόντων, οἵπερ βασιλεύουσι τῶν θηρίων, οὐδὲ ἐποίησα λεῖον αὐτὸ πώποτε διὰ δυσκολίαν καὶ μικροπρέπειαν, οὐδὲ ἄλλο τι μέρος τοῦ σώματος | εἰργασάμην C λεῖον οὐδὲ μαλακόν. Εἶπόν γ' ἂν ὑμῖν, εἴ τις ἦν μοι καὶ ἀκροχορ-
5 δὼν ὥσπερ τῷ Κίμωνι· νυνὶ δὲ οὐκ ἔστι, καὶ συγγινώσκετε. φράσω μὴν ἕτερον.

[4] Ἐμοὶ γὰρ οὐκ ἀπόχρη τὸ σῶμα εἶναι τοιοῦτο, πρὸς δὲ καὶ δίαιτα παγχάλεπος ἐπιτηδεύεται· Εἴργω τῶν θεάτρων ἐμαυτὸν ὑπ' ἀβελτηρίας, οὐδὲ εἴσω τῆς αὐλῆς παραδέχομαι τὴν θυμέλην
10 ἔξω τῆς νεομηνίας τοῦ ἔτους ὑπ' ἀναισθησίας, ὥσπερ τινὰ φόρον ἢ δασμὸν εἰσφέρων καὶ ἀπο|διδοὺς ἄγροικος ὀλίγα ἔχων οὐκ D ἐπιεικεῖ δεσπότῃ· καὶ τότε δὲ εἰσελθὼν τοῖς ἀφοσιουμένοις ἔοικα. Κέκτημαι δὲ οὐδένα – καὶ ταῦτα βασιλεὺς ἀκούων μέγας –, ⟨ὃς⟩ καθάπερ ὕπαρχος ἢ στρατηγὸς διὰ πάσης τῆς οἰκουμένης ἄρξει
15 τῶν μίμων καὶ τῶν ἡνιόχων· ὅπερ ὑμεῖς ὁρῶντες ὀλίγῳ πρότερον ἀναμιμνήσκεσθε νῦν *ἥβης ἐκείνης νοῦ τε ἐκείνου καὶ φρενῶν*.

[5] Ἦν μὲν οὖν ἴσως καὶ τοῦτο βαρὺ | καὶ δεῖγμα ἐναργὲς 340A μοχθηρίας τρόπου, προστίθημι δὲ ἐγώ τι καινότερον ἀεί· Μισῶ τὰς ἱπποδρομίας ὥσπερ οἱ χρήματα ὠφληκότες τὰς ἀγοράς.
20 Ὀλιγάκις οὖν εἰς αὐτὰς φοιτῶ ἐν ταῖς ἑορταῖς τῶν θεῶν οὐδὲ διημερεύω, καθάπερ εἰώθεσαν ὅ τε ἀνεψιὸς ὁ ἐμὸς καὶ ὁ θεῖος καὶ ὁ ἀδελφὸς ὁ ὁμοπάτριος. Ἓξ δὲ τοὺς πάντας θεώμενος δρόμους – οὐδὲ αὐτοὺς ὡς ἄν τις ἐρῶν τοῦ πράγματος ἢ ναὶ μὰ Δία μὴ μισῶν αὐτὸ μηδὲ | ἀποστρεφόμενος – ἄσμενος ἀπαλλάττομαι. B

16 Eupolis fr. 99,48 K.-A. (imitatio versus Cratinei, fr. 71 K.-A.)

18–19 Lex. Vind. ι 1 (Ἰουλιανός· μισῶ τὰς ἱπποδρομίας)

1 βαθὺ supra δασὺ scripsit B | τῶν[1] : ⟨τὸ⟩ τῶν Cobet ‖ **3** γὰρ post οὐδὲ add. W ‖ **4** γ' om. Sa ‖ **5** Κίμωνι codd.: Κικέρωνι Naber (cf. Plut. Cic. 1,4; cf. id. Fab. Max. 1,4, ubi vox ἀκροχορδών adhibetur), prob. Cumont: Τίμωνι Norman | οὐκ ἔστι SV: οὐκέτι a | καὶ συγγινώσκετε S: καὶ ἃ συγγ. VO: om. b: καὶ εἰ συγγ. Reiske ‖ **6** φράσω μὴν codd.: φρ. μὲν Monac. 461 et 113, Paris. 3029 et 3038: φράσωμεν Boulenger[2]: φράσω ὑμῖν καὶ Reiske **10** νεομηνίας codd.: νουμ- Hertlein ‖ **11** καὶ om. S | καὶ ἀποδιδοὺς del. Russo | οὐκ om. a ‖ **13** ὃς suppl. manus altera in Marc. 251 ‖ **17** οὖν om. a ‖ **19** τὰς[2] SVb: εἰς τὰς O ‖ **20** φοιτῶ a: -ῶν SV | ταῖς ἑορταῖς SVOW: τῇ -ῇ B | τῶν θεῶν om. S | οὐδὲ Va: οὐ S ‖ **21** ὁ ante ἐμὸς om. a (ὁ suprascr. in B) **22** ὁ ante ὁμοπάτριος om. Va ‖ **24** μηδὲ SV: μὴ OW: καὶ B (in ras.)

[6] Ἀλλὰ τὰ μὲν ἔξω ταῦτα – καίτοι πόστον εἴρηταί μοι μέρος τῶν ἐμῶν εἰς ὑμᾶς ἀδικημάτων; –, τὰ δὲ ἔνδον ἄγρυπνοι νύκτες ἐν στιβάδι· καὶ τροφὴ παντὸς ἥττων κόρου πικρὸν ἦθος ποιεῖ καὶ τρυφώσῃ πόλει πολέμιον. Οὐ μὴν ὑμῶν γ' ἕνεκα τοῦτο ἐπιτηδεύε-ται παρ' ἐμοῦ, δεινὴ δέ τις ἐκ παιδαρίου με καὶ ἀνόητος ἀπάτη 5 προκαταλαβοῦσα τῇ γαστρὶ πολεμεῖν ἔπεισεν, οὐδὲ ἐπιτρέπω C πολλῶν ἐμπίπλασθαι σιτίων αὐ|τῇ. Ὀλιγάκις οὖν ἐμοὶ τῶν πάντων ἐμέσαι συνέβη, καὶ μέμνημαι αὐτὸ παθών, ἐξ ὅτου Καῖσαρ ἐγενόμην, ἅπαξ ἀπὸ συμπτώματος, οὐ πλησμονῆς.

Ἄξιον δὲ ὑπομνησθῆναι διηγήματος οὐδὲ αὐτοῦ πάνυ χαρίεν- 10 τος, ἐμοὶ δὲ διὰ τοῦτο μάλιστα οἰκείου· [7] Ἐτύγχανον ἐγὼ χειμάζων περὶ τὴν φίλην Λουκετίαν· ὀνομάζουσι δὲ οὕτως οἱ D Κελτοὶ τῶν Παρισίων τὴν πολίχνην. Ἔστι δὲ οὐ | μεγάλη νῆσος ἐγκειμένη τῷ ποταμῷ, καὶ αὐτὴν κύκλῳ πᾶσαν {τὸ} τεῖχος καταλαμβάνει, ξύλιναι δὲ ἐπ' αὐτὴν ἀμφοτέρωθεν εἰσάγουσι 15 γέφυραι, καὶ ὀλιγάκις ὁ ποταμὸς ἐλαττοῦται καὶ μείζων γίνεται, τὰ πολλὰ δέ ἐστιν ὁποῖος ὥρᾳ θέρους καὶ χειμῶνος, ὕδωρ ἥδιστον καὶ καθαρώτατον ὁρᾶν καὶ πίνειν ἐθέλοντι παρέχων· ἅτε γὰρ

1 καίτοι — μέρος exstat in Exc. fol. 327v, l. 28 ‖ **11–12** Lex. Vind. χ 17 (Ἰουλιανός· ἐτύγχανον ἐγὼ χειμάζων περὶ τὴν φίλην Δουλκιτίων [Λουτετίαν Nauck])

1 πόστον SV: πόσον a, Exc. ‖ **2** post ἔνδον signum interrogationis posuit Prato ‖ **3** τροφὴ SVW: τρυ- BO | ἥττων codd.: κρείττων Reiske ‖ **5** με SV et (in ras.) B: μὲν OW ‖ **6** προκαταλαβοῦσα S: κἆτα προλαβ. VOW: **προλαβ. ex corr. B: καταλαβ. Cobet | οὐδὲ SVO: οὐ γὰρ b **7** ἐμπίπλασθαι codd.: -πίμπλ- Hertlein (sed cf. 7 infra p. 180,8, or. 2 [3],16 p. 125B ἐμπίπλασθαι, or. 3 [2],28 p. 86D ἐμπιπλάμενα, Ep. 30 p. 56,7 Bidez ἐμπιπλάμενος) | ὀλιγάκις codd.: ὀλιγιστάκις Hertlein in app. (quae vox nusquam invenitur) | μόνῳ post ἐμοὶ add. Reiske ‖ **9** ἐγενόμην Va: ἐγιν- S ἀπὸ SVO: ὑπὸ b | οὐ SVO: οὐχὶ b ‖ **12** περὶ SV, Lex. Vind.: παρὰ a Λουκετίαν Paris. 3029: Δουκετίαν Vb: Δουτεκίαν O: Δουλκιτίαν S (Δουλτεκίαν suprascr.): Δουλκιτίων Lex. Vind.: Λευκετίαν vet. vulg.: Λουτεκίαν Bidez; vid. Radt ad Strab. IV 3,5 C 194,28 ‖ **13** Κελτοὶ SVOB: -τικοὶ W ‖ **14** τεῖχος Cobet: τὸ τεῖχος SVO: om. b ‖ **15** καταλαμβάνει codd.: περιλαμβ. Cobet: ἐγκαταλαμβ. L. Dindorf (ad Xen. Hist. Gr., Lips. 1874 p. XXVI) ‖ **17** ὁποῖος codd.: ὁμοῖος Cobet (potius ὅμοιος, cf. 17 infra p. 188,4): ὁποῖός ⟨ἐστι φύσει⟩ vel ὅμοιος ⟨ἑαυτῷ⟩ prop. Reiske ‖ **18** ὁρᾶν SVOW: ἰδεῖν B (ὁρᾶν suprascr.) | ἅτε Va: οὔτε S

νῆσον οἰκοῦντας ὑδρεύεσθαι μάλιστα ἔνθεν χρή. Γίνεται δὲ καὶ ὁ
χειμὼν ἐκεῖ πρᾳότερος, εἴτε ὑπὸ τῆς θέρμης τοῦ ὠκεανοῦ – στάδια
γὰρ ἀπ|έχει τῶν ἐνναχοσίων οὐ πλείω, καὶ διαδίδοται τυχὸν 341A
λεπτή τις αὔρα τοῦ ὕδατος, εἶναι δὲ δοκεῖ θερμότερον τὸ θαλάττιον
5 τοῦ γλυκέος – εἴτε οὖν ἐκ ταύτης εἴτε ἔκ τινος ἄλλης αἰτίας
ἀφανοῦς ἐμοὶ τὸ πρᾶγμά ἐστι τοιοῦτον· ἀλεεινότερον ἔχουσιν οἱ τὸ
χωρίον οἰκοῦντες τὸν χειμῶνα, καὶ φύεται παρ' αὐτοῖς ἄμπελος
ἀγαθή, καὶ συκᾶς ἤδη τινάς εἰσιν οἳ ἐμηχανήσαντο, σκεπάζον|τες B
αὐτὰς τοῦ χειμῶνος ὥσπερ ἱματίοις τῇ καλάμῃ τοῦ πυροῦ καὶ
10 τοιούτοις τισίν, ὅσα εἴωθεν εἴργειν τὴν ἐκ τοῦ ἀέρος ἐπιγιγνομέ-
νην τοῖς δένδρεσι βλάβην.

Ἐγένετο δὴ οὖν ὁ χειμὼν τοῦ εἰωθότος σφοδρότερος, καὶ
παρέφερεν ὁ ποταμὸς ὥσπερ μαρμάρου πλάκας – ἴστε δήπου τὸν
Φρύγιον λίθον, ᾧ ἐῴκει μάλιστα {τοῦ λευκοῦ τούτου} τὰ
15 κρύσταλλα, μεγάλα καὶ ἐπάλληλα φερόμενα – καὶ δὴ καὶ συνεχῆ
ποιεῖν ἤδη τὸν πόρον ἔμελ|λε καὶ τὸ ῥεῦμα γεφυροῦν. C

Ὡς οὖν ἐν τούτοις ἀγριώτερος ἦν τοῦ συνήθους, ἐθάλπετο δὲ
τὸ δωμάτιον οὐδαμῶς, οὗπερ ἐκάθευδον, ὅνπερ εἰώθει τρόπον
ὑπογαίοις καμίνοις τὰ πολλὰ τῶν οἰκημάτων ἐκεῖ θερμαίνεσθαι,
20 καὶ ταῦτα ἔχον εὐτρεπῶς πρὸς τὸ παραδέξασθαι τὴν ἐκ τοῦ πυρὸς
ἀλέαν – συνέβη δὲ οἶμαι καὶ τότε διὰ σκαιότητα τὴν ἐμὴν καὶ τὴν

1–2 Γίνεται — πρᾳότερος exstat in Exc. fol. 327v, l. 29 ‖ **4–5** cf. Suda α 1304 (ὅτι τὸ ἁλμυρὸν ὕδωρ τοῦ γλυκέος θερμότερον) ‖ **7–8** καὶ — ἀγαθή exstat in Exc. fol. 327v, l. 29

1 ἔνθεν codd.: ἐνθένδε Hertlein (v. praef. XXV) | δὲ καὶ SVO: καὶ om. b, δὲ om. Exc. ‖ **2** πρᾳότερος SVO Exc.: -τατος b | εἴτε om. b | ὥς φασι post θέρμης add. b ‖ **4** αὔρα V: αὖ- Sa ‖ **8** συκᾶς ... οἳ Va: συκαὶ ... ἃς S | τινάς scripsi: τινές codd.: del. Cobet ‖ **9** πυροῦ Sa: -ρρ- V ‖ **11** δένδρεσι Sa (cf. or. 2 [3],8 p. 113A, 13 p. 120D, C. Heracl. 22 supra p. 45,22): δένδροις V (cf. In Solem 42 supra p. 169,23) ‖ **12** σφοδρότερος Sa: -ον V ‖ **14** ᾧ SVO: ὡς b (ς eras. in B) ‖ **14–15** „poterat Iulianus dicere: τούτῳ ἐῴκει μάλιστα κ.τ.ἑ., sed intercidisse nonnulla magis probabile est“ Cobet; ἴστε δήπου τὸν Φρύγιον λίθον τὸν λευκόν· τούτῳ ἐῴκει μάλιστα τὰ κρύσταλλα temptavit Hertlein in app. ‖ **14** τοῦ λευκοῦ τούτου del. Petavius: τ. λ. ταὐτοῦ Prato ‖ **16** γεφυροῦν SV et b (in ras.): -ᾶν O ‖ **17** οὖν om. SVO ‖ **18** τὸ om. VO | οὗπερ Sa: ὧ- V **19** ὑπογαίοις Naber: ὑπὸ ταῖς codd. (def. Boulenger[1] 105): ὑποστέγοις Platt **20** εὐτρεπῶς O: εὐπρ- SVb ‖ **21** τότε codd.: fortasse τοῦτο legendum

εἰς αὐτὸν πρῶτον, ὡς εἰκός, ἀπανθρωπίαν· ἐβουλόμην γὰρ ἐθίζειν ἐμαυτὸν ἀνέχεσθαι τὸν ἀέρα ταύτης ἐνδεῶς ἔχοντα τῆς βοηθείας –, D ὡς δὲ ὁ χειμὼν ἐπεκράτει καὶ ἀεὶ | μείζων ἐπεγίνετο, θερμῆναι μὲν οὐδὲ ὣς ἐπέτρεψα τοῖς ὑπηρέταις τὸ οἴκημα, δεδιὼς κινῆσαι τὴν ἐν τοῖς τοίχοις ὑγρότητα, κομίσαι δὲ ἔνδον ἐκέλευσα {πῦρ 5 κεκαυμένον} καὶ λαμπροὺς ⟨ἔτι⟩ ἀποθέσθαι φανοὺς κεκαυμένους. Οἱ δέ, καίπερ ὄντες οὐ πολλοί, παμπληθεῖς ἀπὸ τῶν τοίχων ἀτμοὺς ἐκίνησαν, ὑφ' ὧν κατέδαρθον· ἐμπιπλαμένης δέ μοι τῆς 342A κεφαλῆς ἐδέησα μὲν ἀποπνιγῆναι, κομισθεὶς δὲ ἔξω, | τῶν ἰατρῶν παραινούντων ἀπορρῖψαι τὴν ἐντεθεῖσαν ἄρτι τροφήν, οὔτι μὰ Δία 10 πολλὴν οὖσαν, ἐξέβαλον, καὶ ἐγενόμην αὐτίκα ῥᾴων, ὥστε μοι γενέσθαι κουφοτέραν τὴν νύκτα καὶ τῆς ὑστεραίας πράττειν ὅτιπερ ἐθέλοιμι.

1–2 Lex. Vind. α 90 (Ἰουλιανός· ἐβουλόμην γὰρ ἐθίζειν ἐμαυτὸν ἀνέχεσθαι τὸν ἀέρα) ‖ **3–4** Lex. Vind. θ 14 (Ἰουλιανός· ὡς δὲ ὁ χειμὼν ἐπεκράτει καὶ ἀεὶ μείζων ἐπεγένετο, θερμῆναι μὲν οὐδαμῶς ἐπέτρεψα τοῖς ὑπηρέταις τὸ οἴκημα) ‖ **5–6** Lex. Vind. λ 22 (λαμπροὶ οἱ λαμπτῆρες. Ἰουλιανός· κομίσαι δὲ ἔνδον ἐκέλευσα καὶ λαμπροὺς ἀποθέσθαι φανερῶς κεκαυμένους) ‖ **9** Lex. Vind. ε 230 (Ἰουλιανός· ἐδέησα μὲν ἀποπνιγῆναι) ‖ **11–12** Lex. Vind. ρ 1 (Ἰουλιανός· καὶ ἐγενόμην αὐτίκα ῥᾴων, ὥστε μοι γενέσθαι κουφοτέραν τὴν νόσον)

1 αὐτὸν codd.: ἐμαυτ- Hertlein in app. (v. praef. XXV) ‖ **2** ἐνδεῶς codd.: ⟨ἀν⟩ενδ. Cobet ‖ **3** ἐπεγίνετο SV: -γίγν- a: -γέν- Lex. Vind. ‖ **4** οὐδὲ ὣς Va: οὐδαμῶς S, Lex. Vind. (cf. Ep. 111 p. 188,13 Bidez λόγον εἶχεν οὐδ' ὣς Ἀθανάσιον ὑφ' ὑμῶν ἐπιζητεῖσθαι) ‖ **5–6** πῦρ κεκαυμένον codd., om. Lex. Vind.: delevi (iunctura πῦρ κεκαυμένον nusquam alibi invenitur) **6** λαμπροὺς codd., Lex. Vind.: ⟨δαλοὺς⟩ λαμπροὺς Marc. 251 in mg.: ⟨ἄνθρακας⟩ λαμπροὺς Paris. 3029: λαμπροὺς hic pro λαμπτῆρας usitatum esse susp. Nauck in Lex. Vind., ex λαμπτῆρας corruptum Prato 1954: λαμπρὰ et tum μέτρια (v. ad l. sequentem) coni. Boulenger[2] | ἔτι supplevi φανοὺς κεκαυμένους conieci: φανερῶς κεκαυμένους Lex. Vind.: παντελῶς μετρίους codd. ‖ **8** καὶ post ὧν add. b | ἐμπιπλαμένης codd.: -πιμπλ- Hertlein (vid. ad 6 supra p. 177,7) | δέ om. Sa ‖ **9** οὖν post μὲν add. Sa **12** νύκτα codd.: νόσον Lex. Vind.

[8] Οὕτω μὲν οὖν ἐγὼ καὶ ἐν Κελτοῖς κατὰ τὸν τοῦ Μενάνδρου δύσκολον αὐτὸς ἐμαυτῷ πόνους προσετίθην. Ἀλλ' ἡ Κελτῶν μὲν ταῦτα ῥᾷον ἔφερεν ἀγροικία, πόλις δὲ εὐδαίμων καὶ μακαρία καὶ πολυάν|θρωπος εἰκότως ἄχθεται, ἐν ᾗ πολλοὶ μὲν ὀρχησταί, B
5 πολλοὶ δὲ αὐληταί, μῖμοι δὲ πλείους τῶν πολιτῶν, αἰδὼς δὲ οὐκ ἔστιν ἀρχόντων. Ἐρυθριᾶν γὰρ πρέπει τοῖς ἀνάνδροις, ἐπεὶ τοῖς γε ἀνδρείοις – ὥσπερ ὑμεῖς – ἕωθεν κωμάζειν, νύκτωρ ἡδυπαθεῖν, ὅτι τῶν νόμων ὑπερορᾶτε μὴ λόγῳ διδάσκειν, ἀλλὰ τοῖς ἔργοις ἐνδείκνυσθαι. Καὶ γὰρ οἱ νόμοι φοβεροὶ διὰ τοὺς ἄρχοντας, ὥστε
10 ὅστις ἄρχοντα ὕβρισεν, οὗτος ἐκ περιουσίας τοὺς νόμους κατεπάτη|σεν. Ὡς δὲ ἐπὶ τούτοις εὐφραινόμενοι δῆλον ποιεῖτε C πολλαχοῦ μέν, οὐχ ἥκιστα δὲ ἐν ταῖς ἀγοραῖς καὶ ἐν τοῖς θεάτροις, ἀπὸ μὲν τῶν κρότων καὶ ἀπὸ τῆς βοῆς ὁ δῆμος, οἱ δὲ ἐν τέλει τῷ γνωριμώτεροι μᾶλλον εἶναι καὶ ὀνομάζεσθαι παρὰ πᾶσιν ἀφ' ὧν
15 εἰς τὰς τοιαύτας ἑορτὰς ἐδαπάνησαν ἢ Σόλων ὁ Ἀθηναῖος ἀπὸ τῆς πρὸς Κροῖσον τὸν Λυδῶν βασιλέα συνουσίας, καλοὶ δὲ πάντες καὶ μεγάλοι καὶ λεῖοι καὶ ἀγένειοι, νέοι τε ὁμοίως καὶ πρεσβύτεροι ζηλωταὶ τῆς εὐδαι|μονίας {καὶ} τῶν Φαιάκων, *εἵματά τ' ἐξημοιβὰ* D *λοετρά τε θερμὰ καὶ εὐνὰς* ἀντὶ τῆς ὁσίας ἀποδεχόμενοι.

20 [9] „Τὴν δὴ σὴν ἀγροικίαν καὶ ἀπανθρωπίαν καὶ σκαιότητα τούτοις ἁρμόσειν ὑπέλαβες; οὕτως ἀνόητόν ἐστί σοι καὶ φαῦλον, ὦ πάντων ἀνθρώπων ἀμαθέστατε καὶ φιλαπεχθημονέστατε, τὸ

1–2 non ad aliquem comoediae Dyscoli versum hic adludit Iulianus, sed ad personam ipsam (cf. 11 infra p. 183,12 et vid. A. Guida, in: Menandro: cent' anni di papiri 2004, 181) ‖ **18–19** Hom. θ 249

9–11 οἱ νόμοι — κατεπάτησεν exstat in Exc. fol. 327v, l. 30–31 **18–19** Lex. Vind. ε 232 (Ἰουλιανός· εἵματα ἐξημοιβὰ λοετρά τε θερμά)

1 καὶ om. SW ‖ **2** προσετίθην V: -ουν S (-ην suprascr.) a ‖ **5** δὲ[3] om. S **10** ὅστις VB, Exc.: εἴ τις SOW ‖ **11** ὡς — εὐφραινόμενοι δῆλον ποιεῖτε Hertlein: οἱ — εὐφρ. δ. π. codd.: ὅτι — ⟨διατελεῖτε⟩ εὐφρ. δ. π. Reiske (ad particip. + δῆλον ποιέω cf. Thuc. III 64,1 δῆλόν τε ἐποιήσατε — οὐ μηδίσαντες et K. W. Krüger ad loc., ad δῆλος + ὡς + partic. cf. Xen. An. I 5,9 δῆλος ἦν Κῦρος ὡς σπεύδων et K. W. Krüger ad loc.) ‖ **12** πολλαχοῦ Va: πανταχοῦ S ἐν[2] ἐν om. V ‖ **13** ἀπὸ[2] om. S ‖ **16** τὸν ante Κροῖσον add. V | τὸν Va: τῶν S ‖ **17** ἀγένειοι SV: ἀρχιγ- O et W (γρ. ἀγένειοι in mg.): ἀρτιγ- B (τ ex χ corr.) | πρεσβύτεροι Sa: -τατοι V ‖ **18** καὶ eras. in B, om. vet. vulg. | τ' om. Lex. Vind.

λεγόμενον ὑπὸ τῶν ἀγεννεστάτων σῶφρον τουτὶ ψυχάριον, ὃ δὴ
343A σὺ κοσμεῖν καὶ καλλωπίζειν σω|φροσύνῃ χρῆναι νομίζεις; οὐκ
ὀρθῶς, ὅτι πρῶτον μὲν ἡ σωφροσύνη ὅ τι ποτ᾽ ἐστὶν οὐκ ἴσμεν,
ὄνομα δὲ αὐτῆς ἀκούοντες μόνον ἔργον οὐχ ὁρῶμεν. Εἰ δὲ ὁποῖον
σὺ νῦν ἐπιτηδεύεις ἐστίν, ἐπίστασθαι μὲν ὅτι θεοῖς χρὴ δουλεύειν 5
καὶ νόμοις, ἐκ τῶν ἴσων δὲ τοῖς ὁμοτίμοις προσφέρεσθαι καὶ τὴν
ἐν τούτοις ὑπεροχὴν φέρειν πρᾳότερον, ἐπιμελεῖσθαι καὶ προνοεῖν
ὅπως οἱ πένητες ὑπὸ τῶν πλουτούντων ἥκιστα ἀδικηθήσονται,
B καὶ ὑπὲρ τούτου πράγματα ἔχειν, ὁποῖα εἰκός ἐ|στί σοι γενέσθαι
πολλάκις, ἀπεχθείας, ὀργάς, λοιδορίας, εἶτα καὶ ταῦτα φέρειν 10
ἐγκρατῶς καὶ μὴ χαλεπαίνειν μηδὲ ἐπιτρέπειν τῷ θυμῷ, παιδα-
γωγεῖν δὲ αὐτόν, ὡς ἐνδέχεται, καὶ σωφρονίζειν· εἰ δὲ καὶ τοῦτό
τις ἔργον θεῖτο σωφροσύνης, ἀπέχεσθαι πάσης ἡδονῆς οὐ λίαν
ἀπρεποῦς οὐδὲ ἐπονειδίστου δοκούσης ἐν τῷ φανερῷ, πεπεισμένος
ὡς οὐκ ἔστιν ἰδίᾳ σωφρονεῖν {οἴκοι} καὶ λάθρᾳ τὸν δημοσίᾳ καὶ 15
C φα|νερῶς ἀκόλαστον εἶναι θέλοντα καὶ τερπόμενον τοῖς θεάτροις –
εἰ δὴ οὖν ὄντως ἡ σωφροσύνη τοιοῦτόν ἐστιν, ἀπόλωλας μὲν αὐτός,
ἀπολλύεις δὲ καὶ ἡμᾶς οὐκ ἀνεχομένους ἀκούειν πρῶτον ὄνομα
δουλείας οὔτε πρὸς θεοὺς οὔτε πρὸς νόμους· ἡδὺ γὰρ ἐν πᾶσι τὸ
ἐλεύθερον. 20

[10] „Ἡ δὲ εἰρωνεία πόση· δεσπότης εἶναι οὐ φῂς οὐδὲ ἀνέχῃ
τοῦτο ἀκούων, ἀλλὰ καὶ ἀγανακτεῖς, ὥστε ἤδη ἔπεισας τοὺς
D πλείστους ἐθάδας | πάλαι γενομένους ἀφελεῖν ὡς ἐπίφθονον τῆς
ἀρχῆς τοῦτο τὸ ὄνομα, δουλεύειν δὲ ἡμᾶς ἀναγκάζεις ἄρχουσι καὶ
νόμοις. Καίτοι πόσῳ κρεῖττον ἦν ὀνομάζεσθαι μέν σε δεσπότην, 25
ἔργῳ δὲ ἐᾶν ἡμᾶς εἶναι ἐλευθέρους, ὦ τὰ μὲν ὀνόματα πρᾳότατε,
πικρότατε δὲ τὰ ἔργα; πρὸς δὲ τούτοις ἀποκναίεις βιαζόμενος

1 ἀγεννεστάτων b: ἀγενε- SVO | τουτὶ Hertlein: τουτοῒ codd. (τουτὶ et aliis locis Iulianeis invenitur, τουτοῒ nusquam) ‖ **3** ὅ τι V: τί Sa ‖ **5** ἐπίστασθαι μὲν SVO: -άμεθα b | χρὴ Va: χρῆν S ‖ **6** ἐκ τῶν ἴσων codd.: ἐκ τοῦ ἴσου Cobet ‖ **8** ἀδικηθήσονται V: -κήσωνται S: -κήσονται a ‖ **9–10** γενέσθαι πολλάκις Va: π. γ. S ‖ **12** αὐτόν VW: αὑ- SOB ‖ **13** θεῖτο VOW: θοῖτο SB **14** πεπεισμένος Vb: -ον S: -ω O ‖ **15** οἴκοι del. Horkel ‖ **17** οὖν om. S ὄντως SV: οὕτως a ‖ **18** ἀπολλύεις Va: -ολύ- S | καὶ om. Va | πρῶτον del. Hercher ‖ **19** ἡδὺ SVb: ἤδη O ‖ **23** πλείστους Va: πλείους S ‖ **25** μέν σε Cobet: σε μὲν codd. ‖ **26** ὀνόματα Martinius: ὄμμ- codd. ‖ **26–27** πρᾳότατε πικρότατε Va: πικρ. πρ. S ‖ **27** μὲν post βιαζόμενος add. a

τοὺς πλουσίους ἐν δικαστηρίοις μετριάζειν, τοὺς πένητας δὲ εἴργεις συκοφαντεῖν. Ἀφεὶς δὲ τὴν σκηνὴν καὶ τοὺς μίμους καὶ τοὺς ὀρ|χηστὰς ἀπολώλεκας ἡμῶν τὴν πόλιν, ὥστε οὐθὲν ἡμῖν 344A ἀγαθὸν ὑπάρχει παρὰ σοῦ πλὴν τῆς βαρύτητος, ἧς ἀνεχόμενοι
5 μῆνα ἕβδομον τουτονὶ τὸ μὲν εὔχεσθαι πάντως ἀπαλλαγῆναι τοῦ τοσούτου κακοῦ τοῖς περὶ τοὺς τάφους καλινδουμένοις γραϊδίοις ξυνεχωρήσαμεν, ἡμεῖς δὲ αὐτὸ διὰ τῆς ἡμῶν αὐτῶν εὐτραπελίας ἐξειργασάμεθα, βάλλοντές σε τοῖς σκώμμασιν ὥσπερ τοξεύμασι. Σὺ δέ, ὦ γενναῖε, πῶς ἀ|νέξῃ τὰ Περσῶν βέλη, τὰ ἡμέτερα τρέσας B
10 σκώμματα;“

[11] Ἰδού, βούλομαι πάλιν ἀπ' ἄλλης ἀρχῆς ἐμαυτῷ λοιδορήσασθαι· „Φοιτᾷς εἰς τὰ ἱερά, δύσκολε καὶ δύστροπε καὶ πάντα μοχθηρέ· συρρεῖ διὰ σὲ τὰ πλήθη πρὸς τὰ τεμένη καὶ μέντοι καὶ οἱ πλείους τῶν ἐν τέλει, καὶ ὑποδέχονταί σε σὺν βοῇ μετὰ κρότων
15 λαμπρῶς ἐν τοῖς τεμένεσιν ὥσπερ ἐν τοῖς θεάτροις. Τί οὖν οὐκ ἀγαπᾷς οὐδὲ ἐπαινεῖς, ἀλλὰ ἐπιχειρεῖς | εἶναι σοφώτερος τὰ C τοιαῦτα τοῦ Πυθίου καὶ δημηγορεῖς ἐν τῷ πλήθει καὶ καθάπτῃ τῶν βοώντων πικρῶς, αὐτὸ δὴ τοῦτο λέγων τὸ ποιούμενον ὑπ' αὐτῶν, ὡς ‚Ὑμεῖς τῶν θεῶν ἕνεκεν ὀλιγάκις εἰς τὰ τεμένη συνέρ-
20 χεσθε, συνδραμόντες δὲ δι' ἐμὲ πολλῆς ἀκοσμίας ἀναπίμπλατε τὰ

6–7 Lex. Vind. κ 71 (Ἰουλιανός· τοῖς περὶ τοὺς τάφους καλινδουμένοις γραϊδίοις ξυνεχωρήσαμεν)

1 δικαστηρίοις Va: -ῳ S ‖ **2** εἴργεις SVOW: -ων B ‖ **3** ἀπολώλεκας a: -λέλοιπας SV | οὐθὲν Va: -δ- S ‖ **4** ὑπάρχει SV: -ειν a ‖ **6** καλινδουμένοις SVb, Lex. Vind.: κυλινδο- O ‖ **7** ξυνεχωρήσαμεν SV, Lex. Vind.: συν- a αὐτῶν om. S ‖ **8** τοξεύμασι Va: -ματα S ‖ **13** δὲ post συρρεῖ add. b **14** ὑποδέχονταί S: ἀπο- Va ‖ **17** δημηγορεῖς SVb: δημι- O ‖ **18** λέγων codd.: ψέγ- Russo ‖ **18–19** τὸ ποιούμενον ὑπ' αὐτῶν post ἐπαινεῖς (supra l. 16) transp. Horkel, del. Hertlein ‖ **18–19** ὑπ' αὐτῶν ὡς ὑμεῖς Sa: ὑπ…τῶν ὡς ὑμ.ˆ. V: ὑπ' ἄλλων ὡς ὑμεῖς U ‖ **20** δι' SO: παρ' U (V legi non potest) **20–184,1** δι' ἐμὲ – πρέποι δὲ om. b ‖ **20** πολλῆς VO: πολλάκις S ἀναπίμπλατε O: -ασθε S (γρ. πλατε suprascr. man. alt.): -ανται V **20–184,1** τὰ ἱερά om. S

ἱερά· πρέποι δὲ ἂν ἀνδράσι σώφροσι κεκοσμημένως εὔχεσθαι,
D σιγῇ παρὰ τῶν θεῶν αἰτουμένοις τὰ | ἀγαθά. Τοῦτον οὐκ ἠκροᾶ-
σθε τὸν νόμον Ὁμήρου, „Σιγῇ ἐφ' ὑμείων…"; οὐδὲ ὡς Ὀδυσσεὺς
ἐπέσχε τὴν Εὐρύκλειαν ἐκπεπληγμένην ὑπὸ μεγέθους τοῦ κατορ-
θώματος· „Ἐν θυμῷ, γρηῦ, χαῖρε καὶ ἴσχεο μηδ' ὀλόλυζε"; τὰς δὲ 5
δὴ Τρῳάδας οὔτι πρὸς τὸν Πρίαμον ἤ τινα τῶν τούτου γαμετῶν ἢ
θυγατέρων ἢ υἱέων, οὐ μὴν οὐδὲ αὐτὸν τὸν Ἕκτορα – καίτοι
345A τούτῳ φησὶν ὡς θεῷ τοὺς | Τρῶας εὔχεσθαι – εὐχομένας δὴ οὐκ
ἔδειξεν ἐν τῇ ποιήσει (οὔτε γυναῖκας οὔτε ἄνδρας), ἀλλὰ τῇ Ἀθηνᾷ
„ὀλολυγῇ πᾶσαι" φησί „χεῖρας ἀνέσχον", βαρβαρικὸν μὲν καὶ 10
τοῦτο καὶ γυναιξὶ πρέπον, οὐ μὴν ἀνόσιον πρὸς τοὺς θεοὺς ὥσπερ
τὸ παρ' ὑμῶν ποιούμενον. Ἐπαινεῖτε γὰρ ἀντὶ τῶν θεῶν τοὺς
ἀνθρώπους, μᾶλλον δὲ ἀντὶ τῶν θεῶν τοὺς ἀνθρώπους ἡμᾶς
B κολακεύετε. Κάλλιστον | δέ ἐστιν οἶμαι μηδὲ ἐκείνους κολακεύειν,
ἀλλὰ θεραπεύειν σωφρόνως.'" 15

[12] Ἰδού, πάλιν ἐγὼ τὰ συνήθη τεχνιτεύω λεξείδια καὶ οὐδὲ
ἐμαυτῷ συγχωρῶ φθέγγεσθαι ὡς ἔτυχεν ἀδεῶς καὶ ἐλευθέρως,

3 Hom. Η 195 ‖ **5** Hom. χ 411 ‖ **10** Hom. Ζ 301 (αἳ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον)

1 πρέποι S: -η V: -ει O (quod deleto ἂν recepit Cobet) | σώφροσι κεκοσμημένως Cobet: σώφρ. -μένοις VO: σώφρ. καὶ κοσμίοις S: σωφροσύνῃ κεκοσμημένοις b ‖ **1–2** εὔχεσθαι σιγῇ SVO: ἐντύχητε εὔχεσθαι εἰδόσι σιγῇ b (ubi sententia ita conformata videtur: … συνδραμόντες δὲ ἂν ἀνδράσι σωφροσύνῃ κεκοσμημένοις ἐντύχητε, εὔχεσθαι εἰδόσι σιγῇ, παρὰ τῶν θεῶν αἰτουμένοις τὰ ἀγαθά): σιγῇ del. Hercher ‖ **2** καὶ ante τοῦτον add. Spanheim: τοῦτον exstat in U, macula in V ‖ **2–3** ἠκροᾶσθε SVO: ἀκρ- b **3** ὑμείων Va: ὑμν- S | οὐδὲ ὡς Hertlein ex cod. Marc. 251 (man. alt.): ὡς οὐδὲ SVB: οὐδὲ OW (ὡς ante οὐδὲ suprascr.) ‖ **5–6** τὰς — Τρῳάδας SV: τοὺς — Τρῶας a (in τὰς — Τρῳάδας corr. W) ‖ **6** οὔτι OW: -οι SV: ἤτοι B **6–7** γαμετῶν ἢ θυγατέρων S: θυγ. ἢ γαμ. V: θυγατέρων a ‖ **7–8** καίτοι — εὔχεσθαι del. Cumont ‖ **8** τούτῳ (ex τῷ corr.) B: τῷ SVOW **8–9** εὐχομένας δὴ οὐκ ἔδειξεν scripsi („possis etiam δὴ" iam Prato, qui confert 7 supra p. 180,3 ὡς δὲ ὁ χειμὼν ἐπεκράτει et 17 infra p. 187,2 ὃν δή φασι κτλ.): εὐχ. δὲ οὐκ ἔδ. codd.: εὐχ. ἔδ. Boulenger[2]: εὐχ. οὐκ (vel οὔποτε) ἔδ. Cumont ‖ **9** οὔτε[1]…ἄνδρας οὔτε γυναῖκας οὔτε ἄνδρας del. Klimek: οὔτε ἄνδρας οὔτε γυναῖκας Cumont ‖ **11** καὶ post ὥσπερ add. O ‖ **12–13** ἀντὶ… ἀνθρώπους[1] de verborum ἀντὶ τῶν θεῶν τοὺς ἀνθρώπους genuinitate dub. Klimek ‖ **17** φθέγγεσθαι Va: -ξασθαι S

ἀλλὰ ὑπὸ τῆς συνήθους σκαιότητος καὶ ἐμαυτὸν συκοφαντῶ. Ταῦτά τις καὶ τοιαῦτ' ⟨ἂν⟩ λέγοι πρὸς ἄνδρας οὐ τὰ πρὸς τοὺς ἄρχοντας μόνον, ἀλλὰ καὶ τὰ πρὸς τοὺς θεοὺς ἐλευθέ|ρους εἶναι C θέλοντας, ὅπως τις εὔνους αὐτοῖς ὥσπερ *πατὴρ ἤπιος* νομισθείη,
5 φύσει πονηρὸς ὢν ὥσπερ ἐγώ.

[13] „Ἀνέχου τοίνυν αὐτῶν μισούντων καὶ λοιδορούντων λάθρᾳ ἢ καὶ φανερῶς, ἐπειδὴ κολακεύειν ἐνόμισας τοὺς ἐν τοῖς ἱεροῖς ὁρώμενόν σε ἐπαινοῦντας. Οὐ γὰρ οἶμαι διενοήθης ὅπως ἁρμόσει τῶν ἀνδρῶν οὔτε τοῖς ἐπιτηδεύμασιν οὔτε τοῖς βίοις οὔτε
10 τοῖς ἤθεσιν.

[14] „Εἶέν. Ἀλλ' ἐκεῖνο τίς ἀνέξεταί σου; καθεύδεις ὡς ἐπίπαν νύκτωρ μόνος, οὐδέ | ἐστιν οὐδέν, ὅ σου τὸν ἄγριον καὶ ἀνήμερον D μαλάξει θυμόν, ἀποκέκλεισται δὲ πάσῃ πανταχοῦ πάροδος γλυκυθυμίᾳ· καὶ τὸ μέγιστον τῶν κακῶν, ὅτι τοιοῦτον ζῶν βίον
15 εὐφραίνῃ καὶ πεποίησαι τὰς κοινὰς κατάρας ἡδονήν. Εἶτα ἀγανακτεῖς, εἴ του τὰ τοιαῦτα ἀκούεις, ἐξὸν εἰδέναι χάριν τοῖς ὑπ' εὐνοίας ἐμμελέστερόν σε νουθετοῦσιν ἐν τοῖς ἀναπαίστοις ἀποψιλῶσαι μὲν τὰς παρειάς, καλὰ δὲ – ἀπὸ σαυτοῦ πρῶτον ἀρξάμενον – δεικνύειν πάντα | τῷ δήμῳ τῷ φιλογέλωτι τῷδε θεάματα, 346A
20 μίμους, ὀρχηστάς, ἥκιστα αἰσχυνομένας γυναῖκας, παιδάρια περὶ κάλλους ἁμιλλώμενα ταῖς γυναιξίν, ἄνδρας ἀπεψιλωμένους οὔτι τὰς γνάθους μόνον, ἀλλὰ καὶ ἅπαν τὸ σῶμα, λειότεροι τῶν γυναικῶν ὅπως φαίνοιντο τοῖς ἐντυγχάνουσιν, ἑορτάς, πανηγύρεις; Οὔτι μὰ Δία τὰς ἱεράς, ἐν αἷς χρὴ σωφρονεῖν· ἅλις μὲν γὰρ
25 ἐκείνων ἐστίν, ὥσπερ τῆς δρυός, καὶ πολὺς ὁ κόρος | αὐτῶν. B

4 Hom. Ω 770 (πατὴρ ὣς ἤπιος αἰεί), β 47 et 234, ε 12, ο 152 (πατὴρ δ' ὣς ἤπιος ἦεν) ‖ **11–12** cf. C. Cyn. 16 supra p. 100,20 (νύκτωρ καθεύδειν μόνον) ‖ **25** cf. Zenob. Ath. I 16 (vulg. II 40)

1 ἀλλὰ VO: ἀλλὰ καὶ S: rasura trium vel quattuor litterarum post ἀλλὰ b **2** τοιαῦτ' ⟨ἂν⟩ λέγοι Martinius: τοιαῦτα λέγει codd. ‖ **3** τοὺς om. a **4** ἤπιος S: ἥ- Va ‖ **8** ὁρώμενόν codd.: ὁρμῇ μιᾷ Naber ‖ **9** ἁρμόσει V: -εις Sb: -η O ‖ **12** ὅ σου SVOW (coniecerat Horkel): ὅσον B, vet. vulg. ‖ **13** πάσῃ a: -ης S: πάσῃ πάσῃ V: πάσῃ πᾶσα dub. Lacombrade ‖ **17** ἐμμελέστερόν Va: -μεν- S | νουθετοῦσιν SV: νομο- a ‖ **19** θεάματα Va: -ματι S **21** ἀπεψιλωμένους Cobet: ἀποψιλου- codd. ‖ **23** ἐντυγχάνουσιν Sa: ἑορτάζουσιν V

[15] „Ἔθυσεν ὁ Καῖσαρ ἐν τῷ τοῦ Διὸς ἅπαξ, εἶτα ἐν τῷ τῆς Τύχης· εἰς τὸ τῆς Δήμητρος τρὶς ἐφεξῆς ἐβάδισεν – ἐπιλέλησμαι γὰρ εἰς τὸ τῆς Δάφνης ὁσάκις εἰσῆλθον τέμενος, προδοθὲν μὲν ὀλιγωρίᾳ τῶν φυλάκων, ταῖς δὲ τῶν ἀθέων ἀνδρῶν τόλμαις ἀφανισθέν –· ἡ Σύρων ἥκει νεομηνία, καὶ ὁ Καῖσαρ αὖθις εἰς Φιλίου 5 Διός· εἶτα ἡ πάγκοινος ἑορτή, καὶ ὁ Καῖσαρ εἰς τὸ τῆς Τύχης C ἔρχεται τέμενος· | ἐπισχὼν δὲ τὴν ἀποφράδα πάλιν ἐς Φιλίου Διὸς τὰς εὐχὰς ἀναλαμβάνει κατὰ τὰ πάτρια. Καὶ τίς ἀνέξεται τοσαυτάκις εἰς ἱερὰ φοιτῶντος Καίσαρος, ἐξὸν ἅπαξ ἢ δὶς ἐνοχλεῖν τοῖς θεοῖς, ἐπιτελεῖν δὲ τὰς πανηγύρεις ἐκείνας, ὁπόσαι κοιναὶ μέν εἰσι 10 παντὶ τῷ δήμῳ καὶ ὧν ἔξεστι μετέχειν οὐ τοῖς ἐπισταμένοις ⟨μόνον⟩ θεούς, ἀλλὰ καὶ ὧν ἐστιν ἡ πόλις πλήρης, ἡδονὴ δὲ πολλὴ καὶ χάριτες, ὁποίας ἄν τις εὐφραίνοιτο διηνεκῶς καρπούμενος, D ὁρῶν ὀρχουμένους ἄνδρας καὶ | παιδάρια καὶ γύναια πολλά;“

[16] Ὅταν οὖν ταῦτα λογίσωμαι, μακαρίζω μὲν ὑμᾶς τῆς 15 εὐδαιμονίας, ἐμαυτῷ δὲ οὐκ ἄχθομαι· φίλα γάρ ἐστί μοι κατά τινα θεὸν ἴσως ταῦτα. Διόπερ οὐδὲ ἀγανακτῶ, εὖ ἴστε, τοῖς δυσχεραίνουσί μου τῷ βίῳ καὶ τῇ προαιρέσει, προστίθημι δὲ αὐτὸς ὅσα δυνατόν ἐστί μοι τοῖς εἰς ἐμαυτὸν σκώμμασι, μειζόνως ἐπικατα- 347A χέων ἐμαυτοῦ ταυτασὶ τὰς λοιδορίας, ὃς ὑπὸ ἀφροσύ|νης οὐ 20 συνῆκα ποταπὸν ἐξ ἀρχῆς τὸ τῆσδε τῆς πόλεως ἦθος, καὶ ταῦτα τῶν ἡλικιωτῶν τῶν ἐμῶν, ὡς ἐμαυτὸν πείθω, βιβλία ἀνελίξας οὐδενὸς ἀριθμὸν ἐλάττω.

[17] Λέγεταί τοι ποτὲ τὸν ἐπώνυμον τῆσδε τῆς πόλεως βασιλέα, μᾶλλον δὲ οὗπερ ἐπώνυμος ἥδε ἡ πόλις συνῳκίσθη – 25

8–9 Lex. Vind. τ 45 (Ἰουλιανός· καὶ τίς ἀνέξεται τοσαυτάκις εἰς ἱερὰ φοιτῶντος Καίσαρος) ‖ **20–22** Lex. Vind. β 2 (Ἰουλιανός· ὃς ὑπὸ ἀφροσύνης οὐ συνῆκα ποταπὸν ἐξ ἀρχῆς τὸ τῆσδε τῆς πόλεως ἦθος, καὶ ταῦτα τῶν ἡλικιωτῶν τῶν ἐμῶν, ὡς ἐμαυτὸν πείθω, βιβλία ἀνελίξας)

10 ὁπόσαι SVO: αἳ b ‖ **12** μόνον suppl. Hertlein in app. | τοῖς ante ὧν add. Naber (quod etiam tacite suppleri potest) ‖ **16** μοι om. S., suprascr. W **17** οὐδὲ ἀγανακτῶ εὖ ἴστε V: εὖ ἴ. οὐδὲ ἀγ. Sa ‖ **18** προστίθημι SUa: ...τίθημι V | αὐτὸς Reiske: -ῶν SU (..τῶν V): -οῖς a ‖ **19** τοῖς — σκώμμασι SVO: τὰ — -ατα b ‖ **19–20** μειζόνως ἐπικαταχέων Sa: μ tantum legi potest in V ceteris macula obrutis (μειζόνως ἐπιχέων U man. alt.) ‖ **20** ἐμαυτοῦ VOB: -ῷ SW **23** ἀριθμὸν Sa: -ῶν V ‖ **24** ποτε τὸν ἐπώνυμον SV: τ. ἐπών. π. a | ἐπώνυμον codd.: οἰκιστὴν Reiske ‖ **25** συνῳκίσθη SV: -σθαι O: -σται b

πεποίηται μὲν γὰρ ὑπὸ Σελεύκου, τοὔνομα δὲ ἔχει ἀπὸ τοῦ Σελεύ-
κου παιδός – ὃν δή φασι δι' ὑπερβολὴν ἁβρότητος καὶ τρυφῆς
ἐρῶν|τα ἀεὶ καὶ ἐρώμενον τέλος ἄδικον ἔρωτα τῆς ἑαυτοῦ μητρυιᾶς B
ἐρασθῆναι, κρύπτειν δὲ ἐθέλοντα τὸ πάθος οὐ δύνασθαι, τὸ σῶμα
5 δὲ αὐτῷ κατὰ μικρὸν τηκόμενον ἀφανῶς οἴχεσθαι καὶ ὑπορρεῖν
τὰς δυνάμεις καὶ τὸ πνεῦμα ἔλαττον εἶναι τοῦ συνήθους· ἐῴκει δὲ
οἶμαι τὸ κατ' αὐτὸν αἰνίγματι, σαφῆ μὲν οὐκ ἐχούσης αἰτίαν τῆς
νόσου, μᾶλλον δὲ οὐδὲ αὐτῆς, ἥτις ποτέ ἐστι, φαινομένης,
ἐναργοῦς δὲ οὔσης τῆς περὶ τὸ μειράκιον ἀσθενείας. Ἐνθάδε μέγας
10 | ἆθλος ἰατρῷ προὐτέθη τῷ Σαμίῳ τὴν νόσον, ἥτις ποτέ ἐστιν, C
ἐξευρεῖν· ὁ δὲ ὑπονοήσας ἐκ τῶν Ὁμήρου τίνες ποτέ εἰσιν αἱ
„γυιοκόροι μελεδῶναι“, καὶ ὅτι πολλάκις οὐκ ἀσθένεια σώματος,
ἀλλ' ἀρρωστία ψυχῆς αἰτία γίνεται τηκεδόνος τῷ σώματι, καὶ τὸ
μειράκιον ὁρῶν ὑπό τε ἡλικίας καὶ συνηθείας οὐκ ἀναφρόδιτον,
15 ὁδὸν ἐτράπετο τοιαύτην ἐπὶ τὴν τοῦ νοσήματος θήραν· καθίζει
πλησίον τῆς κλίνης | ἀφορῶν εἰς τὸ πρόσωπον τοῦ μειρακίου, D
παριέναι κελεύσας καλούς τε καὶ καλάς, ἀπὸ τῆς βασιλίδος
ἀρξάμενος. Ἡ δὲ ὡς ἦλθεν, ἐπισκεψομένη δῆθεν αὐτόν, αὐτίκα
ἐδίδου τὰ συνθήματα τοῦ πάθους ὁ νεανίας· ἆσθμα τῶν θλιβομέ-
20 νων ἠφίει – ἐπέχειν γὰρ αὐτὸ κινούμενον καίπερ σφόδρα ἐθέλων
οὐχ οἷός τε ἦν – καὶ ταραχὴ ἦν τοῦ βλέμματος καὶ πολὺ περὶ τὸ

11–12 immo Hes. Op. 66 (γυιοβόρους μελεδῶνας)

1–2 cf. Suda α 2692 (Ἀντιόχεια: ἡ πόλις. πεποίηται μὲν ὑπὸ Σελεύκου· ὠνόμασται δὲ ἀπὸ τοῦ παιδὸς Ἀντιόχου) ‖ **15–16** Lex. Vind. κ 4 (Ἰουλιανός· καθίζει πλησίον τῆς κλίνης ὁρῶν εἰς τὸ πρόσωπον τοῦ μειρακίου)

1 πεποίηται codd., Suda: πεπόλισται Cobet ‖ **2** ὃν codd.: τοῦτον Reiske **5** ἀφανῶς del. Hercher ‖ **6** ἐῴκει Sa: -ειν V ‖ **7** τὸ Sa: τῷ V: τὰ Hertlein in app. („malim“) | κατ' αὐτὸν Sa: καθ' αὐ- V ‖ **10** ἰατρῷ Sa: -ῶν V **12** γυιοκόροι W: γυοκ- SVO: γυιοβ- B (ex γυιοκ-, ut vid.): γυιοκόρ- citant etiam Orig. Contra Celsum IV 38; Schol. Hes. Op. 65–6 et 66b; Et. Gud. p. 385,30 Sturz; Et. Magn. p. 576,24; cf. etiam Hesiodi variam lectionem et M. West ad Hesiodi loc. | μελεδῶναι SV (ex -ῶνες?) b: μελεδῶνες O (ut videtur; ita etiam K) ‖ **13** γίνεται SV: γίγν- a ‖ **14** ἡλικίας καὶ συνηθείας SVOB: σ. κ. ἡλ. W ‖ **16** ἀφορῶν V: ὁρῶν Sa, Lex. Vind. ‖ **17** τε καὶ Va: τε suprascr., καὶ om. S ‖ **18** ἀρξάμενος codd.: -μένους Hertlein, -μένας Cobet ‖ **20** αὐτὸ κινούμενον V: ἀποκιν- S: κιν- a ‖ **21** βλέμματος Hercher (coll. Aristaenet. I 13): πνεύμ- codd. | τι post πολὺ add. Cobet

πρόσωπον ἐρύθημα. Ταῦτα ὁρῶν ὁ ἰατρὸς προσάγει τῷ στέρνῳ
348A τὴν χεῖρα, καὶ ἐπήδα δεινῶς ἡ | καρδία καὶ ἔξω ἵετο. Τοιαῦτα
ἄττα ἔπασχεν ἐκείνης παρούσης· ἐπεὶ δὲ ἀπῆλθεν, ἐπιόντων
ἄλλων, ἀτρέμας εἶχε καὶ ἦν ὅμοιος τοῖς οὐδὲν πάσχουσι. Συνιδὼν
δὲ τὸ πάθος ὁ Ἐρασίστρατος φράζει πρὸς τὸν βασιλέα, καὶ ὃς ὑπὸ 5
τοῦ φιλόπαις εἶναι παραχωρεῖν ἔφη τῷ παιδὶ τῆς γαμετῆς. Ὁ δὲ
αὐτίκα μὲν ἠρνήσατο· τελευτήσαντος δὲ τοῦ πατρὸς μικρὸν
ὕστερον, ἣν πρότερον διδομένην αὐτῷ χάριν εὐγενῶς ἠρνήθη, μά-
B |λα κραταιῶς μετεδίωξεν.

[18] Ἀντιόχῳ μὲν δὴ ταῦτα ἐποιήθη· τοῖς δὲ ἀπ' ἐκείνου 10
γενομένοις οὐ νέμεσις ζηλοῦν τὸν οἰκιστὴν ἢ τὸν ὁμώνυμον.
Ὥσπερ γὰρ ἐν τοῖς φυτοῖς εἰκός ἐστι διαδίδοσθαι μέχρι πολλοῦ
τὰς ποιότητας, ἴσως δὲ καὶ ἐπίπαν ὅμοια τὰ μετὰ ταῦτα τοῖς ἐξ
ὧν ἐβλάστησαν φύεσθαι, οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων εἶναι εἰκὸς
παραπλήσια τὰ ἤθη τῶν ἀπογόνων τοῖς προγόνοις. Ἐγώ τοι καὶ 15
C αὐτὸς ἔγνων Ἀθηναίους | Ἑλλήνων φιλοτιμοτάτους καὶ φιλανθρω-
ποτάτους, καίτοι τοῦτό γε ἐπιεικῶς ἐν πᾶσιν εἶδον τοῖς Ἕλλησιν·
ἔχω δὲ ὑπὲρ αὐτῶν εἰπεῖν ὡς καὶ φιλόθεοι μάλιστα πάντων εἰσὶ
καὶ δεξιοὶ τὰ πρὸς τοὺς ξένους, καθόλου μὲν Ἕλληνες πάντες,
αὐτῶν δὲ Ἑλλήνων πλέον τοῦτο ἔχω μαρτυρεῖν Ἀθηναίοις. Εἰ δὲ 20
ἐκεῖνοι διασώζουσιν εἰκόνα τῆς παλαιᾶς ἐν τοῖς ἤθεσιν ἀρετῆς,
εἰκὸς δήπουθεν τὸ αὐτὸ ὑπάρχειν καὶ Σύροις καὶ Ἀραβίοις καὶ
D Κελτοῖς καὶ Θρᾳξὶ καὶ Παίοσι καὶ | τοῖς ἐν μέσῳ κειμένοις
Θρᾳκῶν καὶ Παιόνων ἐπ' αὐταῖς Ἴστρου ταῖς ἠιόσι Μυσοῖς· ὅθεν
δὴ καὶ τὸ γένος ἐστί μοι πᾶν ἄγροικον, αὐστηρόν, ἀδέξιον, 25
ἀναφρόδιτον, ἐμμένον τοῖς κριθεῖσιν ἀμετακινήτως, ἃ δὴ πάντα
ἐστὶ δείγματα δεινῆς ἀγροικίας.

Αἰτοῦμαι τοίνυν ὑπὲρ ἐμαυτοῦ πρώτου συγγνώμην, ἐν μέρει
δὲ καὶ ὑμῖν νέμω τὰ πάτρια ζηλοῦσιν, οὐδὲ ἐν ὀνείδει προφέρομαι

2 ἵετο B (ut vid.), Cobet: ἴ- SVOW ‖ **3** ἄττα om. S | ἐπιόντων Va: ἀπ- S **10** ἀπ' ἐκείνου Va: ἀπὸ κειμένου S ‖ **11** ζηλοῦν Va: -οῖ S | ὁμώνυμον codd.: ἐπών- Hertlein dub. in app. (ἢ τὸν ὁμώνυμον glossema putat Russo) **14** ἐβλάστησαν SVOW: -σε B ‖ **17** τοῦτό γε ἐπιεικῶς SV: τ. γε -κὲς O: τόγε -κὲς b (γρ. τοῦτό γε ἐπιεικῶς W[2] in mg.) ‖ **18** ὑπὲρ αὐτῶν εἰπεῖν V: εἰπ. ὑπ. αὐτ. Sa ‖ **19** τὰ om. b ‖ **20** Ἀθηναίοις Sa: -οισι V ‖ **22** Ἀραβίοις a: Ἀρρ- V: Ἄραψι S ‖ **24** ἐπ' αὐταῖς SVOW: ὑπ' α. B | ἠιόσι Vb: ἠόσι O: ἠῶσι S **25** ἄγροικον SB: ἀγροῖ- VOW ‖ **28** πρώτου V: πρῶτον Sa ‖ **29** ζηλοῦσιν Sa: ζηλοῦσ [sic] V | προφέρομαι V: προσ- SO: προφέρω b

τὸ | „Ψεῦσταί τ' ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι", τοὐναντίον 349A
δὲ ἀντ' ἐγκωμίων ὑμῖν προσεῖναί φημι πατρίων ζῆλον ἐπιτηδευ-
μάτων – ἐπεὶ καὶ Ὅμηρος ἐπαινῶν τὸν Αὐτόλυκόν φησι περιεῖναι
πάντων „κλεπτοσύνῃ θ' ὅρκῳ τε" – καὶ ἐμαυτῷ τὴν σκαιότητα
5 καὶ τὴν ἀμαθίαν καὶ τὴν δυσκολίαν καὶ τὸ μὴ ῥᾳδίως μαλάττεσθαι
μηδὲ ἐπὶ τοῖς | δεομένοις ἢ τοῖς ἐξαπατῶσι τὰ ἐμαυτοῦ ποιεῖσθαι B
μηδὲ ταῖς βοαῖς εἴκειν, στέργων τὰ ὀνείδη. Πότερα μὲν οὖν ἐστι
κουφότερα, θεοῖς ἴσως δῆλον, ἐπείπερ ἀνθρώπων οὐδεὶς οἷός τε
ἡμῖν ἐστιν ὑπὲρ τῶν διαφορῶν βραβεῦσαι· πεισόμεθα γὰρ
10 οὐδαμῶς αὐτῷ διὰ φιλαυτίαν. Θαυμάζειν γὰρ εἰκὸς τὰ ἑαυτοῦ
ἕκαστον, ἀτιμάζειν δὲ τὰ παρὰ τοῖς ἄλλοις· ὁ δὲ τῷ τὰ ἐναντία
ζηλοῦντι νέμων τὴν συγγνώμην εἶναί μοι δοκεῖ πρᾳότατος.

[19] | Ἐγὼ δὲ ἐννοήσας εὑρίσκω καὶ ἕτερα δεινὰ ἐμαυτὸν C
εἰργασμένον. Πόλει γὰρ προσιὼν ἐλευθέρᾳ, τὸν αὐχμὸν τῶν
15 τριχῶν οὐκ ἀνεχομένῃ, ὥσπερ οἱ κουρέων ἀποροῦντες ἄκαρτος καὶ
βαθυγένειος εἰσέδραμον· ἐνόμισας ἂν Σμικρίνην ὁρᾶν ἢ Θρασυλέ-
οντα, δύσκολον πρεσβύτην ἢ στρατιώτην ἀνόητον, ἐξὸν φανῆναι
τῷ καλλωπισμῷ παῖδα ὡραῖον καὶ γενέσθαι μειράκιον, εἰ μὴ τὴν
ἡλικίαν, τὸν τρόπον γε καὶ τὴν ἁ|βρότητα τοῦ προσώπου. D

20 **[20]** „Οὐκ οἶσθα ἀνθρώποις ὁμιλεῖν, οὐδὲ ἐπαινέτης εἶ τοῦ
Θεόγνιδος, οὐδὲ μιμῇ τὸν ἀφομοιούμενον ταῖς πέτραις πολύπουν,

1 Hom. Ω 261 ‖ **4** Hom. τ 396 ‖ **16–17** Men. Θρασυλ. test. iii K.-A., cf. Men. test. 141 K.-A. ‖ **20–21** Theogn. 215f. (πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃι, / τῆι προσομιλήσηι, τοῖος ἰδεῖν ἐφάνη)

15–16 Lex. Vind. α 193 (Ἰουλιανός· ἄκαρτος καὶ βαθυγένειος εἰσέδραμον)

1 χοροιτυπίῃσιν Va: -τυπίοισιν S ‖ **2–3** πατρίων ζῆλον ἐπιτηδευμάτων Cobet: πάτριον (-ίον B) ζῆλον καὶ (om. S) ἐπιτηδεύματα codd.: πάτρια ζηλοῦν ἐπιτηδεύματα Russo ‖ **4** ἐμαυτῷ V (ἐμαυ sub macula, sed ἐμαυτῷ exstat in U) SOB: -οῦ W (sed οῦ in ῷ corr.) ‖ **5** μαλάττεσθαι b (γρ. εἴκειν W[2]): εἴκειν SVO ‖ **6** ἐπὶ Cobet: ἐν codd.: om. vet. vulg. | ἐξαπατῶσι codd.: ἐξαπαιτοῦσι vet. vulg. | ποιεῖσθαι codd.: προΐεσθαι Platt (qui cum vet. vulg. om. ἐν ante τοῖς δεομένοις) ‖ **7** στέργων τὰ ὀνείδη scripsi: στέργω τὰ ὀν. SVO: καὶ τὰ τοιαῦτα στέργω ὀν. b ‖ **8** ἴσως δῆλον Sa: δ. ἴσ. V ‖ **9** ἐστιν om. a ‖ **12** τὴν om. a (sed cf. or. 3 [2], 1 p. 50D πολλοῖς τὴν συγγνώμην νέμεις) | δοκεῖ SVW: -ῶ OB ‖ **16** ἐνόμισας Va: -σα S | Σμικρίνην a: Σμη- V: Μι- S ‖ **19** γε om. SVO

ἀλλὰ ἡ λεγομένη μία Μύκονος ἀγροικία τε καὶ ἀμαθία καὶ ἀβελτερία πρὸς πάντας ἐπιτηδεύεται παρὰ σοῦ.

Λέληθέ σε πολλοῦ δεῖν ταῦτα εἶναι Κελτοὶ καὶ Θρᾷκες καὶ 350A Ἰλλυριοί; οὐχ ὁρᾷς ὁπόσα μὲν ἐν τῇ πόλει ταύτῃ καπη|λεῖα; σὺ δὲ ἀπεχθάνῃ τοῖς καπήλοις οὐ ξυγχωρῶν ὁπόσου βούλονται πωλεῖν 5 αὐτοῖς τῷ δήμῳ τὰ ἐπιτήδεια καὶ τοῖς ἐπιδημοῦσιν· οἱ δὲ τοὺς κεκτημένους τὴν γῆν αἰτιῶνται. Σὺ δὲ καὶ τούτους ἐχθροὺς ποιεῖς σαυτῷ, τὰ δίκαια ποιεῖν ἀναγκάζων. Οἱ δὲ ἐν τέλει τῆς πόλεως ἀμφοῖν μετέχοντες ταῖν ζημίαιν – ὥσπερ, οἶμαι, πρότερον ἔχαιρον B διχόθεν καρπούμενοι τὰς ὠφελείας, καὶ | ὡς κεκτημένοι καὶ ὡς 10 καπηλεύοντες – τὰ νῦν εἰκότως λυποῦνται δι' ἀμφοτέρων ἀφῃρημένοι τὰς ἐπικερδείας. Ὁ δὲ τῶν Σύρων δῆμος οὐκ ἔχων μεθύειν οὐδὲ κορδακίζειν ἄχθεται· σὺ δὲ σῖτον ἄφθονον παρέχων οἴει τρέφειν αὐτοὺς ἱκανῶς.

Ἐκεῖνο δέ σου χάριεν, ὅτι οὐδὲ ὅπως ἰχθὺς ἐν τῇ πόλει 15 πετραῖος ἔσται σκοπεῖς· ἀλλὰ καὶ πρῴην μεμφομένου τινὸς ὡς οὔτε ἰχθυδίων οὔτε ὀρνίθων πολλῶν εὑρισκομένων ἐν ἀγορᾷ, C τωθαστικὸν μάλα ἐγέλασας, ἄρτου καὶ | οἴνου καὶ ἐλαίου τῇ σώφρονι πόλει δεῖν φάμενος, κρεῶν δὲ ἤδη τῇ τρυφώσῃ· τὸ γὰρ καὶ ἰχθύων καὶ ὀρνιθίων λόγον ποιεῖσθαι πέρα τρυφῆς εἶναι καὶ ἧς 20 οὐδὲ τοῖς ἐν Ἰθάκῃ μνηστῆρσι μετῆν ἀσελγείας· ‚ὅτῳ δὲ οὐκ ἐν

1 cf. Zenob. Ath. II 23, vulg. V 17 et vid. Bühler ad Zenob. II 23 (vol. IV p. 188)

1 μία Μύκονος VO (υ ex ι O): μυῖα μήκωνος S: μήκωνος b: Μυκόνιος Petavius (-ονία Cobet) | τε Cobet: τις codd. ‖ **3** πολλοῦ δεῖν codd.: ὅτι π. δεῖ Cobet ‖ **3–4** Κελτοὶ καὶ Θρᾷκες (Θράκη V) καὶ Ἰλλυριοί codd.: Κελτοὺς καὶ Θρᾷκας καὶ Ἰλλυριούς vet. vulg. ‖ **4–5** ἐν τῇ πόλει — ὁπόσου in textu om. et in mg. add. W ‖ **5** ξυγχωρῶν SVb: συγ- O ‖ **6** αὐτοῖς codd., fortasse delendum („aut αὐτοὺς legendum aut αὐτοῖς post συγχωρῶν collocandum“ Reiske) ‖ **7** ποιεῖς codd.: -εῖ Hertlein ‖ **8** οἱ δὲ Va: οὐδὲ S | post οὐδὲ desinit S ‖ **9** „Suspicor ... expungendam vocem ταῖν ζημίαιν, ut sit oratio perspicua magis“ Petavius | οἶμαι inter commata posuit Horkel, ut Petavii expunctio verborum ταῖν ζημίαιν superflua fieret ‖ **11** δι' codd.: δὴ Hertlein in app. **15** οὐ ante χάριεν add. Klimek | χάριεν codd.: χαρί- vet. vulg. **18** τωθαστικὸν codd.: -ῶς Hertlein in app. | μάλα Vb: μέγα O ‖ **19** ἤδη a: εἴ- V | γὰρ codd.: δὲ Reiske ‖ **20** ὀρνιθίων VO: -ίθων b | λόγον Vb: -ων O πέρα Vb: -ας O

ἡδονῇ κρέα ὕεια καὶ προβάτεια σιτεῖσθαι, τῶν ὀσπρίων ἁπτόμενος εὖ πράξει.' Ταῦτα ἐνόμισας Θρᾳξὶ νομοθετεῖν, τοῖς ἑαυτοῦ πολίταις, ἢ τοῖς ἀναισθήτοις Γα|λάταις; οἵ σε ἐπαιδοτρίβησαν D
καθ' ἡμῶν *πρίνινον, σφενδάμνινον*, οὐκέτι μέντοι καὶ *Μαραθωνο-*
5 *μάχον*, ἀλλ' *Ἀχαρνέα* μὲν ἐξ ἡμισείας, ἀηδῆ δὲ ἄνδρα παντάπασι καὶ ἄνθρωπον ἄχαριν. Οὐ κρεῖττον ἦν ὀδωδέναι μύρων τὴν ἀγορὰν βαδίζοντός σου καὶ παῖδας ἡγεῖσθαι καλούς, εἰς οὓς ἀποβλέψουσιν οἱ πολῖται, καὶ χοροὺς γυναικῶν, ὁποῖοι παρ' ἡμῖν ἵστανται καθ' ἑκάστην ἡμέραν;"

10 Ἐμὲ δὲ ὑγρὸν βλέπειν | ῥιπτοῦντα πανταχοῦ τὰ ὄμματα 351A
κατόπιν, ὅπως ὑμῖν καλός οὔτι τὴν ψυχήν, ἀλλὰ τὸ πρόσωπον ὀφθείην; Ἔστι γάρ, ὡς ὑμεῖς κρίνετε, ψυχῆς ἀληθινὸν κάλλος ὑγρότης βίου. Ἐμὲ δὲ ὁ παιδαγωγὸς ἐδίδασκεν εἰς γῆν βλέπειν ἐς διδασκάλους φοιτῶντα· θέατρον ⟨δ'⟩ οὐκ εἶδον πρὶν μᾶλλον κομῆ-
15 σαι τῆς κεφαλῆς τὸ γένειον, ἐν ἐκείνῳ δὲ τῆς ἡλικίας ἰδίᾳ μὲν καὶ κατ' ἐμαυτὸν οὐδέποτε, τρίτον δὲ ἢ τέ|ταρτον, εὖ ἴστε, Πατρόκλῳ B
ἐπίηρα φέρων ἄρχων ἐπέταττεν, οἰκεῖος ὢν ἐμοὶ καὶ ἀναγκαῖος, ἐτύγχανον δὲ ἰδιώτης ἔτι.

[21] Σύγγνωτε οὖν ἐμοί· δίδωμι γὰρ ὃν ἀντ' ἐμοῦ δικαιότερον
20 μισήσετε, τὸν φιλαπεχθήμονα παιδαγωγόν, ὅς με καὶ τότε ἐλύπει, μίαν ὁδὸν εἶναι διδάσκων, καὶ νῦν αἴτιός ἐστί μοι τῆς πρὸς

4–5 Ar. Ach. 180s. (Ἀχαρνικοί, στιπτοὶ γέροντες, πρίνινοι, // ἀτεράμονες, Μαραθωνομάχαι, σφενδάμνινοι) ‖ **14–15** cf. Xen. Conv. 4,28 (μὴ ἅπτεσθαί μου πρὶν ἂν τὸ γένειον τῇ κεφαλῇ ὁμοίως κομήσῃς) ‖ **17** Hom. Α 572

12–13 ἔστι — βίου exstat in Exc. fol. 319r, l. 16–17

1 προβάτεια a: πρόβατα V | ὀσπρίων a: -είων (sed ει in ι corr.) V ‖ **2** ἑαυτοῦ VO: σε- b ‖ **4** σφενδάμνινον b: σφεδ- V: σφενδάμιν- O ‖ **6** ἄνθρωπον ἄχαριν (-ρι V) codd.: ἀνθρώπιον ἄχαρι Cobet | ἦν om. O ‖ **7** βαδίζοντός σου καὶ codd.: fortasse καὶ βαδ. σου legendum ‖ **8** ἀποβλέψουσιν V: -πουσιν a ἡμῖν codd.: ὑ- Platt ‖ **10** ἐμὲ — ῥιπτοῦντα VO: ἐμοὶ — -οῦντι b ‖ **11** κατόπιν om. b ‖ **12** ὁ τρόπος οὐ συγχωρεῖ post ὀφθείην add. b | γάρ VO Exc.: μὲν γάρ b ‖ **13** ἡ ante ὑγρότης add. Exc. ‖ **14** διδασκάλους codd. (cf. 22 infra p. 193,7, C. Heracl. 14 supra p. 33,13 φοιτῆσαι διδασκάλοις): -ου Reiske (coll. C. Heracl. 18 supra p. 39,6 εἰς φιλοσόφου φοιτῆσαι) | δ' suppl. Vater ‖ **15** μὲν Hertlein: δὲ codd. (erasum in B): del. Prato ‖ **16** ἴστε Vb: -θι O ‖ **17** ἄρχων Hertlein: ἄ- codd. ‖ **19** σύγγνωτε οὖν Cobet: συγγνωτέον VO: συγγνωτέον οὖν b (-γνωστ- B) ‖ **21** εἶναι codd. (cf. infra 22 infra p. 193,7 ἄγων … μίαν ὁδόν, ἄλλην δὲ οὔτε αὐτὸς εἰδέναι θέλων): ἰέναι Reiske

C ὑμᾶς ἀπεχθείας, ἐνεργασάμενος τῇ ψυχῇ καὶ ὥσπερ | ἐντυπώσας ὅπερ ἐγὼ μὲν οὐκ ἐβουλόμην τότε, ὁ δὲ ὡς δή τι χάριεν ποιῶν μάλα προθύμως ἐνετίθει, καλῶν οἶμαι σεμνότητα τὴν ἀγροικίαν καὶ σωφροσύνην τὴν ἀναισθησίαν, ἀνδρείαν δὲ τὸ μὴ εἴκειν ταῖς ἐπιθυμίαις μηδὲ εὐδαίμονα ταύτῃ γίνεσθαι. Ἔφη δέ μοι πολλά- 5 κις, εὖ ἴστε, μὰ Δία καὶ Μούσας, ὁ παιδαγωγὸς ἔτι παιδαρίῳ D κομιδῇ· „Μή σε παραπειθέτω τὸ πλῆθος τῶν ἡλικιωτῶν ἐπὶ τὰ | θέατρα φερόμενον ὀρεχθῆναί ποτε ταυτησὶ τῆς θέας. Ἱπποδρομίας ἐπιθυμεῖς; ἔστι παρ' Ὁμήρῳ δεξιώτατα πεποιημένη· λαβὼν ἐπέξιθι τὸ βιβλίον. Τοὺς παντομίμους ἀκούεις ὀρχηστάς; ἔα 10 χαίρειν αὐτούς· ἀνδρικώτερον παρὰ τοῖς Φαίαξιν ὀρχεῖται τὰ μειράκια· σὺ δὲ ἔχεις κιθαρῳδὸν τὸν Φήμιον καὶ ᾠδὸν τὸν Δημόδοκον. Ἔστι καὶ φυτὰ παρ' αὐτῷ πολλὰ τερπνότερα ἀκοῦσαι τῶν ὁρωμένων·

‚Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμὸν | 15
352A Φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα',

καὶ ἡ δενδρήεσσα τῆς Καλυψοῦς νῆσος καὶ τὰ τῆς Κίρκης σπήλαια καὶ ὁ Ἀλκινόου κῆπος· εὖ ἴσθι, τούτων οὐδὲν ὄψει τερπνότερον."

[22] Ἆρα ποθεῖτε καὶ τοὔνομα ὑμῖν φράσω τοῦ παιδαγωγοῦ, 20 καὶ ὅστις ὢν γένος ταῦτα ἔλεγε; βάρβαρος νὴ θεοὺς καὶ θεάς, Σκύθης μὲν τὸ γένος, ὁμώνυμος δὲ τοῦ τὸν Ξέρξην ἀναπείσαντος ἐπὶ τὴν Ἑλλάδα στρατεῦσαι· καὶ τὸ πολυθρύλλητον τοῦτο δὴ πρὸ B μη|νῶν μὲν εἴκοσι προσκυνούμενον ὄνομα, νυνὶ δὲ προφερόμενον

15–16 Hom. ζ 162s. ‖ **17** Hom. α 51 ‖ **17–18** speluncam non Circe, sed Calypso habet apud Homerum ‖ **18** Hom. η 112–131 ‖ **22–23** Mardonius (Hdt. VII 5)

2 χάριεν codd.: χαρί- vet. vulg. ‖ **6** ναὶ ante μὰ add. Cobet (v. praef. XXV) **7** κομιδῇ om. O ‖ **10** τὸ βιβλίον OBW[pc]: τῷ -ίῳ VW[ac] (βιβλίον cum λαβὼν coniungendum) ‖ **12–13** Δημόδοκον a: -δόκον V ‖ **13** φυτὰ παρ' αὐτῷ V: π. αὐ. φ. a (supra lin. corr. W, φοιτᾶ O) | πολλὰ codd.: -ῷ Festugière **15** παρὰ βωμὸν V (-ῷ codd. plurimi Hom.): περὶ β. a ‖ **18** Ἀλκινόου codd.: -νου Hertlein; et Ἀλκινόου (or. 3[2],2 p. 52c [-κίνου V: -νόου M], ep. 98 p. 182,8 Bidez [-νόου V: -κίνου C]) et Ἀλκίνου (or. 2[3],2 p. 104C) forma Iulianus utitur ‖ **21** τοὺς ante θεοὺς add. a ‖ **23** στρατεῦσαι om. a (suprascr. W) Ἄργος post πολυθρύλλητον add. a | τὸ ante πρὸ add. a

ἀντ' ἀδικήματος καὶ ὀνείδους, εὐνοῦχος ἦν, ὑπὸ τῷμῷ τεθραμμέ-
νος πάππῳ, τὴν μητέρα τὴν ἐμὴν ὅπως ἀγάγοι διὰ τῶν Ὁμήρου
καὶ Ἡσιόδου ποιημάτων. Ἐπεὶ δὲ ἐκείνη πρῶτον ἐμὲ καὶ μόνον
τεκοῦσα μησὶν ὕστερον ὀλίγοις ἐτελεύτησεν ὑπὸ τῆς ἀμήτορος
5 παρθένου πολλῶν συμφορῶν ἐκκλαπεῖσα κόρη καὶ νέα, μετ' ἐ-
|νιαυτὸν ἕβδομον αὐτῷ παρεδόθην. Οὗτος ἐξ ἐκείνου ταῦτα ἀνέπει- C
σεν, ἄγων ἐς διδασκάλους μίαν ὁδόν, ἄλλην δὲ οὔτε αὐτὸς εἰδέναι
θέλων οὔτε ἐμοὶ βαδίζειν ξυγχωρῶν ἐποίησεν ἀπεχθάνεσθαί με
πᾶσιν ὑμῖν.

10 **[23]** Ἀλλ', εἰ δοκεῖ, σπεισώμεθα πρὸς αὐτὸν ἐγώ τε καὶ ὑμεῖς
τὴν ἀπέχθειαν λύσαντες. Οὔτε γὰρ ἠπίστατο πρὸς ὑμᾶς ἀφιξόμε-
νον οὐδέ, εἰ τὰ μάλιστα φοιτᾶν μέλλοιμι, | ὅτι καὶ ἄρχων προσ- D
εδόκα, καὶ τοσαύτην ἀρχήν, ὅσην ἔδωκαν οἱ θεοί, πολλὰ ὁμοῦ
βιασάμενοι – πείσθητέ μοι – καὶ τὸν διδόντα καὶ τὸν δεχόμενον.
15 Ἐῴκει γὰρ ἡμῶν οὐδέτερος ἐθέλειν οὔτε ὁ διδοὺς τὴν τιμὴν ἢ
χάριν ἢ ὅ τι φίλον ὑμῖν αὐτὸ ὀνομάζειν δοῦναι, καὶ ὁ λαμβάνων,
ὡς ἴσασιν οἱ θεοὶ πάντες, ἀληθῶς ἠρνεῖτο. Καὶ δὴ τοῦτο μέν, ὅπῃ
τοῖς θεοῖς φίλον, ἔχει τε καὶ ἕξει· τυχὸν δὲ ὁ παιδαγωγὸς εἰ
προέγνω | τοῦτο, πολλὴν ἂν ἐποιήσατο προμήθειαν, ὅπως ὅτι 353A
20 μάλιστα ὑμῖν φανείην κεχαρισμένος.

„Εἶτα οὐκ ἔξεστιν ἀποθέσθαι νῦν καὶ μεταμαθεῖν εἴ τι πρότε-
ρον ἡμῖν ἄγροικον ἦθος ἐνετράφη;“

2 ὅπως ἀγάγοι VOB: ἄγων W (γρ. ὅπως ἀγάγοι in mg. manus alt.) **5–6** τὸν post ἐνιαυτὸν add. Boulenger[2] ‖ **7** διδασκάλους codd.: -ου Reiske (vid. ad 20 supra p. 191,14) | εἰδέναι codd. (cf. supra 21 p. 191,21 μίαν ὁδὸν εἶναι διδάσκων): ἰέναι Boulenger[2] ‖ **8** ξυγχωρῶν V: συγ- a ‖ **12** οὐδέ codd.: οὔτ' Hertlein (v. praef. XXVI) | μέλλοιμι VB: μέλοιμι O: θέλ- W (ex μέλ-) ἄρχων a: -ειν V ‖ **13** πολλὰ V: πολλὴν a (quod in πλὴν mut. B) **14** πείσθητέ μοι VO: om. b: πεισθῆναι Reiske | δεχόμενον a: ...νον V (δεχόμενον exstat in U) ‖ **15–16** τιμὴν ἢ χάριν a: locus evanidus et maculosus V (τιμὴν ἢ χάριν exstat in U) ‖ **17** τοῦτο a: -ον V | ὅπῃ Vb: ὅπου O ‖ **18** δὲ Vb: γε O ‖ **19** προέγνω codd.: πρού- Hertlein (cf. 25 infra p. 195,11) ‖ **21** μεταμαθεῖν VOW: ἀπο- B (suprascr. in W) ‖ **22** ἄγροικον a: ἀγροῖκον V (cf. 4 supra p. 177,11, ubi nulla varia lectio, et 18 supra p. 188,25, ubi ἄγροικον SB, ἀγροῖκον VOW)

Ἔθος, φασί, δευτέρη φύσις· φύσει μάχεσθαι δ᾿ ἔργον, ἐτῶν τριάκοντα μελέτην ἀφεῖναι παγχάλεπον, ἄλλως τε καὶ μετὰ τοσαύτης ἐγγενομένην τῆς χαλεπότητος· ἐμοὶ δὲ ἤδη πλείω τούτων ἐστίν.

B [24] „Εἶέν· | ἀλλὰ τί μαθὼν αὐτὸς ἐπιχειρεῖς ἀκροᾶσθαι περὶ 5 τῶν συμβολαίων καὶ δικάζειν; οὐ γὰρ δὴ καὶ τοῦτό σε ὁ παιδαγωγὸς ἐδίδασκεν, ὃς οὐδὲ εἰ ἄρξεις ἠπίστατο.“

Δεινὸς δὲ ἀνέπεισε γέρων, ὃν καὶ ὑμεῖς ὡς ὄντα μάλιστα αἰτιώτατον τῶν ἐμῶν ἐπιτηδευμάτων ὀρθῶς ποιοῦντες ξυλλοιδορεῖτέ μοι, καὶ τοῦτον δέ, εὖ ἴστε, ὑπ᾿ ἄλλων ἐξηπατημένον. 10 Ὀνόματα ἥκει πρὸς ὑμᾶς πολλάκις κωμῳδούμενα, Πλάτων καὶ C Σωκράτης καὶ Ἀριστοτέλης καὶ | Θεόφραστος· ἐκείνοις ὁ γέρων οὗτος πεισθεὶς ὑπὸ ἀφροσύνης, ἔπειτα ἐμὲ νέον εὑρών, ἐραστὴν λόγων, ἀνέπεισεν ὡς, εἰ τὰ πάντα ἐκείνων ζηλωτὴς γενοίμην, ἀμείνων ἔσομαι τῶν μὲν ἄλλων ἀνθρώπων ἴσως οὐδενός – οὐ γὰρ 15 εἶναί μοι πρὸς αὐτοὺς τὴν ἅμιλλαν –, ἐμαυτοῦ δὲ πάντως. Ἐγὼ δὲ – οὐ γὰρ εἶχον ὅ τι ποιῶ – πεισθεὶς οὐκέτι δύναμαι μεταθέσθαι, D καὶ ταῦτα ἐθέλων πολλάκις, ἀλλ᾿ ὀνειδίζω μὲν ἐ|μαυτῷ, διότι μὴ ποιῶ ⟨πᾶσι⟩ πᾶσαν ἄδειαν ἁπάντων ἀδικημάτων· ὕπεισι δέ με ἐκ τῶν Πλάτωνος ὅσα ὁ Ἀθηναῖος διεξῆλθε ξένος. 20

1 cf. Otto, Sprichwörter, 426 p. 90s. et Häußler, Nachträge p. 71. 99; Aesop. Prov. 23 (Δευτέρα φύσις συνήθεια), Theodoret. Interpret. in Jer. PG 81 p. 588,48 (ὁ λόγος, ὅτι τὸ ἔθος δευτέρα φύσις); haec Iuliani „Ionica“ proverbii forma nullo alio loco invenitur ‖ **8** Maximus Ephesius? vid. Rabe, Proleg. Syll. p. CXVIII

1 ἔθος — ἔργον exstat in Exc. fol. 319r, l. 17s. et fol. 327v, l. 32

1 δευτέρη Vb Exc.: -ρα O | φύσει om. b ‖ **2** παγχάλεπον om. O, in mg. add. W | καὶ om. a ‖ **3** τοσαύτης ἐγγενομένην Vb: -ην -ης O | ἤδη VB: τούτω OW (ubi ἤδη suprascr., deleto τουτ) ‖ **4** περὶ ante τούτων add. Reiske, qui τοῦ μετρίου post πλείω subaudivit ‖ **5** μαθὼν V (cf. Ar. Nub. 402, Lys. 599, Plut. 908, Dem. or. 14,20): πα- a (de tali varia lectione vid. ad Eup. fr. 193,4 K.-A.) ‖ **7** οὐδὲ εἰ a: οὐδὲ V: οὐδ᾿ ὅτι Cobet | „post ἠπίστατο videtur deesse οὐ γὰρ *non utique* vel οὐ γὰρ οὗτός γε *non utique ille quidem* aut tale quid“ Reiske ‖ **8** δὲ VO: om. b: δὴ Platt ‖ **9–10** ξυλλοιδορεῖτέ V: συλ- a **19** ⟨πᾶσι⟩ πᾶσαν Cobet 1861: πᾶσαν codd.: πᾶσιν Cobet 1883 | με V: μοι a

[25] „Τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν, ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκεῖνος· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν. Ὁ δὲ καὶ συγκολά|ζων εἰς δύναμιν 354A
5 τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῆς. Τὸν αὐτὸν δὴ τοῦτον ἔπαινον καὶ περὶ σωφροσύνης χρὴ λέγειν καὶ περὶ φρονήσεως καὶ ὅσα ἄλλα ἀγαθά τις κέκτηται, δυνατὰ μὴ μόνον αὐτὸν ἔχειν, ἀλλὰ καὶ τοῖς ἄλλοις μεταδιδόναι."

10 Ταῦτα ἐδίδασκέ με νομίζων ἰδιώτην ἔσεσθαι· καὶ γὰρ | οὐδὲ B προέγνω ταύτην ἐκ Διός μοι τὴν τύχην ἐσομένην, εἰς ἣν νῦν ὁ θεὸς φέρων κατέστησεν. Ἐγὼ δὲ αἰσχυνόμενος ἄρχων ἰδιώτου φαυλότερος εἶναι, λέληθα ἐμαυτόν, οὐδὲν δέον, ὑμῖν τῆς ἀγροικίας μεταδιδοὺς τῆς ἐμαυτοῦ· καί με ἕτερος τῶν Πλάτωνος νόμων
15 ὑπομνησθέντα ἐμαυτοῦ πεποίηκεν ἀπεχθάνεσθαι πρὸς ὑμᾶς, ὅς φησι δεῖν αἰδῶ καὶ σωφροσύνην ἀσκεῖν τοὺς ἄρχοντας καὶ τοὺς πρεσβυτέρους, ἵνα τὰ πλήθη πρὸς αὐτοὺς | ἀποβλέποντα κοσμῆται. Μόνῳ οὖν μοι, μᾶλλον δὲ ξὺν ὀλίγοις ἐπιτηδεύοντι νῦν τοῦτο C πρὸς θάτερα περιέστη καὶ γέγονεν οὐκ ἀπεικότως ἐν ὀνείδει.
20 Ἑπτὰ γάρ ἐσμεν οἵδε παρ' ὑμῖν ξένοι νεήλυδες – εἷς δὲ καὶ πολίτης ὑμέτερος, Ἑρμῇ φίλος καὶ ἐμοί, λόγων ἀγαθὸς δημιουρ-

1–9 Plat. Leg. V 730de ‖ **3** cf. Hom. Λ 514 (πολλῶν ἀντάξιος ἄλλων, citatum ab Iuliano ep. 58 p. 426B) ‖ **14** Plat. Leg. V 729b confert Lacombrade, 730de Micalella (apud Prato)

1–2 τίμιος — διπλασίας τιμῆς ἄξιος exstat in Exc. fol. 319r, l. 18s. et fol. 327v, l. 32 – 328r, l. 1

1 ὁ[1] om. Exc. ‖ **2** ἐκεῖνος codd.: ἐκείνου Martinius (ex Platone) ‖ **3** ὁ δὲ a: οὐδὲ V ‖ **4** ἀνὴρ post συγκολάζων add. V ‖ **5** ὁ om. b | τέλειος VW: τέλος OB ‖ **6** ἀρετῆς codd. (cf. or. 3[2],38 p. 100C ἀρετῆς ... νικηφόρος): ἀρετῇ Plato ‖ **7** περὶ om. O ‖ **8** τοῖς ἄλλοις U man. alt. (τοῖς ἄλλοις μεταδιδόναι macula obrutum in V) b: ἄλλοις O, Plato ‖ **11** προέγνω U (π...... V) a: πρού- Hertlein (cf. 23 supra p. 193,19) ‖ **13** ὑμῖν Vb: ἡ- O ‖ **15** ἐμαυτοῦ V: -ῷ a: del. Boulenger[2] | ὅς B[pc]: αὐτὸς codd. (B[ac]) ‖ **16** φησι a: -μι V **17** ἀποβλέποντα a: βλέπ- V ‖ **17–18** κοσμῆται Vb: -εῖται O ‖ **18** ξὺν V: σ- a ‖ **19** περιέστη a: περίεστι V ‖ **20** γάρ ἐσμεν οἵδε VO: μὲν γάρ ἐσμεν οἵδε b: γάρ ἐσμεν ἢ δέκα Reiske | καὶ ante παρ' ὑμῖν VO | de οἱ μὲν ante ξένοι addendo cog. Lacombrade | καὶ om. B

γός –, οἷς οὐδέν ἐστι πρός τινα συμβόλαιον, οὐδὲ ἄλλην ὁδὸν
βαδίζομεν ⟨ἢ⟩ πρὸς τὰ τῶν θεῶν ἱερά καὶ ὀλιγάκις – οὐ πάντες –
D εἰς τὰ θέατρα. Πεποιη|μένοι ⟨δὲ⟩ τὸ δυσκλεέστατον τῶν ἔργων καὶ
ἐπονειδιστότατον τοῦ βίου τέλος – ἐπιτρέψουσί μοι πάντως οἱ τῶν
Ἑλλήνων σοφοὶ φάναι τι τῶν παρ' ὑμῖν ἐπιπολαζόντων, οὐ γὰρ 5
ἔχω πῶς ἂν αὐτὸ μᾶλλον ἐνδειξαίμην – ἐπὶ τῆς μεσιτείας αὐτοὺς
ἐτάξαμεν· οὕτω περὶ πολλοῦ ποιούμεθα τὸ προσκρούειν ὑμῖν καὶ
ἀπεχθάνεσθαι, δέον ἀρέσκειν καὶ θωπεύειν.

[26] „Ὁ δεῖνα ἐβιάσατο τὸν δεῖνα· τί τοῦτο, ὦ μωρέ, πρὸς σέ;
κοινωνεῖν ἐξὸν μετ' εὐνοίας τῶν ἀδικημάτων, ἀφεὶς τὸ κέρδος 10
355A ἔχθραν ἐπαναιρῇ; καὶ | τοῦτο ποιῶν ὀρθῶς οἴει ποιεῖν καὶ φρονεῖν
ὑπὲρ τῶν σεαυτοῦ; λογίσασθαι ἐχρῆν ὅτι τῶν μὲν ἀδικουμένων
οὐδεὶς αἰτιᾶται τοὺς ἄρχοντας, ἀλλὰ τὸν ἀδικήσαντα· ὁ δὲ ἀδικῶν
εἶτα εἰργόμενος, ἀφεὶς μέμφεσθαι τὸν ἀδικούμενον, εἰς τοὺς
ἄρχοντας τρέπει τὸ ἄχθος. Ἐξὸν οὖν ὑπὸ τῆς εὐλογιστίας ταύτης 15
ἀπέχεσθαι μὲν τοῦ τὰ δίκαια ποιεῖν ἀναγκάζειν, ἐπιτρέψαι δὲ
B ἑκάστῳ πράττειν ὅ τι ἂν ἐθέλῃ καὶ δυνατὸς | ᾖ – τὸ γὰρ τῆς
πόλεως ἦθος οἶμαι τοιοῦτόν ἐστιν, ἐλεύθερον λίαν –, σὺ δὲ οὐ
ξυνείς ἄρχεσθαι αὐτοὺς μετὰ φρονήσεως ἀξιοῖς; οὐδὲ ἀπέβλεψας
ὅση καὶ μέχρι τῶν ὄνων ἐστὶν ἐλευθερία παρ' αὐτοῖς καὶ τῶν 20
καμήλων; ἄγουσί τοι καὶ ταύτας οἱ μισθωτοὶ διὰ τῶν στοῶν
ὥσπερ τὰς νύμφας· οἱ γὰρ ὑπαίθριοι στενωποὶ καὶ αἱ πλατεῖαι
τῶν ὁδῶν οὐκ ἐπὶ τούτῳ δήπου πεποίηνται, τῷ χρῆσθαι αὐταῖς
τοὺς κανθηλίους, ἀλλ' ἐκεῖναι μὲν αὐτὸ δὴ τοῦτο κόσμου τινὸς
C ἕνεκα πρό|κεινται καὶ πολυτελείας, χρῆσθαι δὲ ὑπ' ἐλευθερίας οἱ 25
ὄνοι βούλονται ταῖς στοαῖς, εἴργει δὲ αὐτοὺς οὐδεὶς οὐδενός, ἵνα μὴ

20–21 cf. Plat. Rep. VIII 563c (αἵ τε κύνες κατὰ τὴν παροιμίαν οἷαίπερ αἱ δέσποιναι γίγνονταί τε δὴ καὶ ἵπποι καὶ ὄνοι, πάνυ ἐλευθέρως καὶ σεμνῶς εἰθισμένοι πορεύεσθαι)

1 ἄλλην om. b (suprascr. W) ‖ **2** ἢ suppl. Cobet | δὲ post πρὸς add. a πάντες V: πάντη a (ex πάντες, ut vid., W) ‖ **3** δὲ supplevi | τὸ codd.: ⟨τοῦ⟩το Boulenger[2] ‖ **4** ἐπονειδιστότατον Hertlein dub. in app.: -διστον codd. | ἐπιτρέψουσί VOW: ἐπιστρ- B ‖ **5** ὑμῖν codd.: ἡ- Martinius **5–7** ἐπιπολαζόντων — προσκρούειν ὑμῖν om. B ‖ **6** αὐτὸ VW (ex -ῷ corr., ut videtur): -ῷ O ‖ **9** μωρὲ codd.: μῶρε Hertlein (cf. Caes. 10 supra p. 115,11) **10** κοινωνεῖν Petavius: -εῖ codd. ‖ **12** ἀδικουμένων Hertlein: ἀδικημάτων codd. ‖ **19** ξυνείς V: συν- a ‖ **25** ὑπ' a: ὑπὲρ V ‖ **26** αὐτοὺς οὐδεὶς V: οὐδ. αὐτ. a

τὴν ἐλευθερίαν ἀφέληται· οὕτως ἡ πόλις ἐστὶν ἐλευθέρα. Σὺ δὲ ἀξιοῖς τοὺς ἐν αὐτῇ νεανίσκους ἄγειν ἡσυχίαν καὶ μάλιστα μὲν φρονεῖν ὅ τι σοι φίλον, εἰ δὲ μή, φθέγγεσθαι ὅσων ἂν ἡδέως ἀκούσαις· οἱ δὲ ὑπ' ἐλευθερίας εἰώθασι κωμάζειν, ἀεὶ μὲν ἐπιεικῶς 5 αὐτὸ ποιοῦντες, ἐν δὲ ταῖς ἑορταῖς πλέον."

[27] Ἔδωκάν πο|τε τῶν τοιούτων σκωμμάτων Ῥωμαίοις D Ταραντῖνοι δίκας, ὅτι μεθύοντες ἐν τοῖς Διονυσίοις ὕβρισαν αὐτῶν τὴν πρεσβείαν· ὑμεῖς δέ ἐστε τῶν Ταραντίνων τὰ πάντα εὐδαιμονέστεροι, ἀντὶ μὲν ὀλίγων ἡμερῶν ὅλον εὐπαθοῦντες ἐνιαυτόν, 10 ἀντὶ δὲ τῶν ξένων πρέσβεων εἰς αὐτοὺς ἐξυβρίζοντες τοὺς ἄρχοντας καὶ τούτων εἰς τὰς ἐπὶ τοῦ γενείου τρίχας καὶ τὰ ἐν τοῖς νομίσμασι χαράγματα. |

Εὖ γε, ὦ πολῖται σώφρονες, οἵ τε παίζοντες τὰ τοιαῦτα καὶ οἱ 356A τῶν παιζόντων ἀποδεχόμενοι καὶ ἀπολαύοντες· δῆλον γάρ, ὅτι 15 τοῖς μὲν ἡδονὴν παρέχει τὸ λέγειν, τοὺς δὲ τὸ ἀκροᾶσθαι τῶν τοιούτων σκωμμάτων εὐφραίνει. Ταύτης ὑμῖν ἐγὼ τῆς ὁμονοίας συνήδομαι, καὶ εὖ γε ποιεῖτε μία δὴ πόλις ὄντες τὰ τοιαῦτα, ὡς ἐκεῖνό γε οὐδαμοῦ σπουδαῖον οὐδὲ ζηλωτὸν, εἴργειν καὶ κολάζειν τῶν νέων τὸ ἀκόλαστον· παραιρεῖ|σθαι γάρ ἐστι καὶ ἀποθραύειν B 20 τῆς ἐλευθερίας τὸ κεφάλαιον, εἴ τις ἀφέλοιτο τοῦ λέγειν καὶ πράττειν ὅ τι βούλονται τοὺς ἀνθρώπους.

Ὀρθῶς οὖν ὑμεῖς τοῦτο εἰδότες, ὅτι δεῖ τὰ πάντα ἐλευθέρους εἶναι, πρῶτον ἐπετρέψατε ταῖς γυναιξὶν ἄρχειν αὐτῶν, ἵνα ὑμῖν ὦσι λίαν ἐλεύθεραι καὶ ἀκόλαστοι, εἶτα ἐκείναις ξυνεχωρήσατε 25 ἀνάγειν τὰ παιδία, μή ποτε ὑμῖν ἀρχῆς πειρώμενα τραχυτέρας ἔπειτα ἀποφανθῇ | δοῦλα καὶ γενόμενα μειράκια πρῶτον C αἰδεῖσθαι διδαχθῇ τοὺς πρεσβυτέρους, ὑπὸ δὲ τῆς οὕτω κακῆς συνηθείας εὐλαβέστερα γένηται πρὸς τοὺς ἄρχοντας, καὶ τέλος οὐκ εἰς ἄνδρας, ἀλλ' εἰς ἀνδράποδα τελέσαντες καὶ γενόμενοι σώφρο-

1 ἡ πόλις ἐστὶν V: ἐστ. ἡ π. a ‖ **3** φθέγγεσθαι a: φέγγ- V | ὅσων VOW (α suprascr. in W): -α B ‖ **4** ἀκούσαις codd.: -ῃς Hertlein in app. **10** ἐξυβρίζοντες V: ἐν- a ‖ **17** δὴ Hertlein: ἡ codd. | ἐς ante τὰ τοιαῦτα add. Reiske ‖ **18** τὸ ante εἴργειν add. Cobet (negat Hertlein; vid. eius comm. ad Xen. Cyrop. I 6,10 et Saupp. ad Dem. or. 3,12) ‖ **22** ὑμεῖς Vb: ἡ- O **23** ἐπετρέψατε a: -ψα V ‖ **24** ξυνεχωρήσατε V: συν- a ‖ **25** ἀνάγειν a: ἂν ἄγειν U (locus macula obrutus in V) ‖ **26** δοῦλα καὶ γενόμενα b: ...ενόμενα V (... γενόμενα U, δοῦλα καὶ in marg. suppl.): δοῦλα καὶ γιν- O ‖ **27–28** τῆς οὕτω κακῆς συνηθείας VO: τῆς συνηθείας ταύτης b (οὕτω κακῆς suprascr. W)

νες καὶ ἐπιεικεῖς καὶ κόσμιοι λάθωσι διαφθαρέντες παντάπασι. Τί οὖν αἱ γυναῖκες; ἐπὶ τὰ σφέτερα σεβάσματα ἄγουσιν αὐτὰ δι'
D ἡδονῆς, ὃ δὴ μακαριώτατον εἶναι φαίνεται | καὶ πολυτίμητον οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ θηρίοις. Ἔνθεν οἶμαι συμβαίνει μάλα ὑμῖν εὐδαίμοσιν εἶναι πᾶσαν ἀρνουμένοις δουλείαν, ἀπὸ τῆς εἰς 5 τοὺς θεοὺς πρῶτον, εἶτα τοὺς νόμους καὶ τρίτον τοὺς νομοφύλακας ἡμᾶς· ἄτοποί τε ἂν εἴημεν ἡμεῖς, εἰ τῶν θεῶν περιορώντων οὕτως ἐλευθέραν τὴν πόλιν καὶ οὐκ ἐπεξιόντων ἀγανακτοίημεν καὶ
357A χαλεπαίνοιμεν. Εὖ γὰρ ἴστε ὅτι καὶ ταύ|της ἡμῖν ἐκοινώνησαν οἱ θεοὶ τῆς ἀτιμίας παρὰ τῇ πόλει. 10

[28] „Τὸ Χῖ, φησίν, οὐδὲν ἠδίκησε τὴν πόλιν οὐδὲ τὸ Κάππα." Τί μέν ἐστι τοῦτο τῆς ὑμετέρας σοφίας τὸ αἴνιγμα ξυνεῖναι χαλεπόν, τυχόντες δὲ ἡμεῖς ἐξηγητῶν ἀπὸ τῆς ὑμετέρας πόλεως ἐδιδάχθημεν ἀρχὰς ὀνομάτων εἶναι τὰ γράμματα, δηλοῦν
B δὲ ἐθέλειν τὸ μὲν Χριστόν, τὸ δὲ Κωνστάντιον. Ἀνέχεσθε | οὖν μου 15 λέγοντος μετὰ παρρησίας.

Ἓν μόνον ὑμᾶς ὁ Κωνστάντιος ἠδίκησεν, ὅτι με Καίσαρα ποιήσας οὐκ ἀπέκτεινεν· ὡς τά γε ἄλλα ὑμῖν μόνοις ἐκ πάντων Ῥωμαίων πολλῶν δοῖεν οἱ θεοὶ {τῶν} Κωνσταντίων πειραθῆναι, μᾶλλον δὲ τῶν ἐκείνου φίλων τῆς πλεονεξίας. Ἐμοὶ γὰρ ὁ ἀνὴρ 20 καὶ ἀνεψιὸς ἐγένετο καὶ φίλος· ἐπεὶ δὲ πρὸ τῆς φιλίας εἵλετο τὴν ἔχθραν, εἶτα ἡμῖν οἱ θεοὶ τὸν πρὸς ἀλλήλους ἀγῶνα λίαν ἐβράβευ-
C σαν φιλανθρώπως, ἐγενόμην αὐτῷ πιστότερος | φίλος ἢ προσεδόκησεν ἕξειν με πρὶν ἐχθρὸν γενέσθαι. Τί οὖν οἴεσθέ με τοῖς ἐκείνου λυπεῖν ἐγκωμίοις, ὃς ἄχθομαι τοῖς λοιδορουμένοις αὐτῷ; 25

Χριστὸν δὲ ἀγαπῶντες ἔχετε πολιοῦχον ἀντὶ τοῦ Διὸς καὶ τοῦ Δαφναίου καὶ τῆς Καλλιόπης, ἣ τὸ σόφισμα ὑμῶν ἀπεγύμνωσεν. Ἐμισηνοὶ Χριστὸν ἐπόθουν οἱ πῦρ ἐμβαλόντες τοῖς τάφοις τῶν Γαλιλαίων; ἐλύπησα δὲ ἐγὼ τίνας Ἐμισηνῶν πώποτε; ὑμῶν

5 ὑμῖν Vb: ex ἡμῖν corr. O | ἀπὸ τῆς codd.: ἀπο⟨στᾶσι⟩ τῆς Klimek[1]: ἀπο⟨στᾶσι ἀπὸ⟩ τῆς Russo ‖ **5–6** εἰς τοὺς VW: εἰς B: τοὺς τοὺς O (prius τοὺς ex εἰς, ut videtur) ‖ **6** de ἀρξαμένοις post θεοὺς supplendo cog. Hertlein in app. ‖ **7** τε ἂν om. B ‖ **8** ἀγανακτοίημεν Vb: -είημεν O ‖ **9** καὶ om. a ταύτης ἡμῖν V: ἡμ. τ. OB: ὑμ. τ. W ‖ **11** φησίν codd. (η in ras. B): φασίν Hertlein (v. praef. XXV) ‖ **13** ξυνεῖναι V: συν- a ‖ **18** ὑμῖν Vb: ex ἡμῖν corr. O ‖ **19** πολλῶν codd.: -άκις Russo (servato τῶν ante Κωνσταντίων) | τῶν del. Hertlein ‖ **21** καὶ post δὲ add. V ‖ **24** ἐχθρὸν codd.: -ὸς Boulenger[2] **28** τάφοις τῶν a: ταφ……. V (τάφοις τῶν secunda manus, ut videtur, in U)

μέντοι | πολλοὺς καὶ ὀλίγου δέω φάναι πάντας, τὴν βουλήν, τοὺς D
εὐπόρους, τὸν δῆμον. Ὁ μὲν γὰρ δῆμος ἄχθεταί μοι τῷ πλείστῳ
μέρει, μᾶλλον δ' ἅπας ἀθεότητα προελόμενος, ὅτι τοῖς πατρίοις
ὁρᾷ τῆς ἁγιστείας θεσμοῖς προσκείμενον, οἱ δὲ δυνατοὶ κωλυόμε-
5 νοι πολλοῦ πάντα πωλεῖν ἀργυρίου, πάντες δὲ ὑπὲρ τῶν
ὀρχηστῶν καὶ τῶν θεάτρων, οὐχ ὅτι τοὺς ἄλλους ἀποστερῶ
τούτων, ἀλλ' ὅτι μέλει μοι τῶν τοιούτων ἧττον ἢ τῶν ἐν | τοῖς 358A
τέλμασι βατράχων. Εἶτα οὐκ εἰκότως ἐμαυτοῦ κατηγορῶ τοσαύ-
τας ἀπεχθείας λαβὰς παρασχόντος;

10 **[29]** Ἀλλὰ ὁ Ῥωμαῖος Κάτων – ὅπως μὲν ἔχων πώγωνος οὐκ
οἶδα, παρ' ὀντινοῦν δὲ τῶν ἐπὶ σωφροσύνῃ καὶ μεγαλοψυχίᾳ καὶ
τὸ μέγιστον ἀνδρείᾳ μέγα φρονούντων ἄξιος ἐπαινεῖσθαι –
προσιὼν τῇδε τῇ πολυανθρώπῳ καὶ τρυφερᾷ καὶ πλουσίᾳ πόλει,
τοὺς ἐφήβους ἰδὼν ἐν τῷ προαστείῳ μετὰ τῶν ἀρχόντων ἐσταλμέ-
15 νους ὡς | ἐπί τινα δορυφορίαν, ἐνόμισεν αὑτοῦ χάριν ὑμῶν τοὺς B
προγόνους τὴν παρασκευὴν πᾶσαν πεποιῆσθαι, καὶ θᾶσσον
ἀποβὰς τοῦ ἵππου προῆγεν, ἅμα καὶ πρὸς τοὺς προλαβόντας τῶν
φίλων δυσχεραίνων ὡς μηνυτὰς γενομένους αὑτοῖς, ὅτι Κάτων
προσάγει, καὶ ἀναπείσαντας ἐκδραμεῖν· ὄντος δὲ ἐν τοιούτοις
20 αὐτοῦ καὶ διαποροῦντος ἠρέμα καὶ ἐρυθριῶντος ὁ γυμνασί|αρχος C
προσδραμών, „Ὦ ξένε" ἔφη „ποῦ Δημήτριος;" ἦν δὲ οὗτος
ἀπελεύθερος Πομπηίου, κεκτημένος οὐσίαν πολλὴν πάνυ· μέτρον
δὲ αὐτῆς εἰ ποθεῖτε μαθεῖν (οἶμαι γὰρ ὑμᾶς ἐκ πάντων τῶν
λεγομένων πρὸς ταύτην μάλιστα ὡρμῆσθαι τὴν ἀκοήν), ἐγὼ τὸν
25 εἰπόντα φράσω. Δαμοφίλῳ τῷ Βιθυνῷ πεποίηται συγγράμματα
τοιαῦτα, ἐν οἷς δρεπόμενος ἐκ †τῶν† πολλῶν εἰργάσατο λόγους | D

7–8 cf. Suda μ 481 et τ 277 (μέλει μοι τῶν τοιούτων οὐδὲν ἧττον ἢ τῶν ἐν τοῖς τέλμασι βατράχων); Arsen. (Michael Apostolius) Apophth. 11,10a

1 μέντοι πολλοὺς a, evanidum in V (μέντοι πολλοὺς secunda manus, ut videtur, in U) ‖ **3** προελόμενος a: προσ- V ‖ **4** προσκείμενον a: προ- V **6–7** post ἀποστερῶ τούτων desinit W ‖ **8–9** τοσαύτας Reiske: -ης codd. **9** παρασχόντος Vb: -τως O ‖ **11** ὀντινοῦν Reiske: ὡντινοῦν V: ὀντιναοῦν a **12** μέγα om. V ‖ **15** ὡς om. a | αὑτοῦ V: αὐ- a ‖ **17** προῆγεν a: προσ- V „αἰδεσθεὶς aut ἀχθόμενος aut tale quid" ante ἅμα desiderat Reiske | καὶ om. B | πρὸς om. a ‖ **19** προσάγει VB: προ- O | ἀναπείσαντας a: ἀνασπ- V **25** Δαμοφίλῳ V: Δημ- a ‖ **26** τῶν πολλῶν codd.: βίβλων πολλῶν Hertlein dub. in app.: τῶν παλαιῶν Hercher: βίων πολλῶν Russo: τῶν πολλῶν ⟨καὶ χυδαίων συγγραφέων⟩ Reiske: de τῶν delendo cog. Prato

ἡδίστους νέῳ φιληκόῳ καὶ πρεσβυτέρῳ. Φιλεῖ γὰρ τὸ γῆρας ἐπανάγειν αὖθις εἰς τὴν τῶν νέων φιληκοΐαν τοὺς ἀφηλικεστέρους· ὅθεν οἶμαι συμβαίνει νέους καὶ πρεσβύτας ἐξ ἴσης εἶναι φιλομύθους.

Εἶέν. Ὁ δὲ δὴ Κάτων ὅπως ἀπήντησε τῷ γυμνασιάρχῳ 5 βούλεσθε φράσω; μή με λοιδορεῖν ὑπολάβητε τὴν πόλιν· οὐκ ἔστιν ὁ λόγος ἐμός. Εἴ τις ἀφῖκται περιφερομένη καὶ εἰς ὑμᾶς ἀκοὴ 359A Χαιρωνέως ἀνδρὸς ἐκ τοῦ | φαύλου γένους, ὃ δὴ λέγεται παρὰ τῶν ἀλαζόνων φιλόσοφον – οὗ δὴ καὶ αὐτὸς οὐκ ἐφικόμην μέν, ηὐξάμην δὲ ὑπὸ ἀμαθίας κοινωνῆσαι καὶ μετασχεῖν –, ταῦτα οὖν 10 ἐκεῖνος ἔφρασεν, ὡς ὁ Κάτων ἀπεκρίνατο μὲν οὐθέν, βοήσας δὲ μόνον οἶά τις ἔμπληκτος καὶ ἀνόητος ἄνθρωπος „Ὦ τῆς κακοδαίμονος πόλεως“, ἀπιὼν ᾤχετο.

B [30] Μὴ δὴ θαυμάσητε, τοῦτο εἰ καὶ ἐγὼ νυνὶ | πάσχω πρὸς ὑμᾶς, ἀνὴρ ἀγριώτερος ἐκείνου καὶ θρασύτερος τοσούτῳ καὶ 15 αὐθαδέστερος, ὅσον οἱ Κελτοὶ Ῥωμαίων· ὁ μὲν γὰρ ἐκεῖσε τεχθεὶς ἐγγὺς ἦλθε γήρως ἅμα τοῖς πολίταις στρεφόμενος, ἐμοὶ δὲ Κελτοὶ καὶ Γερμανοὶ καὶ δρυμὸς Ἑρκύνιος ἔμελεν ἄρτι πρῶτον εἰς ἄνδρας τελοῦντι, καὶ διέτριψα πολὺν ἤδη χρόνον, ὥσπερ τις κυνηγέτης C ἀγρίοις ὁμιλῶν καὶ συμπλεκόμενος θηρίοις, ἤθεσιν ἐντυγ|χάνων 20 οὔτε θωπεύειν οὔτε κολακεύειν εἰδόσιν, ἁπλῶς δὲ καὶ ἐλευθέρως ἐκ τοῦ ἴσου πᾶσι προσφέρεσθαι.

Γέγονεν οὖν μοι μετὰ τὴν ἐκ παίδων τροφὴν ἥ τε ἐν μειρακίοις ὁδὸς διὰ τῶν Πλάτωνος καὶ Ἀριστοτέλους λόγων, οὐδαμῶς

6–7 de proverbio vid. C. Cyn. 15 supra p. 99,12 cum adn. ‖ **11–13** Plut. Cato min. 13,5 (ὦ τῆς κακοδαίμονος ... πόλεως) et Pomp. 40,5 (Ὦ τῆς ἀθλίας πόλεως)

1–2 φιλεῖ— ἀφηλικεστέρους exstat in Exc. fol. 328r, l. 2s.

6 βούλεσθε om. B ‖ **7** ὑμᾶς VB: ἡ- O ‖ **8–9** παρὰ τῶν ἀλαζόνων φιλόσοφον V: περὶ τῶν ἀλ. φιλοσόφων a ‖ **9** οὗ a: καὶ U (macula in V) ‖ **11** οὐθέν V: -δέν a ‖ **14** τοιαῦτα post νυνὶ add. B ‖ **15** ἐκείνου — τοσούτῳ om. V **17** στρεφόμενος B (acc. Martinius, qui „versatus“ vertit): τρ- VO ‖ **18** ὁ ante Ἑρκύνιος add. Boulenger[2] | ἔμελεν K (ἔμ... O) et B (ex corr.): ἔμελλεν V ἄνδρας a: -α V ‖ **20** ἀγρίοις a: -ιος V | ὁμιλῶν V: πολεμ- a ‖ **23** τε VO: γε B

ἐπιτηδεία δήμοις ἐντυγχάνειν καὶ ὑπὸ τρυφῆς εὐδαιμονεστάτῳ εἶναι, ἥ τε ἐν ἀνδράσιν αὐτουργία παρὰ τοῖς μαχιμωτάτοις καὶ θυμικωτάτοις τῶν ἐθνῶν, ὅπου τὴν γαμηλίαν Ἀφροδίτην καὶ τὸν μεθυδότην Διόνυσον γάμου τε ἕνεκα καὶ παιδοποιίας οἴνου τε
5 ὁπόσης | ἑκάστῳ δυνατὸν πόσεως ἴσασι μόνον· ἀσέλγεια δὲ οὐκ D
ἔστιν ἐν τοῖς θεάτροις οὐδὲ ὕβρις, οὔτε ἕλκει τις εἴσω τῆς σκηνῆς τὸν κόρδακα.

[31] Λέγεταί τοι μικρῷ πρόσθεν ὡς ἐνθένδε ἐκεῖσέ τις Καππαδόκης φυγάς, ἐν τῇ παρ' ὑμῖν τραφεὶς πόλει παρὰ τῷ
10 χρυσοχόῳ – γνωρίζετε δήπουθεν ὃν λέγω –, μαθὼν (ὅπου καὶ ἔμαθεν) ὡς οὐ δέον ὁμιλεῖν γυναιξί, μειρακίοις δὲ ἐπιχει|ρεῖν, οὐκ 360A
οἶδα ὁπόσα ἐνθάδε δράσας καὶ παθών, ἐπειδὴ παρὰ τὸν ἐκεῖσε βασιλέα πρῴην ἀφίκετο, μνήμῃ τῶν τῆδε πολλοὺς μὲν ὀρχηστὰς αὐτοῖς ἐπαγαγεῖν, ἄλλα δὲ τὰ ἐντεῦθεν ἀγαθὰ τοιαῦτα· καὶ δὴ
15 ⟨καὶ⟩ τέλος ὡς ἐνεδέησεν ἔτι κοτυλιστοῦ – τοῦτο δὲ ὑμεῖς ἴστε πρὸς τῷ ἔργῳ τὸ ὄνομα –, καὶ τοῦτον ἐνθένδε ἐκάλει πόθῳ καὶ ἔρωτι τῆς σεμνῆς παρ' ὑμῖν διαίτης. Οἱ Κελτοὶ δὲ τὸν μὲν κοτυλιστὴν ἠγνόησαν – ἐδέ|ξατο γὰρ αὐτὸν αὐτίκα τὰ βασίλεια –, τοὺς B
ὀρχηστὰς δὲ ἐπιτραπέντας ἐν τῷ θεάτρῳ τὴν τέχνην ⟨***⟩ εἴασαν,
20 οἰόμενοι τοῖς νυμφολήπτοις αὐτοὺς ἐοικέναι, καὶ ἦν αὐτοῖς ἐκεῖ

3–4 τὴν γαμηλίαν — Διόνυσον exstat in Exc. fol. 328r, l. 3 ‖ **20** cf. Synes. Aegypt. 1,4 p. 93A (ὥστε ἐοικέναι τοῖς νυμφολήπτοις) et 2,1 p. 116C (ἅπαντες ἐοικότες τοῖς νυμφολήπτοις)

1 ἐπιτηδεία VO: -ω (= -ῳ) B. de toto loco ita rescribendo cog. Hertlein in app.: ... λόγων οὐδαμῶς ἐπιτηδείων δήμοις ἐντυγχάνειν ⟨οἰομένοις⟩ {καὶ} ὑπὸ τρυφῆς εὐδαιμονεστάτοις εἶναι (post Reiskium, qui ... ἐπιτηδείων ⟨τρυφῶσι⟩ δήμοις ἐντυγχάνειν καὶ ὑπὸ τρυφῆς εὐδαιμονεστάτοις ⟨οἰομένοις⟩ εἶναι proposuit): ἐπιτηδεία δήμοις ἐντυγχάνειν {καὶ} ὑπὸ τρυφῆς ⟨οἰομένοις⟩ εὐδαιμονεστάτοις εἶναι Prato | τρυφῆς VB: ex στροφ- corr. (ut videtur) O εὐδαιμονεστάτῳ a: -οις V ‖ **4** μεθυδότην codd.: -δώτην Hercher ‖ **6** οὔτε codd.: οὐδὲ Martinius (v. praef. p. XXVs.) ‖ **8** τοι VB: μοι O | ὡς codd.: ἰὼν Hertlein in app. ‖ **10** γνωρίζετε VB: -ται O | ὃν Martinius: ὃ codd. | ὅπου codd.: ὅτου Reiske ‖ **13** πρῴην VO: πρῶτον B ‖ **14** ἐπαγαγεῖν V: ἀπ- a: ἐπήγαγε Lacombrade dub. in app. | ἄλλα Hertlein (qui olim de πολλὰ δὲ ἄλλα ἐντεῦθεν scribendo cog.): πολλὰ codd. ‖ **15** καὶ suppl. Hertlein ἐνεδέησεν VB: ἐδέησεν O ‖ **19** post τέχνην lac. statuit et ἐπιδείκνυσθαι inseruit Reiske, quod verbum post ἐπιτραπέντας posuit Wright, ita Hertlein voluisse scribere perperam affirmans ‖ **20** αὐτοῖς Hertlein: αὐ... V (spat. vac. reliquit U): om. a

παραπλησίως ἐμοὶ καταγελαστότατον τὸ θέατρον· ἀλλ᾽ οἱ μὲν ὀλίγοι πολλῶν κατεγέλων, ἐγὼ δὲ ξὺν ὀλίγοις ἐνθάδε γελοῖος ὑμῖν ἅπασι τὰ πάντα φαίνομαι.

[32] Καὶ οὐκ ἀγανακτῶ τῷ πράγματι· καὶ γὰρ ἂν εἴην ἄδικος C εἰ μὴ ⟨καὶ⟩ τοῖς παροῦσι στέργοιμι, | διαφερόντως ἀσπασάμενος 5 ἐκεῖνα. Κελτοὶ μὲν γὰρ οὕτω με δι᾽ ὁμοιότητα τρόπων ἠγάπησαν, ὥστε ἐτόλμησαν οὐχ ὅπλα μόνον ὑπὲρ ἐμοῦ λαβεῖν, ἀλλὰ καὶ χρήματα ἔδωκαν πολλά, καὶ παραιτούμενον ὀλίγου καὶ ἐβιάσαντο λαβεῖν, καὶ πρὸς πάντα ἑτοίμως ὑπήκουσαν· ὃ δὲ δὴ μέγιστον, ἐκεῖθεν εἰς ὑμᾶς ἐφέρετο πολὺ καὶ μέγα τὸ ἐμὸν ὄνομα, καὶ ἐβόων 10 D πάντες ἀνδρεῖον, συνετόν, δίκαιον, οὐ | πολέμῳ μόνον ὁμιλῆσαι δεινόν, ἀλλὰ καὶ εἰρήνῃ χρήσασθαι δεξιόν, εὐπρόσιτον, πρᾷον. Ὑμεῖς δὲ αὐτοῖς ἀντιδεδώκατε νῦν ἐνθένδε πρῶτον μέν, ὅτι παρ᾽ ἐμὲ τὰ τοῦ κόσμου πράγματα ἀνατέτραπται – σύνοιδα δὲ οὐδὲν ἀνατρέπων ἐμαυτῷ οὔτε ἑκὼν οὔτε ἄκων –, εἶτα ὡς ἐκ τοῦ πώγω- 15 νός μου χρὴ πλέκειν σχοινία, καὶ ὅτι πολεμῶ τῷ Χῖ, πόθος δὲ ὑμᾶς εἴσεισι τοῦ Κάππα.

[33] Καὶ ὑμῖν γε αὐτὸ οἱ πολιοῦχοι τῆσδε τῆς πόλεως θεοὶ 361A διπλοῦν δοῖεν, ὅτι πρὸς τούτῳ καὶ τὰς | ἀστυγείτονας ἐσυκοφαντήσατε πόλεις ἱερὰς καὶ ὁμοδούλους ἐμοί, ὡς δὴ παρ᾽ αὐτῶν εἴη 20 τὰ εἰς ἐμὲ ξυντεθέντα, ὃν εὖ οἶδ᾽ ὅτι φιλοῦσιν ἐκεῖναι μᾶλλον ἢ τοὺς ἑαυτῶν υἱέας· οἳ τὰ μὲν τῶν θεῶν ἀνέστησαν αὐτίκα τεμένη, τοὺς τάφους δὲ τῶν ἀθέων ἀνέτρεψαν πάντας, ὑπὸ τοῦ συνθήματος, ὃ δὴ δέδοται παρ᾽ ἐμοῦ πρῴην, οὕτως ἐπαρθέντες τὸν νοῦν B καὶ μετέωροι γενόμενοι τὴν διάνοιαν, ὡς καὶ | πλέον ἐπεξελθεῖν 25 τοῖς εἰς τοὺς θεοὺς πλημμελοῦσιν ἢ βουλομένῳ μοι ἦν. Τὰ δὲ

19 cf. Suda δ 1262 (Διπλοῦν κάππα· ἀντὶ τοῦ διπλοῦν κακόν) et hinc κ 324 (Κάππα διπλοῦν· ἀντὶ τοῦ κακά)

1 καταγελαστότατον VO: -τερον B: -γελαστικότατον („irrisioni deditissimum") Anastasi, vix recte (cf. Montanari 10s. ad loc.) | οἱ codd.: ἐκεῖ Reiske ‖ **1–2** μὲν ὀλίγοι a (et U): ....οι V ‖ **2** ξὺν VB: σὺν O ‖ **5** καὶ suppl. cod. Marc. 251: om. Va ‖ **8** ὀλίγου καὶ Hertlein (post Cobet, qui ὀλίγου coni.): ὀλιγάκις V: ὀλίγα a (α in ras. B) ‖ **9** πρὸς om. O | δὲ om. B ‖ **10** καὶ μέγα om. V ‖ **13** δὲ om. O ‖ **14** ἐμὲ codd.: ἐμοῦ vet. vulg. ‖ **16** χρὴ πλέκειν VO: πλ. χρ. B ‖ **20** παρ᾽ ante ἐμοί add. V ‖ **22** ἑαυτῶν VB: αὐτ- O ‖ **23** ὑπὸ codd.: ἀπὸ Paris. Gr. 3029

ὑμέτερα; Πολλοὶ μὲν ἐγειρομένους ἄρτι τοὺς βωμοὺς ἀνέτρεψαν, οὓς ἡ πρᾳότης ἡμῶν ἐδίδαξε μόλις ἡσυχάζειν. Ἐπεὶ δὲ ἀπεπεμψάμεθα τὸν νεκρὸν τῆς Δάφνης, οἱ μὲν ἀφοσιούμενοι τὰ πρὸς τοὺς θεοὺς ἐξ ὑμῶν ἀντέδωκαν τοῖς ὑπὲρ τῶν λειψάνων ἠγανακτηκόσι
5 τοῦ νεκροῦ τὸ τέμενος τοῦ Δα|φναίου θεοῦ, οἱ δὲ εἴτε λαθόντες εἴτε C
μὴ τὸ πῦρ ἐνεῖσαν ἐκεῖνο, τοῖς μὲν ἐπιδημοῦσι τῶν ξένων φρικῶδες, ὑμῶν δὲ τῷ δήμῳ μὲν ἡδονὴν παρασχόν, ὑπὸ δὲ τῆς βουλῆς ἀμεληθέν καὶ εἰσέτι ἀμελούμενον. [34] Ἐμοὶ μὲν οὖν ἐδόκει καὶ πρὸ τοῦ πυρὸς ἀπολελοιπέναι τὸν νεὼν ὁ θεός· ἐπεσήμηνε γὰρ
10 εἰσελθόντι μοι πρῶτον τὸ ἄγαλμα, καὶ τούτου μάρτυρα καλῶ τὸν μέγαν Ἥλιον πρὸς τοὺς ἀπιστοῦντας.

Ὑμᾶς δὲ ὑπομνῆσαι βούλομαι καὶ ἄλλης ἀπεχθείας ἐμῆς, ἔπει|τα, ὅπερ εἴωθα ποιεῖν ἐπιεικῶς, ὀνειδίσαι ἐμαυτῷ καὶ ὑπὲρ D
ταύτης καὶ κατηγορῆσαι καὶ μέμψασθαι. Δεκάτῳ γάρ που μηνὶ
15 τῷ παρ᾽ ὑμῖν ἀριθμουμένῳ – Λῷον οἶμαι τοῦτον ὑμεῖς προσαγορεύετε – τοῦ θεοῦ τούτου πάτριός ἐστιν ἑορτή, καὶ ἔδει σπουδῇ πρὸς τὴν Δάφνην ἀπαντᾶν. Ἐγὼ μὲν οὖν ἀπὸ τοῦ Κασίου Διὸς ἐπὶ τοῦτο ἔδραμον, οἰόμενος ἐνταῦθα μάλιστα τοῦ πλούτου καὶ τῆς φιλοτιμίας ὑμῶν ἀπολαύσειν· εἶτα ἀνέπλαττον παρ᾽ ἐμαυτῷ
20 πομπήν, | ὥσπερ ὀνείρατα ὁρῶν, ἱερεῖα καὶ σπονδὰς καὶ χοροὺς 362A
τῷ θεῷ καὶ θυμιάματα καὶ τοὺς ἐφήβους ἐκεῖ περὶ τὸ τέμενος θεοπρεπέστατα μὲν τὰς ψυχὰς κατεσκευασμένους, λευκῇ δὲ ἐσθῆτι καὶ μεγαλοπρεπεῖ κεκοσμημένους. Ὡς δὲ εἴσω παρῆλθον τοῦ τεμένους, οὔτε θυμιάματα κατέλαβον οὔτε πόπανον οὔτε ἱερεῖον.
25 Αὐτίκα μὲν οὖν ἐθαύμασα καὶ ᾤμην ἔξω τοῦ τεμένους εἶναι, περι|μένειν δὲ ὑμᾶς, ἐμὲ δὴ τιμῶντας ὡς ἀρχιερέα, τὸ σύνθημα παρ᾽ B
ἐμοῦ· ἐπεὶ δὲ ἠρόμην τί μέλλει θύειν ἡ πόλις ἐνιαύσιον ἑορτὴν

1 post ὑμέτερα signum interrogationis posuit Prato ‖ **6** ἐνεῖσαν Hertlein dub. in app.: ἔδειξαν codd. ‖ **7** παρασχόν VB: -ών O (supra -όν scriptum): προσχόν Hertlein (mendum typographicum? nihil in app.) ‖ **8** καὶ εἰσέτι Hertlein: εἰσέτι καὶ codd.: εἰσέτι ⟨δὲ⟩ καὶ Reiske ‖ **12** ὑμᾶς δὲ a: δὲ ὑ. V **13** post ἐπιεικῶς interpungit Hertlein Reiskium secutus (cf. 26 supra p. 197,4, ep. 98 p. 182,14 Bidez ὅπερ εἴωθα ποιεῖν ἐπιεικῶς ἑκάστης ἡμέρας), ante vet. vulg. ‖ **15** τῷ — ἀριθμουμένῳ codd.: τῶν — -ων Paris. gr. 3029: τῶν — -ῳ Spanheim ‖ **16** τούτου VB: τοῦδε O ‖ **22** κατεσκευασμένους VB: παρ- O λευκῇ Martinius: λιτῇ codd.: λινῇ Russo ‖ **23** μεγαλοπρεπεῖ VB: -ῇ O κεκοσμημένους O: κοσμου- VB ‖ **24** θυμιάματα codd.: θυμίαμα Dobree ad Ar. Plut. p. 143 ‖ **27** τὴν ante ἐνιαύσιον add. Boulenger[2]

ἄγουσα τῷ θεῷ, ὁ ἱερεὺς εἶπεν „ἐγὼ μὲν ἥκω φέρων οἴκοθεν τῷ θεῷ χῆνα ἱερεῖον, ἡ πόλις δὲ τὰ νῦν οὐδὲν ηὐτρέπισται“. Ἐνταῦθα ὁ φιλαπεχθήμων ἐγὼ πρὸς τὴν βουλὴν ἀνεπιεικεῖς πάνυ διελέχθην λόγους, ὧν ἴσως οὐκ ἄτοπον καὶ νῦν μνημονεῦσαι.

[35] „Δεινόν“ ἔφην ἐγώ „τὴν τοσαύτην πόλιν οὕτω τῶν θεῶν 5
C ὀλιγώρως ἔχειν, ὡς οὐδεμία | παροικοῦσα ταῖς ἐσχατιαῖς τοῦ Πόντου κώμη, μυρίους κλήρους γῆς ἰδίας κεκτημένην. Τῷ πατρίῳ θεῷ νῦν πρῶτον ἐπιστάσης ἑορτῆς ἐνιαυσίου, ἐπειδὴ διεσκέδασαν οἱ θεοὶ τῆς ἀθεότητος τὴν νεφέλην, ὄρνιν ὑπὲρ αὑτῆς οὐ προσάγει, ἣν ἐχρῆν μάλιστα μὲν καὶ κατὰ φυλὰς βουθυτεῖν, εἰ 10 δὲ μὴ ῥᾴδιον, ἕνα κοινῇ πᾶσαν ὑπὲρ αὑτῆς προσφέρειν τῷ θεῷ ταῦρον. Ὑμῶν δὲ ἕκαστος ἰδίᾳ μὲν εἰς τὰ δεῖπνα καὶ τὰς ἑορτὰς
D χαίρει δαπανώ|μενος, καὶ εὖ οἶδα πολλοὺς ὑμῶν πλεῖστα εἰς τὰ δεῖπνα τοῦ Μαϊουμᾶ χρήματα ἀπολέσαντας· ὑπὲρ δὲ ὑμῶν αὐτῶν καὶ τῆς σωτηρίας τῆς πόλεως οὐδεὶς θύει οὔτε ἰδίᾳ τῶν πολιτῶν 15 οὔτε ἡ πόλις κοινῇ, μόνος δὲ ὁ ἱερεύς, ὃν οἶμαι δικαιότερον ἦν ἀπὸ τοῦ πλήθους τῶν προσφερομένων τῷ θεῷ παρ᾽ ὑμῶν οἴκαδε ἀπιέναι μερίδας ἔχοντα. Τοῖς μὲν γὰρ ἱερεῦσιν οἱ θεοὶ καλοκἀγα-
363A θίᾳ τιμᾶν ἑαυτοὺς καὶ ἀρετῆς ἐπιτηδεύσει προσέ|ταξαν καὶ λειτουργεῖν σφίσι τὰ εἰκότα, πρέπει δὲ οἶμαι τῇ πόλει θύειν ἰδίᾳ 20 καὶ δημοσίᾳ· νυνὶ δὲ ὑμῶν ἕκαστος ἐπιτρέπει μὲν τῇ γυναικὶ πάντα ἐκφέρειν ἔνδοθεν εἰς τοὺς Γαλιλαίους, καὶ τρέφουσαι ἀπὸ τῶν ὑμετέρων ἐκεῖναι τοὺς πένητας πολὺ τῆς ἀθεότητος ἐργάζονται θαῦμα πρὸς τοὺς τῶν τοιούτων δεομένους – ἔστι δὲ οἶμαι τοιοῦτον τὸ πλεῖστον τῶν ἀνθρώπων γένος –, ὑμεῖς δὲ αὐτοὶ 25
B πρῶτον μὲν τῶν εἰς τοὺς θεοὺς τι|μῶν ἀμελῶς ἔχοντες πράττειν οὐδὲν ἄτοπον ὑπολαμβάνετε, πρόσεισι δὲ οὐδεὶς τῶν δεομένων τοῖς ἱεροῖς· οὐ γὰρ ἔστιν οἶμαι πόθεν διατραφῇ. Καὶ γενέθλια μέν τις ἑστιῶν ἱκανῶς παρασκευάζει δεῖπνον καὶ ἄριστον, ἐπὶ πολυτελῆ τράπεζαν τοὺς φίλους παραλαμβάνων· ἐνιαυσίου δὲ 30

2 ηὐτρέπισται VO: -σεν B ‖ **3** πάνυ VB: πάντῃ O ‖ **4** διελέχθην VB: διειλ- O ‖ **7** κεκτημένην VB: -η O ‖ **9** μίαν ante ὄρνιν add. Hertlein dub. in app. **10** καὶ del. Cobet ‖ **11** γε post ἕνα add. Hertlein dub. in app. ‖ **12** εἰς O: ἐς VB ‖ **14** Μαϊουμᾶ VB: Μαΐου O ‖ **17** ὑμῶν VB: ἡ- O ‖ **19** ἑαυτοὺς VB: αὐ- O ‖ **20** πρέπει Cobet: -ειν codd. ‖ **23** τοὺς πένητας codd.: τούτους {πένητας} Boulenger[2]: τοὺς πλάνητας Festugière ‖ **24–25** οἶμαι τοιοῦτον VB: τοι. οἶμαι O ‖ **27** δεομένων codd.: ἐνδ- Hertlein in app.

ἑορτῆς οὔσης οὐδεὶς ἐκόμισεν ἔλαιον εἰς λύχνον τῷ θεῷ οὐδὲ σπονδὴν οὐδὲ ἱερεῖον οὐδὲ λιβανωτόν. Ἐγὼ μὲν οὐκ οἶδα ὅπως ἄν τις ταῦτα ἀνὴρ ἀγαθὸς ὁρῶν παρ' ὑ|μῖν ἀποδέξαιτο, νομίζω δὲ C ἔγωγε μηδὲ τοῖς θεοῖς ἀρέσκειν."

5 **[36]** Τοιαῦτα εἰπὼν τότε μέμνημαι, καὶ ὁ μὲν θεὸς ἐμαρτύρησέ μου τοῖς λόγοις, ὡς μήποτε ὤφελεν, ἐκλιπὼν τὸ προάστειον, ὃ πολὺν ἐτήρησε χρόνον, ἐν ἐκείνῃ τῇ ζάλῃ τρέψας ἀλλαχοῦ τῶν κρατούντων τὴν διάνοιαν καὶ τὼ χεῖρε βιασάμενος. Ὑμῖν δὲ ἀπηχθόμην ἐγὼ ποιῶν ἀνοήτως· ἐχρῆν γὰρ σιωπᾶν, ὥσπερ οἶμαι 10 πολλοὶ καὶ ἄλλοι τῶν | συνεισελθόντων ἐμοί, καὶ μὴ πολυπραγ- D μονεῖν μηδὲ ἐπιτιμᾶν, ἀλλὰ ὑπὸ προπετείας ἐγὼ καὶ τῆς καταγελάστου κολακείας – οὐ γὰρ δὴ νομιστέον ὑπ' εὐνοίας ἐμοὶ τότε εἰρῆσθαι τοὺς πρὸς ὑμᾶς λόγους, ἀλλ' οἶμαι δόξαν θηρεύων εὐλαβείας τε εἰς τοὺς θεοὺς καὶ εἰς ὑμᾶς εὐνοίας ἀδόλου· τοῦτο δέ 15 ἐστιν οἶμαι παγγέλοιος κολακεία – πολλὰ ὑμῶν μάτην κατέχεα.

Δίκαια τοίνυν | εἰργάζεσθέ με τῶν ἐπιτιμήσεων ἐκείνων 364A ἀμυνόμενοι καὶ ἐναλλάττοντες τὰ χωρία· Ἐγὼ μὲν ὑπὸ τῷ θεῷ πρὸς τῷ βωμῷ καὶ τοῖς τοῦ ἀγάλματος ἴχνεσιν ἐν ὀλίγοις ὑμῶν κατέδραμον, ὑμεῖς δὲ ἐπὶ τῆς ἀγορᾶς ἐν τῷ δήμῳ διὰ τῶν ἱκανῶν 20 τὰ τοιαῦτα χαριεντίζεσθαι πολιτῶν. Εὖ γὰρ ἴστε, πάντες οἱ λέγοντες κοινοῦνται πρὸς τοὺς ἀκούοντας τοὺς λόγους, καὶ ὁ ξὺν ἡδονῇ τῶν βλασφημιῶν ἀκροα|σάμενος, μετέχων τῆς ἴσης ἡδονῆς B ἀπραγμονέστερον τοῦ λέγοντος, κοινωνός ἐστι τῆς αἰτίας. Εἴρηται οὖν ὑμῖν δι' ὅλης καὶ ἠκρόαται τῆς πόλεως ὁπόσα εἰς 25 τουτονὶ πέπαικται τὸν φαῦλον πώγωνα καὶ τὸν οὐδὲν ἐπιδείξαντα ὑμῖν καλὸν οὐδὲ ἐπιδείξοντα τρόπον· οὐ γὰρ ἐπιδείξει βίον ὑμῖν ὁποῖον ὑμεῖς ἀεὶ μὲν ζῆτε, ποθεῖτε δὲ ὁρᾶν καὶ ἐν τοῖς ἄρχουσιν.

2 οὖν post μὲν add. Hertlein in app. ‖ **7** ἀλλαχοῦ codd.: -χοῖ Hertlein dub. in app. ‖ **9** οἶμαι om. V ‖ **10** πολλοὶ καὶ ἄλλοι VB: καὶ ἄ. π. O ‖ **14** post εὐνοίας denuo incipit S ‖ **15** οἶμαι om. S ‖ **15–16** πολλὰ — δίκαια evanida in V, exstant in U (παρ' pro πολλὰ U², μάτην κατέχεα U²) ‖ **16** εἰργάζεσθέ Va: -σθαι S: ἐργάζεσθέ vet. vulg. ‖ **17** ἐναλλάττοντες Sa: evanidum in V, πλάττοντες U (sed ἐναλ- m. alt. in mg.) | μὲν om. O ‖ **19** ἐπὶ Va: διὰ S **20** χαριεντίζεσθαι VO: -σθε S (sed αι suprascr.) B ‖ **21** κοινοῦνται Va: κιν- S **22** ἴσης SVB: οὔσης O ‖ **23** δὲ post ἀπραγμονέστερον add. Reiske **25** πέπαικται Va: παίπε- S | ἐπιδείξαντα Sa: -ξοντα V ‖ **26** ὑμῖν¹ ὑμῖν om. V

C [37] Ὑπὲρ μὲν δὴ τῶν | βλασφημιῶν, ἃς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεχέετέ μου παίζοντες ἐν τοῖς ἀναπαίστοις, ἐμαυτοῦ προκατηγορήσας ὑμῖν ἐπιτρέπω χρῆσθαι μετὰ μείζονος αὐτῷ παρρησίας, ὡς οὐδὲν ὑμᾶς ἐγὼ διὰ τοῦτο πώποτε δεινὸν ἐργάσομαι, σφάττων ἢ τύπτων ἢ δέων ἢ ἀποκλείων ἢ κολάζων. Πῶς γάρ; ὅς, ἐπείπερ 5 ὑμῖν ἐμαυτὸν ἐπιδείξας μετὰ τῶν φίλων σωφρονοῦντα, φαυλότατον ἰδεῖν ὑμῖν καὶ ἀηδέστατον, | οὐδὲν ἐπέδειξα καλὸν θέαμα, D μεταστῆναι τὴν πόλιν ἔγνωκα καὶ ὑποχωρῆσαι, πεπεισμένος μὲν οὐδαμῶς ὅτι πάντως ἐκείνοις ἀρέσω, πρὸς οὓς πορεύομαι, κρίνων δὲ αἱρετώτερον, εἰ διαμάρτοιμι τοῦ δόξαι γοῦν ἐκείνοις καλὸς 10 κἀγαθός, ἐν μέρει μεταδοῦναι πᾶσι τῆς ἀηδίας τῆς ἐμαυτοῦ καὶ μὴ τὴν εὐδαίμονα ταύτην ἀποκναῖσαι πόλιν ὥσπερ ὑπὸ δυσωδίας τῆς ἐμῆς μετριότητος καὶ τῶν ἐμῶν ἐπιτηδείων τῆς σωφροσύνης.

365A Ἡμῶν γὰρ οὐδεὶς ἀγρὸν οὐ|δὲ κῆπον ἐπρίατο παρ' ὑμῖν οὐδὲ οἰκίαν ᾠκοδόμησεν οὐδὲ ἔγημε παρ' ὑμῶν οὐδὲ ἐξέδωκεν εἰς ὑμᾶς, 15 οὐδὲ ἠράσθημεν τῶν παρ' ὑμῖν καλῶν οὐδὲ ἐζηλώσαμεν Ἀσσύριον πλοῦτον οὐδὲ ἐνειμάμεθα τὰς προστασίας οὐδὲ παραδυναστεύειν ἡμῖν ἠνεσχόμεθά τινας τῶν ἐν τέλει οὐδὲ ἐπείσαμεν τὸν δῆμον εἰς παρασκευὰς δείπνων ἢ θεάτρων – ὃν οὕτως ἐποιήσαμεν τρυφᾶν, B ὥστε ἄγων σχολὴν ἀπὸ τῆς ἐνδεί|ας τοὺς ἀναπαίστους εἰς τοὺς 20 αἰτίους αὐτῷ τῆς εὐθηνίας ξυνέθηκεν – οὐδὲ ἐπεγράψαμεν χρυσίον οὐδὲ ᾐτήσαμεν ἀργύριον οὐδὲ ηὐξήσαμεν φόρους· ἀλλὰ πρὸς τοῖς ἐλλείμμασιν ἀνεῖται πᾶσι τῶν εἰθισμένων εἰσφορῶν τὸ πέμπτον.

1 τε SVB: σε O | δημοσίᾳ SVB: κοινῇ O ‖ **2** κατεχέετέ SV: -έατέ B: κατέχετέ O ‖ **2–3** προκατηγορήσας Paris gr. 3029: προσ- codd. ‖ **3** ἐπιτρέπω SVB: -ψας O | αὐτῷ (= τῷ βλασφημίας μου καταχεῖν? ita expl. Hertlein) codd.: αὐτοῖς (= τοῖς ἀναπαίστοις) Klimek ‖ **5** δέων codd.: δῶν Cobet **6–7** fortasse ὃ ante φαυλότατον addendum ‖ **7** ἀηδέστατον Sa, ex ἀειδ- corr. V (ἀειδ- U) | ἐπέδειξα B (ex ἐπιδείξας, ut videtur): ἐπιδείξας SVO ‖ **8** τὴν πόλιν codd.: τῆς -εως Hertlein dub. in app. ‖ **9** οὓς Sa: ἃ V ‖ **10** γοῦν Va: οὖν S ‖ **11** κἀγαθός V: καὶ ἀγ- Sa | ἀηδίας SVB: ἀδικ- O ‖ **15** ὑμῶν Va: -ῖν S **17** verba οὐδὲ ἐνειμάμεθα — παραδυναστεύειν vel evanida vel macula obruta in V, extant in U (sed προστασίαν pro -ας U[1], οὐδ' ἐνειμάμεθα U[2]) ‖ **18** ἡμῖν SVB: ὑ- O | τινας SVB: -α O | τῶν ἐν τέλει om. S | ἐπείσαμεν codd.: ἐκαλέσαμεν Platt ‖ **20** τοὺς ἀναπαίστους O: τῶν -ων SVB ‖ **21** verba αὐτῷ — εὐ-(θηνίας) macula obruta in V | αὐτῷ Reiske (αὐ- Cobet): αὐτῶν Sa (V legi non potest) | ἐπεγράψαμεν SVB: ἐπεζητήσαμεν O

Οὐκ οἶμαι δὲ ἐξαρκεῖν τὸ σωφρονεῖν ἐμέ, μέτριον ἔχων μὰ Δία καὶ θεούς, ὡς ἐμαυτὸν πείθω, τὸν εἰσαγγελέα, καλῶς ὑφ' ὑμῶν ἐπιτιμηθέντα, διότι γέρων ὢν καὶ φαλακρὸς ἠρέμα τὰ πρόσω διὰ δυσ|τροπίαν αἰσχύνεται κομᾶν ἐξόπισθεν, ὥσπερ Ὅμηρος ἐποίησε C
5 τοὺς Ἄβαντας, οὐδὲν ⟨δ'⟩ ἐκείνου φαυλοτέρους ἄνδρας οἴκοι παρ' ἐμαυτῷ δύο καὶ τρεῖς, ἀλλὰ καὶ τέτταρας, εἰ βούλεσθε δὲ νυνὶ καὶ πέμπτον. Ὁ δέ μοι θεῖος καὶ ὁμώνυμος οὐ δικαιότατα μὲν ὑμῶν προὔστη, μέχρις ἐπέτρεπον οἱ θεοὶ ξυνεῖναι ἡμῖν αὐτὸν καὶ ξυμπράττειν; οὐ προμηθέστατα δὲ πάσαις ἐπεξῆλθε ταῖς οἰκονομί-
10 αις τῆς πόλεως;

[38] Ἡμῖν μὲν οὖν ἐδόκει ταῦτα | καλά, πρᾳότης ἀρχόντων D μετὰ σωφροσύνης, ᾠόμεθά τε ὑμῖν ἱκανῶς διὰ τούτων καλοὶ φανεῖσθαι τῶν ἐπιτηδευμάτων· ἐπεὶ δὲ ὑμᾶς ἥ τε βαθύτης ἀπαρέσκει τοῦ γενείου καὶ τὸ ἀτημέλητον τῶν τριχῶν καὶ τὸ μὴ παρα-
15 βάλλειν τοῖς θεάτροις καὶ τὸ ἀξιοῦν ἐν τοῖς ἱεροῖς εἶναι σεμνοὺς καὶ πρὸ τούτων ἁπάντων ἡ περὶ τὰς κρίσεις ἡμῶν ἀσχολία καὶ τὸ τῆς ἀγορᾶς εἴργειν τὴν πλεονεξίαν, ἑκόντες ὑμῖν | ἐξιστάμεθα τῆς 366A πόλεως. Οὐ γὰρ οἶμαι ῥᾴδιον ἐν γήρᾳ μεταθεμένῳ διαφυγεῖν τὸν λεγόμενον ὑπὲρ τοῦ ἰκτῖνος μῦθον· λέγεται γάρ τοι {καὶ} τὸν

4–5 Hom. B 542 (Ἄβαντες ... ὄπιθεν κομόωντες) ‖ **18–19** Babrii fabula 73 (cf. test. 1 p. XLVI Luzzatto)

3 καὶ φαλακρὸς — πρόσω exstat in Exc. fol. 328r, l. 4 ‖ **9–10** Lex. Vind. ε 6 (Ἰουλιανός ...· οὐ προμηθέστατα δὲ πάσαις ἐπεξῆλθε ταῖς οἰκονομίαις τῆς πόλεως) ‖ **14–15** Lex. Vind. π 79 (Ἰουλιανός· καὶ τὸ μὴ παραβάλλειν τοῖς θεάτροις) ‖ **18–208,6** Suda ι 284 (οὐ γὰρ οἶμαι ῥᾴδιον ἐν γήρᾳ μετατιθεμένῳ διαφυγεῖν τὸν λεγόμενον ὑπὲρ τοῦ ἰκτίνου μῦθον· ὃς ὄρνις ὤν, ἐπιθέμενος τῷ χρεμετίζειν ἀμφοῖν ἁμαρτεῖν, ἀγροικίας τε ἅμα καὶ δεξιότητος)

1 οἶμαι vet. vulg.: οἴομ- codd. | τὸ B (ex τοῦ): τοῦ SV: om. O | μέτριον ἔχων codd.: μέτριον ⟨δ'⟩ ἔχω Cobet: ⟨ἀλλὰ καὶ⟩ μέτριον ἔχω Reiske (ἔχω iam Martinius) | ναὶ ante μὰ add. Martinius (v. praef. XXV) ‖ **2** καὶ ante τὸν εἰσαγγ. add. Hertlein in app. ‖ **4** αἰσχύνεται κομᾶν codd.: οὐκ αἰσχ. κομῶν vet. vulg. ‖ **5** Ἄβαντας Va: -ος S | οὐδὲν ⟨δ'⟩ Reiske: οὐδὲν codd.: οὐδ' Martinius ‖ **6** βούλεσθε Va: -σθαι S ‖ **8** ἐπέτρεπον SVB: ἔτρεπον O ξυνεῖναι SVB: συν- O ‖ **9** ξυμπράττειν V: συμ- Sa | ἐπεξῆλθε SVO Lex. Vind.: ἐπέστη B (ex ἐπεξῆλθε, ut videtur) ‖ **12** ᾠόμεθά Sa: οἰό- V ‖ **13** ὑμᾶς Va: -ῖν S ‖ **16** ἡμῶν SVO: ὑ- B ‖ **18** μεταθεμένῳ codd.: -τιθεμ- Suda ‖ **19** ἰκτῖνος Sa: ἰκτίονος V: ἰκτίνου Suda | τοι B: om. SVO | καὶ del. Cobet

ἰκτῖνα φωνὴν ἔχοντα παραπλησίαν τοῖς ἄλλοις ὄρνισιν ἐπιθέσθαι τῷ χρεμετίζειν, ὥσπερ οἱ γενναῖοι τῶν ἵππων, εἶτα τοῦ μὲν ἐπιλαθόμενον, τὸ δὲ οὐ δυνηθέντα ἑλεῖν ἱκανῶς ἀμφοῖν στέρεσθαι
B καὶ φαυλότερον τῶν ἄλλων ὀρνίθων | εἶναι τὴν φωνήν. Ὃ δὴ καὶ αὐτὸς εὐλαβοῦμαι παθεῖν, ἀγροικίας τε ἅμα καὶ δεξιότητος ἁμαρτεῖν. 5 Ἤδη γάρ, ὡς καὶ ὑμεῖς αὐτοὶ συνορᾶτε, πλησίον ἐσμὲν ἐθελόντων θεῶν, „εὖτέ μοι λευκαὶ μελαίναις ἀναμεμίξονται τρίχες", ὁ Τήιος ἔφη ποιητής.

[39] Εἶέν. Ἀλλὰ τῆς ἀχαριστίας, πρὸς θεῶν καὶ Διὸς ἀγοραίου καὶ πολιούχου, ὑπόσχετε λόγον. Ἠδίκησθέ τι παρ' ἐμοῦ κοινῇ 10
C πώποτε ⟨ἢ⟩ καὶ ἰδίᾳ, καὶ δίκην ὑπὲρ τούτου | λαβεῖν οὐ δυνάμενοι φανερῶς διὰ τῶν ἀναπαίστων ἡμᾶς, ὥσπερ οἱ κωμῳδοὶ τὸν Ἡρακλέα καὶ τὸν Διόνυσον ἕλκουσι καὶ περιφέρουσιν, οὕτω δὲ καὶ ὑμεῖς ἐν ταῖς ἀγοραῖς ἐπιτρίβετε λοιδοροῦντες; ἢ τοῦ μὲν ποιεῖν τι χαλεπὸν εἰς ὑμᾶς ἀπεσχόμην, τοῦ λέγειν δὲ ὑμᾶς κακῶς οὐκ 15 ἀπεσχόμην, ἵνα με καὶ ὑμεῖς διὰ τῶν αὐτῶν ἰόντες ἀμύνησθε;

D τίς οὖν ὑμῖν ἐστιν αἰτία τοῦ πρὸς ἡμᾶς | προσκρούσματος καὶ τῆς ἀπεχθείας; ἐγὼ γὰρ εὖ οἶδα δεινὸν οὐδένα ὑμῶν οὐδὲν οὐδὲ ἀνήκεστον ἐργασάμενος οὔτε ἰδίᾳ τοὺς ἄνδρας οὔτε κοινῇ τὴν πόλιν, ⟨οὐδ'⟩ εἰπὼν οὐδὲν φλαῦρον, ἀλλὰ καὶ ἐπαινέσας, ὡς 20 ἐνεδέχετό μοι, καὶ μεταδοὺς χρηστοῦ τινος, ὅσον εἰκὸς ἦν τὸν

7–8 Anacr. PMG 420 = fr. iamb. 3 West ‖ **12–13** cf. Ar. Ran. passim

9–10 Lex. Vind. υ 31 (Ἰουλιανός· ἀλλὰ τῆς εὐχαριστίας, πρὸς θεῶν καὶ Διὸς ἀγοραίου καὶ πολιούχου, ὑπόσχετε λόγον)

2 χρεμετίζειν VO Suda: χρεμμ- SB ‖ **3** στέρεσθαι codd.: στερέσθαι Cobet **4** φαυλότερον SV: -ερος a: -έραν Cobet | εἶναι codd.: εἶ- Wyttenbach **5** αὐτὸς a: -ὸ SV ‖ **7** μελαίναις codd.: -νησ' Schneidewin | ἀναμεμίξονται Va: ἀναμίξ- S ‖ **8–9** verba (Τή)ιος ἔφη — πρὸς θεῶν evanida in V (extant in U) ‖ **9** ἀχαριστίας codd.: εὐχ- Lex. Vind. ‖ **11** ἢ suppl. Hertlein dub. in app. | λαβεῖν codd.: ἀπολ- (ut videtur) S in mg. ‖ **12** φανερῶς Sa: φανε… V (φανερὸν U) ‖ **13** δὲ Va: om. S: δὴ Martinius ‖ **14** ὑμεῖς SVB: ἡ- O **14–16** ἐν ταῖς ἀγοραῖς — καὶ ὑμεῖς SVO: ἐξεβιάσθητε B ‖ **15** εἰς SV: πρὸς O **15–16** τοῦ λέγειν — ἀπεσχόμην om. S ‖ **16** ἀμύνησθε SVO: -εσθαι B (quod coniungi potest cum ἐξεβιάσθητε, v. supra) ‖ **17** ὑμῖν … πρὸς ἡμᾶς V: ἡμῖν … πρὸς ὑμᾶς a (ἡ in ἡμῖν ex ὑ in O, ut videtur): ἡμῖν … πρὸς ἡμᾶς S (sed ὑ supra ἡ in ἡμᾶς scriptum, ut videtur) ‖ **18** οὐδὲ om. S ‖ **20** οὐδ' suppl. Reiske ‖ **21** ἐνεδέχετό μοι SVO: ἔδοξέ μοι προσήκειν B

ἐπιθυμοῦντα μετὰ τοῦ δυνατοῦ πολλοὺς εὖ ποιεῖν ἀνθρώπους· ἀδύνατον δέ, εὖ ἴστε, καὶ τοῖς εἰσφέρουσι | συγχωρεῖν ἅπαντα καὶ 367A διδόναι πάντα τοῖς εἰωθόσι λαμβάνειν. Ὅταν οὖν φανῶ μηδὲν ἐλαττώσας τῶν δημοσίων συντάξεων, ὅσας εἴωθεν ἡ βασιλικὴ 5 νέμειν δαπάνη, ὑμῖν δὲ ἀνεὶς τῶν εἰσφορῶν οὐκ ὀλίγα, ἆρ' οὐκ αἰνίγματι τὸ πρᾶγμα ἔοικεν;

[40] Ἀλλ' ὁπόσα μὲν κοινῇ πρὸς πάντας πεποίηται τοὺς ἀρχομένους ὑπ' ἐμοῦ, πρέποι ἂν σιωπᾶν, ἵνα μὴ δοκοίην ὥσπερ ἐξεπίτη|δες αὐτοπροσώπως ἐπαίνους ᾄδειν ἐμαυτοῦ, καὶ ταῦτα B 10 ἐπαγγειλάμενος πολλὰς καὶ ἀσελγεστάτας ὕβρεις καταχέαι· τὰ δὲ ἰδίᾳ μοι πρὸς ὑμᾶς πεποιημένα προπετῶς μὲν καὶ ἀνοήτως, ἥκιστα δὲ ὑφ' ὑμῶν ἄξια ἀχαριστεῖσθαι, πρέποι {δὲ} ἂν οἶμαι προφέρειν ὥσπερ τινὰ ἐμὰ ὀνείδη τοσούτῳ τῶν ἔμπροσθεν χαλεπώτερα – τοῦ τε αὐχμοῦ τοῦ περὶ τὸ πρόσωπον καὶ τῆς 15 ἀναφροδισίας –, ὅσῳ καὶ ἀληθέστερα ὄντα τῇ ψυχῇ μάλιστα προσήκει. Καὶ | δὴ πρῶτον ἐπῄνουν ὑμᾶς ὡς ἐνεδέχετό μοι C φιλοτίμως, οὐκ ἀναμείνας τὴν πεῖραν οὐδὲ ὅπως ἕξομεν πρὸς ἀλλήλους ἐνθυμηθείς· ἀλλὰ νομίσας ὑμᾶς μὲν Ἑλλήνων παῖδας, ἐμαυτὸν δέ, εἰ καὶ γένος ἐστί μοι Θρᾴκιον, Ἕλληνα τοῖς ἐπιτη-20 δεύμασιν ὑπελάμβανον ὅτι μάλιστα ἀλλήλους ἀγαπήσομεν.

Ἓν μὲν δὴ τοῦτο ἔστω μοι τῆς προπετείας ὄνειδος. Ἔπειτα πρεσβευσαμένοις ὑμῖν παρ' ἐμὲ καὶ ἀφικο|μένοις ὑστέροις οὐ τῶν D ἄλλων μόνον, ἀλλὰ καὶ Ἀλεξανδρέων τῶν ἐπ' Αἰγύπτῳ, πολὺ μὲν ἀνῆκα χρυσίον, πολὺ δὲ ἀργύριον, φόρους δὲ παμπληθεῖς ἰδίᾳ 25 παρὰ τὰς ἄλλας πόλεις, ἔπειτα τοῦ βουλευτηρίου τὸν κατάλογον διακοσίοις βουλευταῖς ἀνεπλήρωσα φεισάμενος οὐδενός· ἐσκόπουν γὰρ ὅπως ἡ πόλις ὑμῶν ἔσται μείζων καὶ δυνατωτέρα.

Δέδωκα οὖν ὑμῖν καὶ ἀπὸ τῶν ἐπιτροπευσάντων τοὺς θησαυ-ροὺς τοὺς | ἐμοὺς καὶ ἀπὸ τῶν ἐργασαμένων τὸ νόμισμα τοὺς 368A

1 τοῦ om. O ‖ **4** ὅσας Hertlein ex cod. Marc. 251: ὅσα codd. ‖ **4–5** ἡ βασιλικὴ νέμειν Va: ν. ἡ β. S ‖ **9** αὐτοπροσώπως S: -ωπος Va: -ώπους Reiske | ἐμαυτοῦ Va: -ῷ S ‖ **11** πεποιημένα προπετῶς μὲν SVO: προπ. πεπ. B (om. μὲν) ‖ **12** δὲ[1] Cobet: μὲν codd. | δὲ[2] del. Cobet ‖ **13** post ἐμὰ denuo incipit W ‖ **15** ὄντα codd.: ἐστιν, ἃ Reiske ‖ **16** πρῶτον SV: πρότερον a (ex corr. in B, ut videtur) ‖ **17** ἕξομεν Va: -μαι S ‖ **20** οὖν post ὑπελάμβανον add. b ἀγαπήσομεν SVO: ἡμᾶς ἀγαπήσειν b ‖ **23** ἐπ' Αἰγύπτῳ Va (ἐν supra ἐπ W man. alt): ἀπ' Αἴγυπτον [sic] S ‖ **24** δὲ[2] om. B ‖ **27** ὑμῶν om. S ‖ **29** καὶ om. B | τοὺς[2] om. S

πλουσιωτάτους ἑλομένοις ἔχειν· ὑμεῖς δὲ ἐκείνων μὲν οὐ τοὺς δυναμένους εἵλεσθε, λαβόμενοι δὲ τῆς ἀφορμῆς εἰργάσασθε παραπλήσια πόλει μὲν οὐδαμῶς εὐνομουμένῃ, πρέποντα δὲ ὑμῶν ἄλλως τῷ τρόπῳ. Βούλεσθε ἑνὸς ὑμᾶς ὑπομνήσω; βουλευτὴν ὀνομάσαντες, πρὶν προσγραφῆναι τῷ καταλόγῳ, μετεώρου τῆς 5 δίκης οὔσης, ὑπεβάλετε λειτουργίᾳ τὸν ἄνθρωπον. Ἄλλον ἀπ'
B ἀγορᾶς | εἱλκύσατε πένητα καὶ ἐκ τῶν ἁπανταχοῦ μὲν ἀπολελυμένων, παρ' ὑμῖν δὲ διὰ περιττὴν φρόνησιν ἀμειβομένων πρὸς χρυσίον συρφετῶν, ἀποροῦντα μετρίας οὐσίας εἵλεσθε κοινωνόν. Πολλὰ τοιαῦτα περὶ τὰς ὀνομασίας κακουργούντων ὑμῶν, ἐπειδὴ 10 μὴ πρὸς ἅπαντα συνεχωρήσαμεν, ὧν τε εὖ εἰργασάμεθα τὴν χάριν ἀπεστερήθημεν, καὶ ὧν ἀπεσχόμεθα ξὺν δίκῃ παρ' ὑμῶν
C δυσχεραινόμε|θα.

[41] Καὶ ταῦτα μὲν ἦν τῶν μικρῶν πάνυ καὶ οὔπω δυνάμενα τὴν πόλιν ἐκπολεμῶσαι. Τὸ δὲ δὴ μέγιστον, ἐξ οὗ τὸ μέγα ἤρθη 15 μῖσος· Ἀφικομένου μου πρὸς ὑμᾶς ὁ δῆμος ἐν τῷ θεάτρῳ, πνιγόμενος ὑπὸ τῶν πλουσίων, ἀφῆκε φωνὴν πρῶτον ταύτην· „Πάντα γέμει, πάντα πολλοῦ." Τῆς ἐπιούσης διελέχθην ἐγὼ τοῖς δυνατοῖς ὑμῶν, ἐπιχειρῶν πείθειν ὅτι κρεῖττόν ἐστιν ὑπεριδόντας
D ἀδίκου κτήσεως εὖ | ποιῆσαι πολίτας καὶ ξένους· οἱ δὲ ἐπαγγειλά- 20 μενοι τοῦ πράγματος ἐπιμελήσεσθαι, μηνῶν ἑξῆς τριῶν ὑπεριδόντος μου καὶ περιμείναντος, οὕτως ὀλιγώρως ἔσχον τοῦ πράγματος, ὡς οὐδεὶς ἂν ἤλπισεν.

Ἐπεὶ δὲ ἑώρων ἀληθῆ τὴν τοῦ δήμου φωνὴν καὶ τὴν ἀγορὰν οὐχ ὑπὸ ἐνδείας, ἀλλὰ ὑπὸ ἀπληστίας τῶν κεκτημένων στενοχω- 25

5 Lex. Vind. κ 27 (Ἰουλιανός· πρὶν προσγραφῆναι τῷ καταλόγῳ)

1 ἑλομένοις SVO: -ους b ‖ **2** τῆς om. S ‖ **2–3** παραπλήσια Va: -ον S ‖ **3** μὲν Va: δὲ S ‖ **4** ἄλλως Sa: -ῳ V | ὑμᾶς ὑπομνήσω Sa: ὑπ. ὑμ. V | τιν' post βουλευτὴν add. Boulenger[2] ‖ **6** ὑπεβάλετε Sa: -βάλλ- V | λειτουργίᾳ Va: -αν S ‖ **7** καὶ om. a ‖ **7–8** ἀπολελυμένων codd.: ἀπολελειμμένων Martinius: ἀπερριμμένων Cobet ‖ **8** ὑμῖν Sa: -ῶν V ‖ **9** χρυσίον SVB: -ων OW συρφετῶν SVOW: -όν B | ἀποροῦντα V: εὐπορ- Sa ‖ **11** τὰ ante πρὸς add. b | ἅπαντα S: -ας Va ‖ **12** ξὺν SV: σὺν a | πρᾶξαι post δίκῃ add. W ‖ **14** πάνυ Va: ἦν [sic] S | οὔπω Va: οὕτω S ‖ **16** μου Va: μὲν S ‖ **16–17** πνιγόμενος Va: πληττ- S ‖ **18** διελέχθην Sb: διειλ- VO ‖ **21** ἐπιμελήσεσθαι a: -λήσασθαι V: -λεῖσθαι S ‖ **21–22** ὑπεριδόντος Va: ἰδόντος S ‖ **22** ἔσχον codd.: εἶχον Hertlein ex cod. Paris. 3029 ‖ **23** ἤλπισεν SVOW: -κεν B ‖ **25** κεκτημένων Sa: evanidum in V (κροτημάτων U)

ρουμένην, ἔταξα μέτριον ἑκάστου | τίμημα καὶ δῆλον ἐποίησα 369A
πᾶσιν. Ἐπεὶ δὲ ἦν τὰ μὲν ἄλλα παρ' αὐτοῖς πολλὰ πάνυ – καὶ
γὰρ ἦν οἶνος καὶ ἔλαιον καὶ τὰ λοιπὰ πάντα –, σίτου δὲ ἐνδεῶς
εἶχον, ἀφορίας δεινῆς ὑπὸ τῶν ἔμπροσθεν αὐχμῶν γενομένης,
5 ἔδοξέ μοι πέμπειν εἰς Χαλκίδα καὶ Ἱερὰν πόλιν καὶ πόλεις τὰς
πέριξ, ἔνθεν εἰσήγαγον ὑμῖν μέτρων τετταράκοντα μυριάδας. Ὡς
δὲ ἀνάλωτο καὶ τοῦτο, πρότερον μὲν πεντάκις | χιλίους, ἑπτάκις B
χιλίους δὲ ὕστερον, εἶτα νῦν μυρίους, οὓς ἐπιχώριόν ἐστι λοιπὸν
ὀνομάζειν μοδίους, ἀνάλισκον σίτου, πάντας οἴκοθεν ἔχων. Ἀπὸ
10 τῆς Αἰγύπτου κομισθέντα μοι σῖτον ἔδωκα τῇ πόλει, πραττόμενος
ἀργύριον οὐ κατὰ δέκα μέτρα, ἀλλὰ πεντεκαίδεκα τοσοῦτον, ὅσον
ἐπὶ τῶν δέκα πρότερον. Εἰ δὲ τοσαῦτα μέτρα θέρους ἦν παρ' ὑμῖν
τοῦ νομίσματος, τί προσδοκᾶν ἔδει τηνικαῦτα – ἡνίκα φησὶν ὁ
Βοιώ|τιος ποιητὴς χαλεπὸν γενέσθαι τὸν λιμὸν – ἐπὶ τῷ C
15 δράγματι; ἆρ' οὐ πέντε μόγις καὶ ἀγαπητῶς, ἄλλως τε καὶ
τηλικούτου χειμῶνος ἐπιγενομένου; τί οὖν ὑμῶν οἱ πλούσιοι; τὸν
μὲν ἐπὶ τῶν ἀγρῶν σῖτον λάθρᾳ ἀπέδοντο πλείονος, ἐβάρησαν δὲ

13–15 de Cratete Thebano cog. Crusius, postquam trimetrum iambicum (χαλεπὸν γενέσθαι λιμὸν ἐπὶ τῷ δράγματι) finxit et ignoto comico tribuit Meineke (com. adesp. 488, vol. V 1 p. CCCLXXIV = 1261 Kock); de Hesiodo cog. Bergk, postquam hexametri finem (χαλεπὸς δ' ἐπὶ δράγματι λιμὸς) agnovit; cf. Hes. fr. 359 M.-W.

7–8 cf. Lib. or. 15,70 (δίδου μέτρα μύρια καὶ προστίθει τρισχίλια) **17–212,1** Lex. Vind. β 1 (Ἰουλιανός· ἐβάρησαν δὲ τὸ κοινὸν τοῖς ἰδίοις ἀναλώμασι)

2 παρ' αὐτοῖς πολλὰ SV: π. παρ' αὐτ. a ‖ **3** ἐνδεῶς Sa: ἐνδε... V (ἐνδεοῖς U) **4** εἶχον Sa (U): εἶ.. V | αὐχμῶν Va: -χῶν S ‖ **5** ἱερὰν πόλιν S: ἱεράνπολιν V: ἱεράπολιν a (cf. ep. 98 p. 183,8 Bidez τῆς Ἱερᾶς πόλεως) ‖ **6** ἔνθεν SVb: -θα O | μέτρων Martinius: -ον codd. ‖ **7** ἀνάλωτο SVO: ἀνή- b ‖ **7–8** ἑπτάκις χιλίους om. S ‖ **9** post μοδίους „complura excidisse" put. Cobet | ἀνάλισκον σίτου Hertlein: -ίσκειν σίτου SVO: om. b ‖ **11** οὐ κατὰ δέκα μέτρα b: οὐ κ. δ. μέτρων V: οὐ κ. δ. μέτρον SO: οὐκ ἐπὶ δ. μέτρων Hertlein in app.: οὐκ ἀντὶ δ. μέτρων Boulenger[2]: οὐ δ. μέτρων Russo ‖ **14** γενέσθαι codd.: γίγν- Martinius ‖ **14–15** τῷ δράγματι SVb (om. τῷ B): τῷ δράχμ- O: δώματι Martinius: ῥιγώματι Platt: τῷ φράγματι Bury; δραχμῇ Merkelbach (qui de ... τὸν λιμόν; ἐπὶ δραχμῇ ἆρ' οὐ ... cog.) ad Hes. fr. 359 M.-W.; „locus est corruptus" Hertlein; „quid lateat quaerant alii" Cobet ‖ **17** πλείονος om. b ἐβάρησαν SVW (υναν suprascr.) Lex. Vind.: -ρηναν B: -ρυσαν O

τὸ κοινὸν τοῖς ἰδίοις ἀναλώμασι· καὶ οὐχ ἡ πόλις μόνον ἐπὶ τοῦτο
D συρρεῖ, | οἱ πλεῖστοι δὲ καὶ ἐκ τῶν ἀγρῶν συντρέχουσιν, ὃ μόνον
ἐστὶν εὑρεῖν πολὺ καὶ εὔωνον, ἄρτους ὠνούμενοι. Καίτοι τίς
μέμνηται παρ' ὑμῖν εὐθηνουμένης τῆς πόλεως πεντεκαίδεκα
μέτρα σίτου πραθέντα τοῦ χρυσοῦ; 5

[42] Ταύτης ἕνεκεν ὑμῖν ἀπηχθόμην ἐγὼ τῆς πράξεως, ὅτι τὸν
οἶνον ὑμῖν οὐκ ἐπέτρεψα καὶ τὰ λάχανα καὶ τὰς ὀπώρας ἀποδό-
σθαι χρυσοῦ, καὶ τὸν ὑπὸ τῶν πλουσίων ἀποκεκλεισμένον ἐν ταῖς
370A ἀποθήκαις | σῖτον ἄργυρον αὐτοῖς καὶ χρυσὸν ἐξαίφνης παρ' ὑμῶν
γενέσθαι. Ἐκεῖνοι μὲν γὰρ αὐτὸν ἔξω τῆς πόλεως διέθεντο καλῶς, 10
ἐργασάμενοι τοῖς ἀνθρώποις λιμὸν „ἀλοιητῆρα βροτείων“, ὡς ὁ
θεὸς ἔφη τοὺς ταῦτα ἐπιτηδεύοντας ἐξελέγχων· ἡ πόλις δὲ ἐν
ἀφθονίᾳ γέγονεν ἄρτων ἕνεκα μόνον, ἄλλου δὲ οὐδενός.

Συνίην μὲν οὖν καὶ τότε ταῦτα ποιῶν ὅτι μὴ πᾶσιν ἀρέσοιμι,
B πλὴν ἔμελεν οὐθὲν ἐμοί· | τῷ γὰρ ἀδικουμένῳ πλήθει βοηθεῖν 15
ᾠόμην χρῆναι καὶ τοῖς ἀφικνουμένοις ξένοις ἐμοῦ τε ἕνεκα καὶ τῶν
συνόντων ἡμῖν ἀρχόντων. Ἐπεὶ δὲ οἶμαι συμβαίνει τοὺς μὲν
ἀπιέναι, τὴν πόλιν δὲ εἶναι τὰ πρὸς ἐμὲ γνώμης μιᾶς – οἱ μὲν γὰρ
μισοῦσιν, οἱ δὲ ὑπ' ἐμοῦ τραφέντες ἀχαριστοῦσιν –, Ἀδραστείᾳ
πάντα ἐπιτρέψας ἐς ἄλλο ἔθνος οἰχήσομαι καὶ δῆμον ἕτερον, οὐδὲν 20
C ὑμᾶς ὑπομνήσας ὧν ἐνιαυτοῖς | ἔμπροσθεν ἐννέα δίκαια δρῶντες
εἰς ἀλλήλους εἰργάσασθε, φέρων μὲν ὁ δῆμος ἐπὶ τὰς οἰκίας τῶν
δυνατῶν ξὺν βοῇ τὴν φλόγα καὶ ἀποκτιννὺς τὸν ἄρχοντα, δίκην δὲ
αὖθις ἀποτίνων ὑπὲρ τούτων, ὧν ὀργιζόμενος δικαίως ἔπραξεν
οὐκέτι μετρίως. 25

11 finis hexametri ignoti; de oraculo cog. Brambs 1897, 48 (cf. ὁ θεός in sequentibus)

1 τοῦτο SVOW: -ῳ B ‖ **6** ἐγὼ om. V, suprascr. W ‖ **7** οὐκ om. S **7–8** ἀποδόσθαι SVO: ἀποδίδ- b ‖ **8** τοῦ ante χρυσοῦ add. S ἀποκεκλεισμένον SVb: ex -ων corr., ut videtur, O | post ἀποκεκλεισμένον desinit W ‖ **9** ὑμῶν Sa: ἡ- ex ὑ- corr. V, ut videtur (ἡ- U) ‖ **10** καλῶς a: κακῶς SV ‖ **11** ἀλοιητῆρα V: ἀλυκτῆρα Sa | βροτείων vet. vulg.: -ον codd. **12** ἡ om. SV ‖ **13** μόνον SV: -ων a | του post οὐδενός add. B ‖ **14** συνίην S (ει supra η add) VB: -ειν O | ἀρέσοιμι Cobet: ἀρέσκ- codd. ‖ **15** ἔμελεν V: -λλ- Sa ‖ **16** ᾠόμην SVO: ᾤμην B ‖ **19** ἀδραστείᾳ SV: ἀστρατεία O, -ατία B ‖ **20** ἐς V: εἰς a: om. S ‖ **22** εἰργάσασθε SVB: -σθε ex -σθαι, ut videtur, O **23** ξὺν SV: σὺν a (K, macula in O) ‖ **24** αὖθις ἀποτίνων V: ἀπ. αὖθ. Sa

[43] Ὑπὲρ τίνος οὖν πρὸς θεῶν ἀχαριστούμεθα; ὅτι τρέφομεν ὑμᾶς οἴκοθεν, ὃ μέχρι σήμερον ὑπῆρξεν οὐδεμιᾷ πόλει, καὶ τρέφομεν οὕτω λαμπρῶς; ὅτι τὸν κατάλογον | ὑμῶν ηὐξήσαμεν; ὅτι κλέπτοντας ἑλόντες οὐκ ἐπεξήλθομεν; ἑνὸς ἢ δύο βούλεσθε ὑμᾶς ὑπομνήσω, μή τις ὑπολάβῃ σχῆμα καὶ ῥητορείαν εἶναι καὶ προσποίησιν τὸ πρᾶγμα; γῆς κλήρους οἶμαι τρισχιλίους ἔφατε ἀπόρους εἶναι καὶ ᾐτήσασθε λαβεῖν, λαβόντες δὲ ἐνείμασθε πάντες οἱ μὴ δεόμενοι· τοῦτο ἐξετασθὲν ἀνεφάνη σαφῶς. Ἀφελόμενος δὲ αὐτοὺς ἐγὼ τῶν ἐχόντων οὐ δικαίως, καὶ πολυπραγμονήσας οὐδὲν ὑπὲρ τῶν ἔμπροσθεν, ὧν ἔσχον ἀτε|λεῖς, οὓς μάλιστα ἐχρῆν ὑποτελεῖς εἶναι, ταῖς βαρυτάταις ἔνειμα λειτουργίαις αὐτοὺς τῆς πόλεως· καὶ νῦν ἀτελεῖς ἔχουσιν οἱ καθ' ἕκαστον ὑμῖν ἐνιαυτὸν ἱπποτροφοῦντες γῆς κλήρους ἐγγὺς τρισχιλίους, ἐπινοίᾳ μὲν καὶ οἰκονομίᾳ τοῦ θείου τοὐμοῦ καὶ ὁμωνύμου, χάριτι δὲ ἐμῇ, ὃς δὴ τοὺς πανούργους καὶ κλέπτας οὕτω κολάζων εἰκότως ὑμῖν φαίνομαι τὸν κόσμον ἀνατρέπειν. Εὖ γὰρ ἴστε ὅτι πρὸς τοὺς τοιούτους ἡ | πρᾳότης αὔξει καὶ τρέφει τὴν ἐν τοῖς ἀνθρώποις κακίαν.

[44] Ὁ λόγος οὖν μοι καὶ ἐνταῦθα περιίσταται πάλιν εἰς ὅπερ βούλομαι· πάντων γὰρ ἐμαυτῷ τῶν κακῶν αἴτιος γίγνομαι, εἰς ἀχάριστα καταθέμενος ἤθη τὰς χάριτας. Ἀνοίας οὖν ἐστι τῆς ἐμῆς τοῦτο καὶ οὐ τῆς ὑμετέρας ἐλευθερίας. Ἐγὼ μὲν δὴ τὰ πρὸς ὑμᾶς εἶναι πειράσομαι τοῦ λοιποῦ συνετώτερος· ὑμῖν δὲ οἱ θεοὶ τῆς εἰς ἡμᾶς εὐνοίας καὶ τιμῆς, ἣν ἐτι|μήσατε δημοσίᾳ, τὰς ἀμοιβὰς ἀποδοῖεν.

D 371A B C

3–4 ὅτι[2]…ἐπεξήλθομεν Lex. Vind. ε 6 (Ἰουλιανός· ὅτι κλέπτοντας ἑλόντες οὐκ ἐπεξήλθομεν) ‖ **19–20** πάντων — χάριτας exstat in Exc. fol. 328r, l. 6s.

2 οὐδεμιᾷ S: οὐδὲ μιᾷ VO: -μία B ‖ **2–3** τρέφομεν Va: -μαι S ‖ **3** λαμπρῶς Sa: καλ- V ‖ **5** ὑπολάβῃ SV: -βοι a ‖ **6** κλήρους οἶμαι V: οἶμ. κλ. S: οἶμαι om. a ‖ **7** ἀπόρους codd. (cf. Gascou): ἀσπόρ- Hertlein: ἀφόρ- Horkel ᾐτήσασθε SVB: -σθαι O | λαβεῖν VB: λαχ- SO ‖ **10** ἀτελεῖς SVO: -λῶς B **12** ὑμῖν Va: ἡ- S ‖ **14** ὃς vet. vulg.: ὃ B: ὁ VO: ἃ S ‖ **15** οὕτω post πανούργους add. O ‖ **16** ἀνατρέπειν SVB: -ων O ‖ **16–17** πρὸς τοὺς τοιούτους ἡ πρᾳότης SVO: ἡ πρ. τ. τοι. πρᾳότης B ‖ **17** τοῖς om. S ‖ **19** γὰρ SVB: τε O: om. Exc. | ἐμαυτῷ τῶν κακῶν SV: τ. κ. ἐμ. a Exc. | γίγνομαι VO: γίν- SB: γέγονα Exc. ‖ **21** τὰ Va: ταῦτα S ‖ **24** ἀποδοῖεν SVB: -δοῖ O

INDEX NOMINVM PROPRIORVM

INDEX VERBORVM MEMORABILIVM